

Digitized by Google

4
2
268

BIBLIOTECA NAZIONALE
CENTRALE - FIRENZE
50.000 - 10.939

4. 2. 268

4. K. 2. 268

Digitized by Google

Digitized by Google

ΑΝΕΚΔΟΤΑ.

Digitized by Google

PARISIIS ET ARGENTORATI,
APUD F. G. LEVRAULT;
BRUXELLIS,
APUD EUMDEM, IN BIBLIOPOLIO PARISINO.

Digitized by Google

ΑΝΕΚΔΟΤΑ.

ANECDOTA GRÆCA

E CODICIBUS REGIIS

DESCRIPSIT ANNOTATIONE ILLUSTRAVIT

J. FR. BOISSONADE.

Συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται. — JOANN. VI, 12.

VOL. I.

PARISIIS,
EXCUSUM IN REGIO TYPOGRAPHEO
REGIS PERMISSU.

M. DCCC. XXIX.

Digitized by Google

Digitized by Google

PRÆLOQUIUM.

Principium faciam præfandi commemorandis, quæ fuerunt in me maxima, meritis duorum hominum literarum laude florentissimorum et inter præcipua eruditæ Galliæ ornamenta numerandorum, Remusati ac Sammartini. Quum multa audiissent in scrinio meo jacere a me descripta e codicibus regiis opuscula græca, quibus non facile, quamvis sollicitius quæsitum, redemtorem nanciscerer, consilium ceperunt postulare mihi, qui ipse, semper meî negligentior, non postularem, postulare, inquam, et obtinere quoque, ut typis regiis Anecdota illa mea describerentur, quippe quibus in tanto literarum græcarum jam senescentium apud nos frigore vix alia esset ad lucem publicam via. Sammartinus igitur Villeboisium adiit, libellorum supplicum magistrum, typographei regii Administratorem, verbisque causam meam apud eum egit non inefficacibus. Etenim Villeboisius, qui

studia colit et studiosos homines amat, non invitus, nullaque interposita mora, ad ampliss. sigillorum Custodem, in cujus summa administratione totum illud librorum typis regiis edendorum negotium situm est, de me et Anecdotorum Sylloge ita retulit benignus æstimator, verbis tam comibus, tam plenis officii et humanitatis, ut ampliss. Custos sigillorum, quod fautores cupiebant mei, cupere, fautor factus et ipse meus, visus fuerit, ac typis regiis Anecdota illa edi libentissime permiserit.

Attamen, quum jam primum volumen claustra refringere gestiat, statim emittendum, me fere pœnitet obtinuisse quod obtinere libuit. Reputanti scilicet mihi quibus constet opusculis, quam tenuibus ac frigidis, non satis digna videri cœperunt, in quæ publicæ impensæ erogarentur. Sed opportune quidam illi meo pudori occurrit amicus : « Nempe illa Regiæ » Majestatis beneficia non in felices tantum » conferri inventores; non licere omnibus esse » felicibus; rara quidem et summa in dete- » gendis codicum thesauris felicitate usos esse » Maium, Hasium, Bekkerum, alios, non id- » circo ea contemni debere quæ minus habent

» splendoris ac pauciorum usibus inservient :
» si poetam quemdam oris præcipui, si magni
» nominis oratorem, si historicum fide dignum
» ac diserta narratione mutorum aliquot anno-
» rum lacunam implentem, si grammaticum
» diligenter eruditum ac spissis per utramque
» paginam et marginem utrumque veterum
» testimoniis Chrysippeo more confertum, si
» merces id genus ad editionem exponeres, ad
» te sponte bibliopolarum avidus grex advo-
» laret, nec jam typis regiis esset opus, quum
» privatorum hominum industria rem tuam,
» rei suæ causa, strenue curare gestiret; in illa
» autem opera fœcundos regiæ munificentiæ
» fluctus utilius derivari, quæ, quum veterum
» historiæ ac literis illustrandis promovendis-
» que non sine fructu possint adhiberi, aura
» tamen publici favoris destituuntur, quod
» sint tenuia ac mediocria, illoque prodeant
» severo eruditionis et critices habitu vestita,
» quem lectorum vulgus odit aut fastidit. »

His ac talibus confirmatus animus modestioris pœnitentiæ pœnitentiam agere cœpit, nec jam tantopere lucem meis auctoribus reformido.

Illorum agmen ducit Joannes Georgides, incertæ ætatis monachus, cujus Gnomologium e codice regio 1166 descripsi, bonæ quidem illo notæ, sed iis valde contaminato vitiis quæ iotacismus parere solet. Primam libri notitiam Bibliothecæ Manuscriptæ debeo Jac. Morellii, qui, quum multas inesse dixisset Choricii sententias, mihi monachi hujus amorem non mediocrem injecerat. Eum enim amabam quod Choricium amavisset, scriptorem validissime mihi dilectum, et cujus quæ plurima latent adhuc opuscula e tenebris ac silentio in lucem majoremque famam olim, si Deus favebit, proferre conabor. Idcirco me ad describendum adcinxi impiger. At spes fefellit; non quod Morellius erraverit, homo unus omnium diligentissimus, sed (quæ est collectaneorum id genus natura, ut inter se multum discrepent exemplaria, quum sint alia curtata ac breviora, ampliora alia ac pleniora) Venetus, quo usus est, liber Parisino illo, qui fuit a me descriptus, plures continebat sententias excerptaque plura et longiora. Ceterum, etsi illo careat Choricianorum flosculorum ornamento, iis poterit placere Georgides, quibus moralium locorum syntagmata identidem in

manus sumere voluptati est, et talibus delectantur scriptiunculis quæ sæpe incipere, desinere sæpe videantur. Erit quoque ex ejus textus varietate unde proficiant eruditi editores, quibus Bibliorum et patrum et profanorum auctorum orationem ad criticum lectionum examen exigere studium et labor est.

Georgidi comites adsunt gnomologi alii anonymi; versiculi Menandrei, in quibus non erit magna novitas, nisi sicubi recensionis; mox poeta quidam sententiosus.

Succedit Libanii declamatio; mox oratiuncula de Alexandro, longioris operis, ut videtur, fragmentum; deinceps Pselli opuscula medica et georgica.

Locus proximus tribus Andronicеæ ætatis oratoribus datus est; Theodoro Hyrtaceno, cujus epistolas Dutheilius vulgavit; Nicephoro Chumno, caniclei præfecto, cujus librum philosophicum de anima eruditæ Creuzeri diligentiæ debemus; Gregorio Cyprio, cujus Laudatio maris typis non semel descripta est. Theodori quatuor, Chumni et Gregorii binas exhibeo

orationes easque historici argumenti, e quibus res ejus ævi aliquid illustrationis accipere poterunt. Nihil tamen reconditi, nihil novi, ab illis exspectet lector politicus; nam sunt oratores, quorum grandior oratio ad diligentiorem et inamœniorem eventuum significationem deprimi negat. Theodori, scriptoris inficeti, quem nimiis laudibus extulit Dutheilius, judex parum idoneus, et præsertim Nicephori Chumni, hominis valde docti et diserti, plurima inedita possideo quæ alii volumini servo. Scripsit enim Nicephorus plurima, majorem partem adhuc exstantia, varii generis orationes, diplomata auro bullata, edicta, epistolas multas; philosophicos libellos quibus unis justum volumen impleretur. Horum ipse, in oratione adversus literatores quosdam, nobis reliquit indicem, quem describam : Καὶ δὴ γενοῦ γ', εἰ βούλει, ταύτης τῆς ἀγωνίας, καὶ πρὸς τὰ ἐμὰ βάλλε συντάγματα τοῦτον τὸν τρόπον, πολλά γε ὄντα· περὶ κόσμου φύσεως· περὶ τῶν πρώτων καὶ ἁπλῶν σωμάτων· περὶ γῆς, ὅτι ταύτης κατώτερον οὐδὲν, καὶ ὅσον δὴ ταύτης ἐπέκεινα πᾶν ἐστιν ἄνω· περὶ ὕλης καὶ ἰδεῶν, ὅτι μήτε τὰ εἴδη πρὸ τῆς ὕλης, μήτε ἡ ὕλη τούτων χωρὶς, ἀλλ' ὁμοῦ ταῦτα· περὶ λογικῆς καὶ νοερᾶς ψυχῆς, περὶ σωμάτων ἐγέρσεως (qui

tractatus est a Creuzero editus) περὶ θρεπτικῆς αὖθις καὶ αἰσθητικῆς ψυχῆς καὶ τῶν κατὰ ταύτας κινήσεων· περὶ ἀέρος πατασσομένου καὶ τῇ πληγῇ ταύτῃ ψυχραινομένου· καὶ περὶ τοῦ καθ' ἡμᾶς δή πού γε εὐσεβοῦς δόγματος, οὐ πίστει μόνον, ἀλλὰ καὶ φυσικαῖς ἀποδείξεσιν ἀποδεδειγμένου, ὕδωρ ἐπάνω τοῦ στερεώματος καὶ ἀποτετάχθαι κατὰ τὴν πρώτην γένεσιν, καὶ διαμένειν καὶ διὰ παντὸς εἶναι. A Gregorii Cyprii reliquis operibus, quæ nec pauca sunt, fere abstinui describendis, quod illa, et epistolas inprimis ob res ac verba lectu fructuosissimas, edere constituerit juvenis egregie doctus, qui, veterum lector assiduus et admirator, recentiorum tamen libros ac doctrinam non aspernatur, et ex omnibus omnium ætatum auctoribus largos sibi eruditionis fontes aperit.

Volumen longa appendice clauditur, cui insunt proverbiorum sylloge; Leonis Bardalis, qui fuit sub Andronico seniore protosecretarius, carmina et epistolium; canones de adverbiorum scriptura; Planudis atticismi; Theodori Prodromi declamatiuncula de mure; Ignatii drama de primi parentis lapsu; miscellanea varii argumenti; cetera.

Et annotatio, quæ ad criticam plurimum spectat, multa continet anecdota, quum sæpissime ad loca auctorum dubia vel corrupta codicum a me collatorum varietates adhibuerim.

Curabo ut secundum volumen non diu exspectetur. Materiem enim jam fere totam paratam habeo; habeo typothetas strenuos ac solertes, et, ni me destituam ipse, ni impedimenta, unde non sperem, dentur, rem intra annum peractum iri opinor.

Digitized by Google

ΑΝΕΚΔΟΤΑ.

ΓΝΩΜΑΙ

ΣΥΛΛΕΓΕΙΣΑΙ

ΥΠΟ ΙΩΑΝΝΟΥ ΜΟΝΑΖΟΝΤΟΣ,

ΤΟΥ ΚΑΙ ΓΕΩΡΓΙΔΗ.*

Ἰδὼν (1) κάλλος ὧδε τῶν γιγραμμένων
Ὡραῖον, ὡς θαυμαστὸν, ὡς γνῶσιν γέμον,
Ἀνεμποδίστως προσλαβὼν, χρῶ προφρόνως.
Νοῦν γὰρ παίνειν εἰς καλῶν ὁδηγίαν
Νόμος διδάσκει, καὶ, πρὸ τοῦ νόμου, φύσις·
Ὅθεν προσῆκεν, ὡς μέλι, γλυκασμάτων (2)
Ὑπερφυῶς τῶν τῇδε λαμβάνειν μέτα.

Τοῦ ἁγίου Βασιλείου. — Ἄριστον (3) ἀνθρώπῳ δῶρον ὁ θάνατος· ἠρεμεῖ γὰρ ἐξ ὧν ἔμελλε πράττειν κακῶν.

* Cod. Γεωργίδι. Laurentianus in Bandinii Catalogo, et Venetus in Morelli Biblioth., Γεωργιδίου. Codex ab Allatio Diss. extrema de Georgiis memoratus, Γεωργιδίου. Est et ibidem ex alio libro adpositum nomen Γεωργίδου. Vide Fabricium, Bibl. Gr. t. IX, p. 758; t. XI, p. 627. Lectio codicis Γεωργίδι mutanda fuit in Γεωργίδη.

(1) Hos versus protulit Bandinius in Cat. t. I, p. 252, sed ut prosam orationem: sunt et in Veneto libro. Versu 2, cod. γέμων, et 3, Bandin. προσλάβω.

(2) Meminisse videtur Prov. Salom. XVI, 24: κηρία μέλιτος λόγοι καλοὶ, γλύκασμα δὲ αὐτοῦ ἴασις ψυχῆς. Codex mox, μέγα.

(3) Quatuor primas sententias e cod. Laurentiano protulit Bandinius, a nostra lectione non discrepantes. In Veneto, teste Morello, prima anonyma est.

Ἀγαθῷ (1) περὶ οὐδενὸς ἂν γένοιτο φθόνος.

Ἀδύνατον ἐν ἀνθρωπίνῃ φύσει μὴ εἶναι ἕν τι τῶν παθῶν, ἢ μικρὸν ἢ μεῖζον.

Ἀργία, κακουργίας ἀρχή (2).

Ἀκαίρου θυμοῦ τὸ κέρδος πλῶσις (3).

Ἀκρισία δήμου τὸν χείριστον εἰς ἀρχὴν προῆγατο.

Ἀρετὴ λόγον ὑγείας ἐπέχει (4)· κακία δὲ ψυχῆς ἀῤῥωστία. Ὑγίεια δέ ἐστιν εὐσταθεία τῶν κατὰ φύσιν ἐνεργειῶν.

Ἀνδρεία καὶ σωφροσύνη, δικαιοσύνη καὶ φρόνησις, περισπούδαστα τῇ ψυχῇ μᾶλλον ἢ ὑγίεια τῷ σώματι.

Ἀνόητός ἐστιν ὁ τὸ ἀλλότριον ἁμάρτημα κατα-βλέπων, τὸ δὲ οἰκεῖον ἐλάττωμα μὴ κατανοῶν.

Ἀταμίευτα φθέγγεται πᾶς φιλόνεικος.

Ἀδικαιολόγητος ἅπας ὑπεύθυνος.

Ἀργεῖ ὁ νοῦς καὶ ἀμεριμνεῖ πολλάκις ἐξ ἀπιστίας τοῦ παρεῖναι τὸν Θεόν, « τὸν ἐτάζοντα καρδίας καὶ νε-» φρούς » (5).

Ἀεὶ ἡ ἐπιθυμία τῶν κρειττόνων, ἐν ἐξουσίᾳ καὶ δυ-νάμει ἔχουσα τὴν ἀπόλαυσιν τῶν ἐπιθυμουμένων, καταφρονεῖν καὶ ἀποστρέφεσθαι ἀναγκάζει τὰ ἐλάττω.

Ἀνηκοΐας ἔργον ἀντιλογία.

Ἀντιλογίας (6) ἐγείρει πᾶς κακός· ὁ δὲ Κύριος ἄγγελον ἀνελεήμονα ἐπιπέμπει αὐτῷ.

(1) Plato Tim. p. 29 D : ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος. Cf. Stob. 38, 33; Notit. Mss. t. XII, II, p. 10; Bœckh. in Plat. Min. p. 38.

(2) Libanius t. II, p. 303 Reiskianæ : ἐπὶ τὴν μωρίαν μετέστη κακῶν νωθείαν, καὶ μαλακίαν, κεχωρήκασιν.

(3) Confer infra in Z : Ζωῆς ἀκαίρου.... p. 37, 10.

(4) Basil. Hom. mor. De anima p. 408, prima hæc verba habet.

(5) Psalm. VII, 9.

(6) Proverb. XVII, 11. Est et

Ἀκρασία ἐστὶν (1), ἡ μὴ ἔχουσα κράτος κατὰ τῶν ἐνοχλουσῶν ἡδονῶν.

Αἱ κατὰ τὸ σῶμα κακώσεις καὶ τὰ ἐκτὸς ἐπίπονα πρὸς ἐποχὴν τῆς ἁμαρτίας ἐπινενόηνται· « ἐκάκωσα » γάρ σε », φησὶ (2), « καὶ ἐλιμαγχόνησα », ἵνα εὖ σε ποιήσω πρὸν εἰς ἄμετρον ἐκχυθῆναί σου τὴν ἁμαρτίαν.

Αἱ πονηραὶ (3) τῶν γυναικῶν διαθέσεις τὰς ἀσθενεῖς ψυχὰς τῶν συνοικούντων καταβαπτίζουσι.

Ἀνάνδρου (4) ψυχῆς, καὶ οὐδένα τόνον ἐχούσης ἐκ τῆς ἐπὶ Θεὸν ἐλπίδος, τὸ σφοδρῶς καταῤῥήγνυσθαι καὶ ὑποπίπτειν τοῖς λυπηροῖς.

Ἁμαρτία (5) ψυχῆς ἀῤῥωστία· αὕτη θάνατός ἐστι τῆς ἀθανάτου.

Ἀρχαίῳ ἔθει πολλοὶ (6) κεκρατημένοι τὸ μυσαρὸν τῶν γινομένων οὐ διακρίνουσι.

Ἀμήχανον ἐν ἀνθρώπου ψυχῇ μὴ γενέσθαι τινὰ σάλον ἀπὸ τῶν πειρασμῶν. Ἕως (7) μὲν οὖν μικρὰ ἁμαρτάνομεν καὶ ὀλίγα, ὥσπερ τὰ φυτὰ, ὑπὸ πραείας αὔρας πειδνούμενοι ἠρέμα πως σαλευόμεθα· ἐπειδὰν δὲ πλείω καὶ μείζονα ἢ τὰ κακὰ, κατὰ τὴν ἀναλογίαν τῆς τῶν ἁμαρτημάτων αὐξήσεως καὶ ὁ σάλος ἐπιτείνεσθαι πέφυκε.

apud Antonium Serm. 79, p. 137, post Stobæum edit. a. 1609.

(1) Est inter scholia in Joan. Climac. pag. 215 hæc sententia, absque auctoris nomine.

(2) Respicit Deuteron. VIII, 3. Modo cod. ὑπενόηται.

(3) Basil. Hom. mor. De castit. p. 370.

(4) Basil. Hom. mor. De trist. p. 261, ubi male τόπον.

(5) Basil. ibid. p. 270. Cf. Opp. tom. II, pag. 42 D, et supra p. 2, in Ἀρετὴ, et schol. Climaci pag. 468.

(6) Codex, ἔθη πολλά.

(7) Basil. Hom. mor. De peccato, p. 127.

Ἀκοινώνητος ἄνθρωπος καὶ φειδωλὸς περὶ πάντων ἁμαρτωλῶν τῷ πυεὶ παραδίδοται.

Ἁγὶν ἀνδρὸς παρεδεύειν τόνδε τὸν βίον, ἐπείγεσθαι δὲ πρὸς ἑτέραν ζωήν. Διὸ καὶ Δαυὶδ (1) φησί· « πάρεοικος ἐγὼ εἰμι παρὰ σοὶ, καὶ παρεπίδημοι κατὰ » Θεὸν πάντες οἱ πατέρες μου. »

Ἀκόλαστον (2) οἶνος καὶ ὑβριστικὸν μέθη.

Αἱ σωματικαὶ ἀπολαύσεις πλέον τὸ ὀδυνηρὸν ἔχουσι τοῦ ἡδέος· οἱ γάμοι, τὰς ἀπαιδίας, τὰς χηρείας, τὰς διαφθορὰς· αἱ γεωργίαι, τὴν ἀκαρπίαν· αἱ ἐμπορείαι, τὰ ναυάγια· οἱ πλοῦτοι, τὰς ἐπιβουλάς· αἱ τρυφαὶ καὶ οἱ κόροι καὶ αἱ συνεχεῖς ἀπολαύσεις, τὸ ποικίλον τῶν νοσημάτων καὶ τὸ πολυειδὲς τῶν παθῶν.

Αἱ εἰς ἄκρον εὐεξίαι (3) σφαλεραί· ὑποστρεφὰς γὰρ ἔχουσι καὶ μεταπτώσεις, ὀκλαζούσης τῆς φύσεως καὶ ἀναφέρειν τὸ βάρος τῆς εὐεξίας ἀδυνατούσης.

(1) Psalm. XXXVIII, 12, cum varietate.

(2) Prov. XX, 1.

(3) Basilius Hom. I De jejunio, pag. 120 editionis Ingolstadiensis an. 1605, cujus, quum non fuerit memorata in Biblioth. Græca, titulum integrum non ab re visum est hic apponere : « Sancti Patris Joannis Chrysostomi Tractatus panegyrici III [nempe in Lucianum Mart., in Martyres Ægyptios, in Julianum M.], gr. lat., interprete Fr. Ducæo; accesserunt Orationes duæ S. Basilii De jejunio : in usum schol. Soc. Jesu. » Qua in editione male omittuntur σφαλεραὶ et γάρ. Profecit e notissimo Hippocratis aphorismo, I, 3 : ἐν τοῖσι γυμνασιοῖσι αἱ ἐπ' ἄκρον εὐεξίαι σφαλεραί, κ. τ. λ. : de quo cf. Ruhnk. ad Vell. Pat. I, 17; Reitz. ad Lucian. Veræ Hist. initio, et quæ notavi t. XI, parte II, Notit. Mss. Basilius iterum Hom. II De jejunio, p. 154 : ἐρώτησον τοὺς ἰατροὺς καὶ ἀναγελοῦσί σοι ὅτι σφαλερώτατόν ἐστι πάντων ἡ ἐπ' ἄκρον εὐεξία. Rursusque in Hom. Ad adolescentes, § 19 : ἐγὼ δὲ καὶ σφαλερὰν εἶναι τὴν ἐπ' ἄκρον εὐεξίαν ἰατρῶν ἤκουσα. Huc quoque allusit Gregorius Nazianzenus Oratione III, pag. 61 D : ἡ ἐπ' ἄκρων (legendum ἄκρον), ὡς ἂν εἴποι τις, χρισπανῶν εὐεξία.

Ἀρχὴ τῆς καθ' ἀρετὴν ἐστιν ὁρμῆς ἡ τοῦ κακοῦ στάσις.

Γρηγορίου τοῦ θεολόγου. — Αἱ ἐντολαὶ τοῦ Θεοῦ οὐ πρὸς ἄλλο τι βλέπουσιν, ἢ πρὸς τὸ σωθῆναι τὸν ἐπακούοντα.

Ἀδέσποτόν τι χρῆμα ἡ ἀρετὴ καὶ ἑκούσιον· τὸ δὲ κατηναγκασμένον καὶ βεβιασμένον ἀρετὴ εἶναι οὐ δυνατόν.

Ἄνευ εὐβουλίας (1) οὐδέν τι τῶν δεόντων κατορθοῦται.

Ἀξιέραστόν ἐστιν τὸ τῆς ἀφ' ἑτέρου συστάσεως οὐ δεόμενον, ἀλλ' ἐν ἑαυτῷ περιφέρον τὰ ἄριστα γνωρίσματα.

Αὔρις (2) ἐστὶ μᾶλλον πιστεύειν καὶ γράμμασι τοῖς καθ' ὕδατος ἢ τῇ τῶν ἀνθρώπων εὐημερίᾳ. Τίνος ἕνεκεν; ἐμοὶ δοκεῖ, ἵνα, τὸ ἐν τούτοις ἄστατον καὶ ἀνώμαλον βλέποντες, μᾶλλον προσπρέχωμεν Θεῷ καὶ τῷ μέλλοντι, καί τινα ποιώμεθα ἡμῶν αὐτῶν ἐπιμέλειαν, βραχεῖα τῶν σκιῶν καὶ τῶν ὀνείρατων φροντίζοντες.

Ἅ τις (3) ὡς πεισόμενος δέδοικε, ταῦτα πέπονθε, κἂν μὴ πάθῃ, καὶ πλείω παρ' ἑαυτοῦ ἢ τῶν δρασάντων κολάζεται.

Ἄλλοι (4) μὲν εὐπαθοῦσι τῶν Θεῷ φίλων·
Ἄλλοι δὲ δυσπλοοῦσιν, οὐδὲν χείρονες.
Τίς οἶδε τούτων τοὺς λόγους, πλὴν σοῦ, Λόγε;

Ἄρσενα καὶ θήλειαν ἐχώρισεν ἐλπὶς ἀμείνων·
Ἡ δὲ φύσις κρυπτὴν τὴν νόσον ἔνδον ἔχει.

(1) Codex habet εὐβουλείας.
(2) Greg. Nazianz. Orat. XVII, p. 269 A. Cf. ejusdem Orat. XVI, p. 251 A.
(3) Greg. Naz. Or. IV, p. 130 D. — Cod. ἑαυτῶ.
(4) Greg. Naz. t. II, pag. 181, § 36 : ubi ἄλ. μ. εὐπλοοῦσι.

Ἄμεινον (1) ἢ ὡς ἂν ἡμεῖς περιδίδιμεθα διοικεῖ ὁ Θεὸς τὰ ἡμέτερα.

Ἀπόλοιτο (2) ἡ κακία καὶ ἡ πρώτη ταύτης καταβολὴ καὶ ὁ καθεύδουσιν ἡμῖν ἐπισπείρας τὰ ζιζάνια πονηρὸς, ἵνα ἀρχὴ τοῦ κακοῦ γένηται τὸ ἀμελῆσαι τοῦ ἀγαθοῦ.

Ἅπλεται (3) γὰρ οὐ τῶν πολλῶν μόνων, ἀλλὰ καὶ τῶν ἀείστων ὁ μῶμος· ὡς μόνον εἶναι τοῦ Θεοῦ τὸ παντελῶς ἄπλαιστον καὶ ἀνάλωτον πάθεσι.

Ἀτιμία ὄχ ἅπλεται τῷ ἑαυτὸν ταπεινοφροσύνῃ παιδαγωγήσαντι.

Αἰῶνα (4) θησαύριζε τὸν ἔξω τέλους·
Οὗτος γὰρ ἐκλέλοιπε καὶ περὶ τοῦ τέλους.

Ἀμφοῖν φίλοιν πεφιλημένοιν, φιλαίτερον ἡ ἀλήθεια (5).

Τοῦ Χρυσοστόμου. — Αἱ συμφοραὶ καὶ τὸν ἄγαν ἐκίνησαν σώφρονα φθέγξασθαί τι ῥῆμα τῶν αὐτοῦ τρόπων ἀνάξιον.

Αἱ κακοδαίμονες τῶν ἑταιρίδων γυναικῶν ἐκ τῆς τοῦ ἤθους κατασάσεως γνωρίζουσι τοὺς σώφρονας καὶ ἀποστρέφονται.

(1) Codex, περιδύμεθα. Est et infra in Δ, sub Διδοῦτη, p. 29.

(2) Greg. Nazianz. Orat. IX, pag. 157 C.

(3) Id. Orat. XX, p. 336 C, ubi μόνον ἂν εἶναι. Cf. Antonius Serm. 171, pag. 281. Male interpres *Momum* in versione deastrum inducit, quum μῶμος in sermone christiano sit objurgatio et vituperatio. Alium circa nomen μῶμον hominis docti errorem ostendi ad Nicetam p. 366. Vide Addenda.

(4) Greg. Naz. t. II, p. 154, 39: ubi Εἰς αἰῶνα Δ., ut metrum sit nullum. Forsan, ἐς αἰῶνα. Utrobique mendi quid inest syllabæ τόν: forsan τόν γ' ἔξω. Sed particula valde displicet.

(5) Notum est proverbium : « Amicus Plato, magis amica veritas. »

Ἀμήχανον, στόμα μεμελετηκὸς ὀμνύειν μὴ συνεχῶς ἐπιορκεῖν.

Ἅπας λόγος, κεκτημένος τὴν ἀπὸ τῶν πραγμάτων συνηθείαν, ἰσχυρὸς ὑπάρχει καὶ βέβαιος· πᾶσα δὲ φωνὴ τῆς ἀπὸ τῶν ἔργων μαρτυρίας ἐστερημένη ψόφος ἐστὶν ἐξίτηλος ἐκ τῶν χειλέων εἰς τὸν ἀέρα χεόμενος.

Αἱ τιμαὶ τοὺς ἀξίους ὠφελοῦσι, τοὺς δὲ παρὰ τὴν ἀξίαν ἀπολαύοντας εἰς μείζονα τιμωρίαν ἐμβάλλουσιν.

Ἰωάννου τῆς κλίμακος. — Ἄγρυπνον ὄμμα (1) ἤγνισε νοῦν· πλῆθος δὲ ὕπνου ἐπώρωσε ψυχήν.

Ἀγνώμων (2) καὶ δόλιος φίλος ἡ σάρξ, καὶ θεραπευομένη μειζόνως ἀδικεῖ.

Ἀνὴρ (3) ὑψηλοκάρδιος τοῦ ἄρχειν ὀρέγεται· ἄλλως γὰρ, ὡς ἔτυχεν, ἀπολέσθαι εἰς τέλος οὐ δύναται, μᾶλλον δὲ οὐ βούλεται.

Ἁπλότης (4) ἐστὶν ἕξις ψυχῆς ἀποίκιλος πρὸς κακοήθειαν γινομένη.

Ἁπλότητα (5) ἀπηλλαγμένην ταπεινώσεως οὐκ ἔστι θεάσασθαι.

Ἀγάπη (6) καὶ ταπείνωσις ἱερὰ σύζευξις· ἡ μὲν γὰρ ὑψοῖ, ἡ δὲ τοὺς ὑψωθέντας κρατοῦσα οὐδέποτε πίπτει.

Ἀὴρ (7) καθαρθεὶς νεφελῶν φαιδρὸν ὑπέδειξεν ἥλιον,

(1) Joann. Climac. p. 268, 2. Post quæ anonymus in exemplo Raderianæ editionis, quod regia Bibliotheca possidet, addidit e codd., ἄγρυπνος μοναχὸς πορνείας ἐχθρός: quæ verba cognovit et vertit Latinus interpres.

(2) Ibid. p. 183.

(3) Ibid. p. 290.

(4) Ibid. p. 304: ubi, πρὸς κακόνοιαν γινομένη ἀκίνητος. Hic saltem deest ἀκίνητος.

(5) Ibid. p. 306.

(6) Ibid. p. 319: ubi ἱερὰ ξυνωρὶς, ἀγάπη καὶ ταπ. Mox anonymus corrigit e cod. διακρατοῦσα.

(7) Ibid. p. 352: ubi anonymus corrigit e codd. ψυχὴ δὲ προ-

καὶ ψυχὴ, περιλήψεων ἀφέσεως ἀξιωθεῖσα, πάντως θεῖον φῶς ἑώρακεν.

Αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ μαθεῖν, καὶ διδόμενόν τι παρὰ τῶν φίλων ἀγαθὸν μὴ λαμβάνειν.

Γρηγορίου τοῦ θεολόγου. — Ἀναγκαία τῇ συστάσει τοῦ σώματος ἡ εὐκαιρος ἄνεσις (1).

Ἀχάριστον (2) εὐεργετεῖν καὶ νεκρὸν μυρίζειν ἐν ἴσῳ θετέον.

Πλάτωνος. — Ἄνευ φρονήσεως ζῆν οὐκ ἔνι καὶ καλῶς καὶ δικαίως· ὅπου γὰρ οὐκ ἔνι τοῦτο, ζῆν ἡδέως οὐκ ἔστιν.

Γεωργίου τοῦ Πισίδου στίχοι.

Ἀεί τε, ὡς ἔοικεν, αἱ περιστάσεις
Ἐκ τῶν ἐναύλων ἠρεθισμέναι πόνων,
Τίκτουσιν ὁρμὰς κρείττονας βουλευμάτων,
Ὅταν μάλιστα καὶ κατάλληλον φύσιν
Τεθηγμένην εὕρωσιν εἰς εὐτολμίαν.

Ἀπηλλάγησαν οἱ λιπόντες τὸν βίον,
Λύπης, μεριμνῶν, φροντίδων καὶ θλίψεων.

Ἄτακτός ἐστιν ὁ φθορεὺς τῆς καρδίας.

λήψιν ἐλευθεροῦσα καὶ ἀφέσ. ἀξ. θ. φ. πάντως ἑώρ.

(1) Locum Gregorii ubi sit non memini. Similem apponam sententiam ex ejus Oratione XXVIII, p. 478 : καὶ γάρ πως εἴωθα τοὺς πόνους ἀεὶ ταῖς παύσαις διαλύειν ἀνέσεσιν· ἐπὶ μηδὲν ἐνεργὸ φέρει τὸ σύντονον ἀεὶ πονούμενον. Simile potest legi dictum, Socratis forsan, apud Stobæum tit. 3, 91 ; Luciani Hist. veræ I, 1, et Amor. 1; Aristot. Pol. VIII, 2. Addi potest Joann. Geom. Parad. § 58, cujus hoc est lemma in cod. regio 164 supplementi : ὅτι ἡ ἄνεσις ἀρχὴ ὀπιδόσεως. Vid. insuper Gruter. ad hunc P. Syri versum, « Arcum intensio fran- » git, animum remissio » ; Gataker. ad M. Antonini verba IV, 26, νῆφε ἀνειμένος ; et notulam ad Manassis Fragm. VII, 4.

(2) In appendice Stobæana pag. 33, sub nomine Socratis, et apud Antonium pag. 96, sub nomine Plutarchi.

Ἡ τοῦ σκότους ἔπαρσις, ὁ πρῶτος δράκων
Ἔξωθεν ἔνδον ἡδονὰς παρεισάγει,
Σπείρων λογισμοὺς εἰς γονὴν ἁμαρτίας.

Ἀγάλλεται σαφῶς γε δῆμος ἀγέλων,
Χάειν βεγτοῦ κάμψαντος ἐξ ἀταξίας (1).

Ἄνθρωπος ὐδεὶς πλημμελημάτων ἄτερ (2).

Βαβείου. — Ἀρχιτέκτων κακῶν πέφυκεν ὁ καθ' ἑτέρου δόλια φθεγγόμενος.

Ἀνύσεις τι πειθοῖ μᾶλλον ἢ βίᾳ πρᾶτ'ων (3).

Ἀκινδύνως ζῆν εὐτέλεια λαμπρότητος βέλτιον (4).

Αἱ περιστάσεις πεφύκασι πολλάκις καὶ παρὰ γνώμην τὰ σιγῆς ἄξια εἰς τὐμφανὲς ἄγειν.

Αἱ φθάσασαι γενέσθαι χάειτες ὧν πρώτοις εὐκαίρως ἀποδιδόμεναι μεγάλαι εὑείσκοντο.

Ἀλγύνειν καὶ λυπεῖν οἶδεν ἀνθρώπυς οὐ τὰ παρόντα μόνον κακά, ἀλλ' ἤδη καὶ τῶν μελλόντων ἡ προσδοκία.

Ἀριστοτέλυς.— Ἄνθρωπος (5) ὧν ὅλως ἐγὼ ἀνθρώπῳ τύχην προφέρειν ἀνόητον ἡγοῦμαι· ἐὰν γὰρ ὁ τὰ

(1) Alludit ad notum J. C. dictum apud Lucam XIII, 10.

(2) Sententiam illustravi in Notit. Mss. t. XI, part. II, p. 120, et, in Soph. t. II, p. 375, ad hæc Tiresiæ, Antig. 1018: ἀνθρώποισι γὰρ Τοῖς πᾶσι κοινόν ἐστι πύξαμαρτάνειν. Dionysius Hal. De Thucyd. c. 3: οὐδεμία γὰρ αὐτάρκης ἀνθρώπου φύσις οὔτ' ἐν λόγοις οὔτ' ἐν ἔργοις ἀναμάρτητος εἶναι· κρατίστη δὲ ἡ πλεῖστα μὲν ὀρθοῦ τυγχάνουσα, ἐλάχιστα δὲ ἀστοχοῦσα: quæ nescio an jam fuerint comparata cum Horatii loco notissimo: « Nam vitiis nemo sine » nascitur; optimus ille est Qui » minimis urgetur. » Jo. Moschus Prato spirit. § 18 ed. Cotel.: ὄντως, κύριε ἀββᾶ, μετὰ ἀληθείας οὐδεὶς ἀναμάρτητος, εἰ μὴ εἷς ὁ θεός. Cf. Damken. ad Basil. fin.

(3) Cod. βία π. Huc pertinet Babrii nomen.

(4) Deest nonnihil. Forsan, εὐτέλεια φυλάττει, vel aliud quid illo sensu.

(5) Falsum Aristotelis nomen. Repone Δημοσθένους, quem cf. Orat. De cor. § 76. Pro ἀρετὴν, editiones ἀείσιν, bene.

βέλτιστα πράττων, καὶ ἀρετὴν ἔχειν οἰόμενος, οὐκ οἶδεν εἰ παραμένει αὐτῷ μέχρι τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης λέγειν ἢ ὀνειδίζειν ἑτέρους;

Αἰσώπου.

Ἀνδρὸς γέροντος αἱ γνάθοι βακτηρία (1).

Σολομῶντος, περὶ τοῦ μὴ ἀκαίρως θαρρεῖν. — Ἀνὴρ (2) δίγλωσσος ἀποκαλύπτει βουλὰς ἐν συνεδρίῳ· ὁ δὲ πιστὸς πνοῇ κρύπτει πράγματα.

Ἀγαθὸν (3) πορευθῆναι εἰς οἶκον πένθους ἢ εἰς οἶκον πότου.

Ἀνὴρ (4) λοίδορος εἰς ταραχὴν μάχης· ὃς (5) δὲ φυλάσσει τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσσαν, διατηρήσει ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ.

Ἀνδρεῖος (6) ἐν ἀσεβείᾳ συκοφαντεῖ εὐχερῶς.

Αἱρετώτερον (7) κλέπτης ἢ ὁ ἐνδελεχίζων ψευδεῖ.

Ἀσεβῶν καταπιπτόντων, οἱ δίκαιοι κατάφοβοι ἔσονται.

Ἀνὴρ (8) ἐν πόνοις πονεῖ ἑαυτῷ καὶ ἐκβιάζεται τὴν ἀπώλειαν ἑαυτοῦ. Ὁ μέντοι σκολιὸς ἐπὶ τῷ ἑαυτοῦ στόματι φορεῖ τὴν ἀπώλειαν ἑαυτοῦ.

Ἀνὴρ (9) ἄφρων ὀρύσσει ἑαυτῷ κακά, ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων θησαυρίζει πῦρ.

Ἀνὴρ (10) εὐμετάβολος γλώσσῃ ἐμπεσεῖται εἰς

(1) Est inter proverbia Diogeniani, Suidæ, Gregorii Cyprii.

(2) Prov. XI, 13.

(3) Eccles. VII, 3: ubi ἢ ὅτι πορευθῆναι εἰς οἶκ. πότ.

(4) Prov. XXVI, 21.

(5) Prov. XXI, 23: ubi διατηρεῖ.

(6) Prov. XXVIII, 3: ubi cum insigni varietate, ἀνδρεῖος ἐν ἀσεβείαις συκοφαντεῖ πλουσίους.

(7) Sirach. XX, 25: ubi αἱρετὸν cum ellipsi τοῦ μᾶλλον. — Codex, ψευδῆ.

(8) Prov. XVI, 26, 27.

(9) Prov. XVI, 27.

(10) Prov. XVII, 20, 21.

κακά· καρδία δὲ ἄφρονος ὀδύνη τῷ κεκτημένῳ αὐτήν.

Ἀνὴρ (1) παράνομος ἀποπειρᾶται φίλων, καὶ ἐπάγει αὐτοὺς ὁδοὺς οὐκ ἀγαθάς.

Ἄφρων (2) αὐθημερὸν ἐξαγγέλλει ὀργήν, ὁ δὲ πανοῦργος ταμιεύεται.

Ἀπόκρισις (3) ὑποπίπτουσα ἀποστρέφει θυμόν.

Ἀντιλογίαν (4) παραύνει σιγηρός· ἀγαπῶν (5) δὲ ζωὴν αὐτοῦ φείδεται στόματος αὐτοῦ.

Ἄνδρα (6) ἐὰν ἴδῃς ταχὺν ἐν λόγοις, γίνωσκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ἄφρων αὐτοῦ.

Ἀποθανὼν (7) δίκαιος ἔλιπεν μετάμελον.

Ἀνὴρ (8) πανοῦργος θρόνος αἰσθήσεως.

Ἀνήδονος γὰρ τοῖς μετ' ὀδύνης ἐσθίουσιν καὶ ἡδίστη τροφή· τὸ γὰρ ἀνιδρωτὶ πορισθὲν καὶ ἐξ ἑτοίμου ληφθὲν καταφρονεῖσθαι φιλεῖ.

Μενάνδρου.

Ἀνὴρ μαχητὴς ἐν λόγοις ἔστω πρᾶος·
Τὸ γὰρ λαλεῖν ἄμετρα τῆς γλώττης θράσος (9).

(1) Prov. XVI, 29: ubi ἀπάγει.

(2) Prov. XII, 16: ubi ὀργὴν αὐτοῦ, κρύπτει δὲ τὴν ἑαυτοῦ ἀπρίαν ἀνὴρ πανοῦργος.

(3) Prov. XV, 1.

(4) Prov. XVIII, 18: ubi ἀντιλογίας παύει σιγ. Cf. Anton. Serm. 79, p. 136.

(5) Prov. XVI, 17: ubi φείσεται.

(6) Prov. XXIX, 20: ubi μᾶλλ. ὁ ἄφρ. Sed et articulus deest in loco simili XXVI, 12: εἶδον ἄνδρα δόξαντα παρ' αὐτῷ σοφὸν εἶναι· ἐλπίδα μέντοι ἔχει μᾶλλον ἄφρων αὐτοῦ.

(7) Prov. XI, 3. Adscriptum est in codice scholium: ἀμεταμέλητος ἀπέρχεται, οὐκ αἴρει μεθ' ἑαυτοῦ τὸ μετάμελον· ὁ δὲ μὴ μεταγνοὺς ὀπαῦθα κακῶν ὀκεῖσι μεταμέλεται κολαζόμενος.

(8) Prov. XII, 23: ubi ἀν. συνετὸς θρ.

(9) Menandrea si hæc sunt, non Menandri fuit, sed librarii, mendum, supervacaneum ἐστί, quod delevi ante θράσος.

Ἀνὴρ πονηρὸς δράσεται πρῶον λόγον·
Ἔχει γὰρ αὐτὸς τοὺς λόγους ὥσπερ δόλους.

Ἀνὴρ σκολιὸς (1) οὐκ ἔχει φίλων σχέσιν·
Φιλεῖ γὰρ ἐν δόλοισι καὶ ψυχὴν δάκνει.

Ἀνδρὸς πανούργου φεῦγε τὰς ὁμιλίας·
Ἰὸν γὰρ ἐκχεῖ καρδίας κατεσθίον.

Ἀνὴρ φρόνιμος οὐκ ἔχει πολλοὺς λόγους·
Τὸ γὰρ λαλεῖν πρεισσὰ τῆς ἀγρυπνίας.

Αἰσχρὸν γὰρ ἀνδρὶ τινὶ μορίῳ κρατεῖσθαι ὑπὸ τοῦ χείρονος.

Αἰχρὰ (2) μὲν ἔπραξας, ἐπιπλήσσεο· ἐσθλὰ δὲ, τέρπου.

Ἀνδρῶν (3) γὰρ σωφρόνων μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν· ἀγαθῶν δὲ, ἀδικουμένους, ἐκ μὲν εἰρήνης πολεμεῖν, εὖ δὲ παρασχὸν, ἐκ πολέμου πάλιν συμβῆναι, καὶ μήτε τῇ κατὰ πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι, μήτε τῷ ἡσυχίῳ τῆς εἰρήνης ἡδόμενον ἀδικεῖσθαι. Ὅ τε γὰρ διὰ τὴν ἡδονὴν ὀκνῶν τάχιστ' ἂν ἀφαιρεθείη τῆς ῥαστώνης τὸ τερπνὸν, δι' ὅπερ ὀκνεῖ, εἰ ἡσυχάζοι· ὅ τε ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων, οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος.

Ἃ (4) μέν ἐστί σοι λυπηρὰ, πάντως καὶ ἡμῖν· κοινὰ γὰρ πάντα ποιούμεθα τὰ τῶν φίλων, εὖ τε καὶ ὡς ἑτέρως ἔχοντα· ὥσπερ καὶ φιλίας ὅρος ἐστίν.

(1) Menander non potuit σκολιὸς in hac iambici sede ponere, nec infra φρόνιμος. Forsan ὁ σκολιὸς et ὁ φρόνιμος.

(2) Pythag. aur. Carm. 44: ubi Δειλὰ μὲν ὀκωρήξας: malim equidem ἔωρηξας.

(3) Thucyd. I, 120.

(4) Gregor. Naz. Epist. LXX. In fine malim ὅπερ.

....θαῤῥῶν (1) φάθι, ὅτι ἐφ' ἡσυχίας φιλοσοφεῖ, τοσαῦτα τῶν ἀδικούντων φεντίζων, ὅσα τῶν ὐδὲ εἰ γεγένασι γινωσκομένων.

Ἀληθῦσιν καὶ οἱ τῷ κόσμῳ πεσαλετηκότες καὶ πολὺ πλείονα τῶν τῷ Θεῷ δουλευόντων· ἀλλ' ἄμισθον αὐτοῖς τὸ ἀλγεῖν· ἡμῖν δὲ καὶ τὸ πάσχειν ἔμμισθον, ὅταν διὰ τὸν Θεὸν καρτερῶμεν.

Ἀπράγμων γὰρ (2) ἡσυχία τῆς ἐν πράγμασι περιφανείας τιμιωτέρα.

Ἄπαξ γὰρ ἐξουσία ἰσχὺν λαβοῦσα, οὐδὲν τοῦ οἰκείου συμφέροντος κρίνει λυσιτελέστερον.

Ἀρχὴ (3) πρὸς τὴν ἀνάληψιν τῶν καλῶν ἡ ἀναχώρησις τῶν κακῶν· « ἔκκλινον γὰρ », φησὶν (4), « ἀπὸ » κακοῦ, καὶ ποίησον ἀγαθόν. »

Αἱ κατὰ τὸν βίον λαμπρότητες συναναφαίνουσιν ἑαυταῖς καὶ τοὺς βίους τῶν περιβλέπτων.

Αἱ γὰρ (5) σωματικαὶ ἀπολαύσεις πλεῖον ἔχουσι τὸ ὀδυνηρὸν τοῦ ἡδέος.

Τοῦ ἁγίου Βασιλείου.—Βίαιον (6) μάθημα ὃ πέφυκε παραμένειν· τὰ δὲ μετὰ τέρψεως καὶ χάριτος εἰσδυόμενα μονιμώτερόν πως ταῖς ψυχαῖς ἐνιζάνει.

Βίος (7) ὅλος ἡμέρα μία τοῖς πόθῳ κάμνουσιν.

(1) Sic codex. Periit sententiæ initium, quod sic restituas e Gregorii Naz. Epist. LXXIII, quæ loci fons est: Ἄν τις εἴρηταί (leg. ἔρηταί) σε τῶν κοινῶν φίλων (πολλοὺς δὲ εἶναι πείθομαι πόνους), Ποῦ δὲ νῦν ὁ Γρηγόριος; πρόττει δὲ τί; θαῤῥῶν εἰπὲ ὅτι ἐφ' ἡσυχ.

(2) Gregor. Naz. Epist. LXXVI. Legitur et apud Anton. p. 54: ubi Gregorio Nyss. male tribuitur.

(3) Basil. Hom. mor. De virt. p. 10. Cf. Antonius Serm. 1.

(4) Psalm. XXXVI, 27.

(5) Hæc jam apposuit p. 4, 8.

(6) Basil. Hom. mor. De doctr. p. 30. Cf. Antonius Serm. 50.

(7) Gregor. Naz. Orat. XXVIII,

Βουλομένων, οὐ τυραννουμένων, τὸ τῆς σωτηρίας μυστήριον.

Βέλτιον νῦν παιδευθῆναι καὶ καθαρθῆναι, ἢ τῇ ἐκεῖθεν βασάνῳ παραπεμφθῆναι, ἡνίκα κολάσεως καιρὸς, οὐ καθάρσεως.

Βείθει (1) τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα.

Βραχὺ (2) εἰς ὑπόνοιαν κακοῦ τὸ περὶς κακίαν δυσκίνητον.

Βέλτιον τῶν μὴ καθ' ἡδονὴν λόγων ἡ ἀκίνδυνος ἡσυχία.

Βίου (3) μὲν οὐδεὶς πώποθ' ὑψώθη δίχα,
Λόγου δὲ πολλοὶ τοῦ καλῶς φοφουμένου·
Οὐ γὰρ λαλούντων, εὖ βιούντων δ' ἡ χάρις.

Βέλτιον ἀκούειν φωνὴν αἰνέσεως ἢ ἐξηγητὴν εἶναι τῶν ὑπὲρ δύναμιν.

Παροιμιῶν. — Βαρὺ (4) λίθος καὶ δυσβάστακτον ἄμμος· ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοτέρων.

Βέλος (5) πεπηγὸς ἐν μηρῷ σαρκὸς, οὕτως λόγος ἐν κοιλίᾳ μωροῦ.

Βουλὴ (6) καλὴ φυλάξει σε, ἔννοια δὲ ὁσία τηρήσει σε, ἵνα ῥύσηταί σε ἀπὸ ὁδοῦ κακῆς καὶ ἀπὸ ἀνδρὸς λαλοῦντος μηδὲν πιστόν.

Βαθύτερά (7) σου μὴ ἐρεύνα, καὶ ἰσχυρότερά σου

p. 473 C. Cf. infra in Ἡμέρα. Meminit pater literatissimus Theocritei versiculi: οἱ δὲ πολιοῦντες ἐν ἤματι γηράσκουσι.

(1) Sap. Salom. IX, 15.

(2) Codex, βραχύς.

(3) Greg. Naz. t. II, p. 156, 6. Sunt hi versus inter scholia in Climacum, p. 468, ubi pro oratione soluta habiti ab editore fuerunt.

(4) Prov. XXVII, 3.

(5) Sirach. XIX, 12.

(6) Prov. II, 11. Cod. ῥύσηται.

(7) Sirach. III, 21: ubi καλὰ πόρρω σου μὴ ζήτει.

μὴ ἐξέταζε. Ἃ προσετάγη σοι, ταῦτα διανοοῦ· οὐ γάρ ἐστί σοι χρεία τῶν κρυπτῶν.

Ἰωάννου.

Βίον τὸν ἀλλοιωτὸν εὐλαβῶς πέρα·
Πολλὰς γὰρ, οἶσθα, τὰς περιτροπὰς φέρει.

Βραδὺς μὴ ἴσθι (1) πρὸς εὐποιΐαν, ὅτι βραδυτὴς μεταμέλειαν ἔχει.

Βίος βάραθρον καὶ παγὶς πολλοῖς ἔνι.

Βίον ἄδηλον ἄνθρωπος διανύων, φροντίσι πολλαῖς ἀσχολεῖσθαι καλὸν οὐκ ἔνι.

Βασιλείου.—Βαρυτέρα πάσης κολάσεως καὶ δεσμωτηρίου παντὸς ἡ μετὰ τοῦ σώματός ἐστιν διατριβὴ τῷ ἐπειγομένῳ πρὸς τὴν ἄνω ζωήν.

Βαρβαρικὸν φίλον καὶ βάρβαρον τὸ φιλάνθρωπον.

Βρῶσις καὶ πόσις τῆς ἀνθρωπίνης ἀσθενείας τὰ ὑπηρετήματα.

Βρωμάτων πολυτέλεια λαιμὸν μὲν τέρπει, τρέφει δὲ σκώληκα ἀκολασίας ἀκοίμητον.

Τοῦ Χρυσοστόμου. — Βασκανία (2) φαυλότητος ἀμαυροῖ τὰ καλά.

Διάζεσθαί τινα γενέσθαι καλὸν, οὐκ ἔστιν εἶναι καλόν.

Βέλτιον καρτερεῖν δυσχερῶν ἐρχομένων, ἢ ζητεῖν αὐτῶν λύσιν· τὸ μὲν γάρ ἐστι πρόξενον ἀπαθείας, τὸ δὲ ἀνανδρείας τεκμήριον.

Βαρεῖα καὶ δύσχρηστος ἡ πολλῶν κρίσις·
Ἡ τοῦ Θεοῦ, δικαία, συμπαθὴς ὅλη.

(1) Codex habet ἴσθι. (2) Sap. Salom. IV, 12.

Βίου (1) μῆκος, προσδοκηθὲν μέν, πολύ· παραδραμὸν δὲ, ὀνείρου καὶ σκιᾶς ἐστὶν ἀμυδρότερον.

Χαρικλείας. — Βλέμμα (2) οὕτω λαμπρὸν, καὶ εὐσχήμων ὄψις ἅμα καὶ ἐπέρασται, εὐγενείας ἔμφασιν παρεστήσιν.

Ἀρεστί.... (3).

Βουλήσεταί τις μᾶλλον ἢ δυνήσεται.

Σιράχ. — Βασιλεὺς (4) φρόνιμος εὐστάθεια δήμου.

Βαρέα (5) ταῦτα ἀνθρώπῳ ἔχοντι φρόνησιν, ἐπιτίμησις οἰκίας καὶ ὀνειδισμὸς δανειστοῦ.

Βδέλυγμα (6) ὑπερηφανίας ταπεινότης· ὅτως βδέλυγμα πλουσίῳ πτωχός.

Μενάνδρου (7).

Βέβαιος ἴσθι, καὶ βεβαίοις χρῶ φίλοις.

Βίος βέβαιος, εὐτέλεια σύμβιος·
Ἡ λαμπρότης γὰρ ἡ γυνὴ, καὶ κάτω
Τέλος λαβοῦσα, φάσμα καὶ ὄναρ πέλει.

(1) Est et apud Maxim. S. 150.

(2) Heliod. VII, 12. Cod. εὔχημον — ἐπέρασον. Sæpius a grammaticis et excerptoribus Heliodori fabulam sub nomine Charicliæ allegatam esse notarunt critici: vide Dorvillium in Miscell. Obs. t. VII, p. 371, ubi male Jacobum Nicopoleum vocat, qui e Leopardo, Emend. III, 25, Nicoleos vocari debebat: nam sic ἀτπκωπίρως a Leopardo dictus est Jac. Nicolaus Locensis, cujus Epiphyllidum libros Gruter. in Lampade edidit. Quod obiter dictum esto.

(3) Iambicus e scena, ut videtur, petitus, et forsan ex Aristophane. Gregor. Naz. Orat. XIII, p. 207 C: τὰ δὲ καλὰ ὁ φθόνος βουλήσεται μὲν, οὐ δυνήσεται δέ.

(4) Sap. Salom. VI, 24.

(5) Sirach. XXIX, 28.

(6) Sirach. XIII, 20: ubi ὑπερηφάνῳ.

(7) Nomen Menandri, male ante βδέλυγμα positum a librario, huc transposui. Peccatum a librariis est sæpe in lemmatum sede.

Βαβρίου.

Βίος (1) ἀβέβαιος παντὸς ἀνδρὸς ἀπλήστῳ
Ἐλπίσι ματαίων πραγμάτων ἀναλοῦται.

Βιοῦντας ἡμᾶς ἐν αὐταρκείᾳ κρεῖσσον ἀσφαλῶς ζῆν ἢ, τρυφᾶν βυλομένους (2), κινδύνοις ἑαυτοὺς ἐπιρρίπτειν.

Βίος ὁ παρὼν λύπης, μεριμνῶν καὶ φροντίδων, ἀνωφελῶν, ἐστὶ μεσίτης· αἰὼν δ' ὁ μέλλων δόξης, χαρᾶς, εἰρήνης, τρυφῆς ἀδιαδόχου, τοῖς ἀξίοις ἔνι χωρίον, ὡς Χριστῷ φίλοις.

Φίλωνος. — Βλαβεραὶ τῶν ἀνοήτων αἱ συνουσίαι, καὶ ἄκουσα πολλάκις ἡ ψυχὴ τῆς ἐκείνων φρενοβλαβείας ἀπομάτηι τὰ εἴδωλα.

Ἰσοκράτους. — Βραδέως (3) μὲν φίλος γενοῦ, γενόμενος δὲ πειρῶ διαμένειν· ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

Βουλευόμενος (4) παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν.

Αἰσώπου. — Βουλεύου (5) μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα.

Βρότησίαν κακίαν οὐ θῆρες κακοί,
Ἀλλ' ἄνδρες νικήσουσιν οἱ μᾶλλον κακοί.

(1) Inter Babrii Fragm. p. 52, ad Fab. 208, protulit Tyrwhittus, ex Georgidis nostri Mediceo codice. Male edidit ἀναχοῦται, quod et exhibuit nuper Berger. p. 72.

(2) Cod. βυλομένοις et ἑαυτῆς.

(3) Isocr. ad Demon. p. 5: ubi γίγνου. Ante πολλοὺς inserui καὶ, editiones sequutus.

(4) Ibid. p. 7.

(5) Non Æsopi, sed Isocratis, ibid. p. 7. Cf. simile Biantis dictum ap. Stob. tit. 3, 30. Æsopi nomen ponendum puto ante Βρότ.

Γεωργίου.

Βέβηλος, ὃς μνησικακεῖ τῷ πλησίον·
Φθορὰν φιλεῖ γὰρ ὅτος, οὐκ ἀφθαρσίαν.

Βατιολογίαν αὐταρέσκεια συνεισφέρει.

Περικλου. — Βαρὺ διήγησις πειστωμένῃ ψυχῇ, μᾶλλον ἐχούσῃ τὸν λογισμὸν περὶ τὸ μειμνώτερον.

Βραχείας οὔσης τῆς παρούσης ζωῆς, πολλὰς δὲ καὶ κενὰς φροντίδας ἐχούσης, μᾶλλον ἔδει ζωὴν τὴν μέλλουσαν ἐπιζητεῖν, μειμνῆς, λύπης ἀπηλλαγμένην οὖσαν καὶ στεναγμῶν.

Βαδίζειν ὁδὸν ἄδηλον τοῦδε βίου πρὸς ὀρθοῖς πορεύου, μὴ νὺξ σε καταλάβῃ.

Βεβαίου ἀνδρὸς θεραπεύειν εὐτελῶν μᾶλλον οἰκίας ἢ τῶν λαμπρὸν ἐχόντων ἀξίωμα τοῦ βίου.

Σέκστου. — Βραχυλόγον μάλιστα ἡ Θεοῦ γνῶσις ποιεῖ (1).

Νείλου. — Βίος ἡσύχιος χρημάτων πολλῶν πειφανέστερος.

Βίον (2) ἡγοῦμαι τὸν ἄριστον· τοῦτον γὰρ ἡδὺν ἡ συνήθεια ποιήσει.

Βουλεύου (3) περὶ τοῦ λέγειν τι ἢ πράττειν· οὐ γὰρ ἕξεις ἄδειαν ἀνακαλέσασθαι τὰ λεχθέντα (4) ἢ πραχθέντα.

Κυείλλου. — Βάσιμος οὐχ ἅπασιν ἁπλῶς ἡ

(1) Rufinus vertit p. 656: « hominem scientia Dei paucis verbis uti facit. » Porphyrius ad Marc. c. 20: Θεοῦ γὰρ γνῶσις ποιεῖ βραχὺν λόγον. — Pro βραχυλόγον, est in codice βραχὺ λόγον.

(2) Ap. Anton. S. 103, p. 168, 54: ubi βίον αἱρεῖ.

(3) Ap. Epict. Fragm. CI. Similis Demophili sententia p. 620.

(4) Cf. Silv. Sacyus in notis ad *Pend-Namèh*, p. 115.

ἀρετὴ, ἀλλ' ὀλίγοις κομιδῇ καὶ τοῖς ἄγαν ἐξειλεγμένοις.

Ἀθανασίου. — Βέλτιον ἀπορεῦντας σιωπᾷν καὶ πιστεύειν, ἢ ἀπιστεῖν διὰ τὸ ἀπορεῖν.

Παραλειπομένων. — Βδέλυγμα (1) βασιλεῖ ὁ ποιῶν κακά· μετὰ γὰρ δικαιοσύνης ἑτοιμάζεται θρόνος ἀρχῆς.

Βασιλέως (2) ἐν ἀληθείᾳ κρίνοντος πλωχὸς, ὁ θρόνος αὐτοῦ εἰς μαρτύριον κατασταθήσεται.

Γεννηθεὶς ἄνθρωπος εὐθὺς τὸ κοπιᾷν προσκεκλήρωται (3)· τελευτῶν δὲ, δεσμῶν πολυστενάκτων τοῦ βίου, μεριμνῶν καὶ φροντίδων, καὶ λύπης, ἀπήλλακται.

Γένεσιν (4) μᾶλλον δακρύειν καλὸν ἢ τὸν θάνατον. Ἡ μὲν γὰρ δακρύων ἀρχὴ, θάνατος δὲ ποικίλων ἐκ πειρασμῶν καὶ τῶν αἴφνης ἀπροσδοκήτων (5) κακῶν ἐλευθερῖ.

Γέλα, τοῦ βίου τὸν τροχὸν ὁρῶν ἀτάκτως κυλιόμενον· φυλάττου δὲ τὸν βόθρον, εἰς ὃν κυλίει τοὺς ἐν αὐτῷ νυστάζοντας.

(1) Prov. XVI, 12. Compendium vocis παροιμιῶν male intellectum peperit pravam lectionem παραλειπομένων.

(2) Prov. XXIX, 14.

(3) Cod. προσκεκλήρωται.

(4) Respicitur Euripidis notissimus e Cresphonte locus: Ἐχθὴν μὲν ἡμᾶς, ξύλλογον ποιουμένους, Τὸν ζῶντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακὰ, Τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον Χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων: ubi pro ζῶντα inveni in cod. 2720, p. 12, φῦντα, quæ varietas et aliunde nota est: conf. Valcken. ad Herod. v, 4, ubi et sententia illustratur, de qua vide etiam Jacobsium ad Archiam Epigram. 31 Simile est Gregorii Naz. dictum Orat. LIII, p. 758: βίου ἔξοδος ἀμείνων γενέσεως. Sic et Basil. Hom. mor. p. 236: μὴ πένθει ὀδυρώμεθα τὰς ἐνταῦθεν ἐξόδους, καὶ μάλιστα τῶν ὁσίων ἀνδρῶν, ἀλλὰ τὰς γενέσεις μᾶλλον καὶ τὰς εἰς τὴν ζωὴν ταύτην παρόδους. Adde in Θ: Θρακῶν.... p. 47, et p. 37, n. 1.

(5) Codex, ἀπροσδοκήτως.

Ἰωάννου τῆς κλίμακος. — Γένος (1) ἅπαν τῆς ἰδίας συγγενείας ὀρέγεται, ἵππος ἵππου, ὄνος ὄνου, βοῦς βοός, καὶ ἀνὴρ θηλείας· κἂν σωφρονεῖν τις ἐθέλῃ, μεθοδείαις τισὶ τὰ τῆς σαρκὸς κολακεύει σκιρτήματα.

Γλυκύτητι (2) τῶν ἐκεῖθεν κόπῳ πολλῷ καὶ μόχθῳ κατορθούμενον δυνατὸν ἐν μιᾷ καιροῦ ῥοπῇ ἀπολέσαι.

Γαληνὸν ὄμμα ψυχῆς ἐμφαίνει κατάστασιν.

Γέννημα (3) ἐννοιῶν δάκρυον, πατὴρ δὲ ἐννοίας λογικὸς νοῦς.

Γενέσθω (4) σοι ἡ ἐν τῇ κλίνῃ σου ἀνάκλισις τῆς ἐν τῷ τάφῳ κατακλίσεως τύπος, καὶ ἥττον ὑπνώσεις· καὶ αὕτη σοι ἡ τῆς τραπέζης ἀπόλαυσις τῶν σκωλήκων ἐκείνων ὀδυνηρᾶς τραπέζης γενέσθω ἀναμνησις, καὶ ἥττον τρυφήσεις.

Γνώμης εἰσὶν, οὐκ ἀνάγκης, αἱ δωρεαί.

Γέννημα (5) σιδήρου καὶ λίθου πῦρ· γέννημα δὲ πολυλογίας καὶ εὐτραπελίας ψεῦδος.

Γαστριμαργία (6) πέφυκεν τίκτειν βυθοὺς ἀῤῥήτων καὶ ἀγνώστων ἀκαθαρσιῶν λογισμούς.

(1) Respicit, puto, Climacum p. 220 : ubi πᾶν τὸ γένος τῆς συγγενείας τῆς ἑαυτοῦ ἐφίεται (al. ὀρέγεται) ἀπλήστως, τὸ αἷμα αἵματος, καὶ ὁ σκώληξ σκώληκος, καὶ ἡ πηλὸς πηλοῦ· εὐκοῦν καὶ ἡ σὰρξ σαρκός· κἂν μεθοδίαις αὐτὴν (anonymus in exemplo regio delet αὐτὴν et inserit ποσί) τὴν ἀπατεῶνα ἀπατᾷν δοκιμάζωμεν. — Cod. ἵππω, ὄνω, βοΐ, ἐθέλει, μεθοδίαις. Fons sententiæ est Sirach. XIII, 15, 16.

(2) Jo. Clim. p. 34 : κόπῳ πολλῷ καὶ μόχθῳ κατορθοῦται ὁ ἡμῖν ἥδος χρηστὸν καὶ εὐκατάστατον, καὶ τὸ πολλῷ μόχθῳ κατορθούμενον δυνατὸν ἐν μιᾷ ῥοπῇ ἀπόλεσθαι : ubi anonymus in exemplo regio inseruit καιροῦ. Nostri locus forte sic corrigendus, γλυκύ τι — vel γλυκύτητα τῶν . . . κατορθουμένων.

(3) Climac. p. 151, ubi λογισμὸς καὶ νοῦς. Sed anonymus in exemplo regio reposuit e codd. λογικὸς νοῦς.

(4) Clim. p. 151. Cod. αὕτη σου.

(5) Climac. p. 194.

(6) Climac. p. 209, ubi Gula de se ipsa sic loquitur : θάλασσα λογισμῶν, κύματα μολυσμῶν, βυθοὺς

Γεωργῖς (1) πλοῦτον ἐν ἄλωνι καὶ ληνῷ συνάγει ἀγρυπνία.

Γελῶσιν (2) οἱ πλουτοῦντες πενήτων ἤθη·
Τὰ ῥάκη γὰρ ὁρῶσιν, οὐχὶ τὴν τόλμαν.

Γέλως (3) ἄκαιρος ποτὲ μὲν ἐκ πορνείας δαίμονος τίκτεται· ποτὲ δὲ ἐκ κενοδοξίας, ὅταν τις ἐφ' ἑαυτῷ ἐνδοθεν σεμνύνηται ἀσέμνως· ποτὲ δὲ ἐκ τρυφῆς.

Γαστριμαργίας μήτηρ πορνεία, ἀκηδίας δὲ κενοδοξία.

Γεννήτρια πάντων τῶν κακῶν ἡδονὴ καὶ πονηρία, ἃ ὁ κατέχων οὐκ ὄψεται τὸν Κύριον· οὐδὲν δὲ ἡμᾶς ἡ τῆς πρώτας ἀποχὴ, ἐκτὸς τῆς δευτέρας, ὀνήσει.

Γαστριμαργίας ἀνορεξία, νοῦς· ὁ δὲ (4) ἄκακος τηρεῖ τὴν ἑαυτοῦ γλῶσσαν, ὡς ἀγαπῶν τὴν ἑαυτοῦ ψυχήν· καὶ κολακεία χρώμενος ἐξαπατᾷ καρδίαν ἀκάκου καὶ μακαρίζει πλανῶν αὐτόν.

Γνώσεως ἀληθοῦς τις μετέχων, καὶ γλυκύτητος Θεοῦ γευσάμενος, οὔτε δικάζειν ὀφείλει ποτὲ, οὔτε δίκας κινεῖν ὅλως, κἂν αὐτὰ ἀφέληταί τις ἅπερ ἠμφίασται. Ἡ γὰρ τῶν ἀρχόντων τοῦ κόσμου τούτου δικαιοσύνη μᾶλλον δὲ (5) οὐδέν ἐστι πρὸς τὸ δίκαιον τοῦ Θεοῦ.

ἀγνώστων καὶ ἀῤῥήτων ἀκαθαρσιῶν ἐξ ἐμοῦ ἐκπορευόνται. Compilatoris verba non sunt omnino sana.

(1) Joann. Climac. p. 268.

(2) Hanc sententiam sic dispescere visum est. Metrum est enim politicum. Versus prior conferendus cum Gregoriano t. II, p. 154, § 33 : Γελῶσιν οἱ πλουτοῦντες ὀρφανῶν ψόγους.

(3) Climac. p. 337 : ubi anonymus in exemplo regio delevit δαίμονος, codices suos sequutus.

(4) Inter νοῦς, qua voce finitur codicis pagina 271, 2, et ὁ δὲ, quod paginæ 272, 1, initium est, periit folium unum. Sententia enim hiare lacuna videtur, et e Mediceo Georgidis nostri codice, p. 39, hunc Babrii versum protulit Tyrwhittus, Γνώμη πονηρὰ χρηστὸν ἦθος οὐ πίπτει, quem in regio codice non reperi.

(5) Videtur deesse aliquid.—

Γεννήτωρ φρονήσεως φόβος Κυρίου· Κύριον ὁ φοβούμενος οὐ δειλιάσει τοὺς πολλούς.

Γεννητικὸν πάντων τῶν παθῶν καὶ διαφθεῖρον τοὺς τῆς ἀρετῆς καρποὺς πέφυκεν ἡ παῤῥησία.

Γαληνὸν καὶ ἀτάραχον ἄνδρα μακροθυμία ποιεῖ.

Γυναικὸς κολακεία ψιθύρισμα ὄφεως.

Γένος ὧν ῥεύσεως ἄνθρωπος οὐδέν ἐστι· θανάτῳ γὰρ ζωεῖ, ζωὴν ἔχων οὐ διηνεκῆ.

Λυκιανοῦ.

Γῆς (1) ἐπέβην γυμνός, γυμνὸς δ' ὑπὸ γαῖαν ἄπειμι·
Καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;

Θεόγνιδος. — Γυναικὸς (2) ἀνὴρ οὐδὲν χρῆμα λαΐζεται κάλλιον ἐσθλῆς.

Σολομῶντος. — Γλῶσσα (3) δισσὴ πολλοὺς ἐσάλευσε, καὶ ὁ (4) διεσπαρμένος αὐτῇ οὐ μὴ εὕρῃ ἀνάπαυσιν.

Γλωσσώδει (5) ἀνθρώπῳ μὴ διαμάχου, μηδὲ ἐπιβλίβαζε ἐπὶ τὸ πῦρ αὐτοῦ ξύλα.

Γλῶσσα (6) σοφῶν καλὰ ἐπίσταται· ἴασις (7) γὰρ γλώσσης δένδρον ζωῆς.

Γλῶσσα (8) ψευδὴς μισεῖ ἀλήθειαν.

Γέλως (9) ἀσυνέτων ἐν σπαταλῇ ἁμαρτίας, καὶ

Forsan, δικαιοσύνη μικρόν τι, μᾶλλον δὲ οὐδέν. — Cf. p. 27, 4.

(1) Non Luciani, sed Palladæ, Epigr. 103.

(2) Non Theognidis, sed Hesiodi, E. 700, ubi Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ λαΐζετ' ἄμεινον Τῆς ἀγαθῆς.

(3) Sirach. XXVIII, 14.

(4) Sirach. XXVIII, 16.

(5) Sirach. VIII, 3 : ubi μὴ διαμάχου μετὰ ἀνθρώπου γλωσσώδους, καὶ μὴ ὑπεριβάσης ἐπ.—Cod. γλωσσώδη et ὑπεριβάλλε.

(6) Prov. XV, 2.

(7) Prov. XV, 4.

(8) Prov. XXVI, 28.

(9) Sirach. XXVII, 13.

ἄφρων (1) ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ· ἀνὴρ δὲ πανδρῆς μόλις ἡσυχῇ μειδιάσει.

Γῆρας (2) τίμιον ὑ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δὲ ἐστὶν φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρυς βίος ἀκηλίδωτος.

Γλυκὺς (3) ὁ ὕπνος τοῦ δούλου, εἰ ὀλίγον καὶ εἰ πολὺ φάγεται.

Γυνὴ (4) ἄφρων καὶ θρασεῖα ἐνδεὴς ἄρτου γίνεται, ἣ οὐκ ἐπίσταται αἰσχύνην.

Βασιλεύς. — Γυμνάσιον (5) ταπεινοφροσύνης ἡ ἐν τοῖς εὐτελεστέροις πράγμασιν διατριβή.

Γυναικείαις ἐπιθυμίαις θέλων ὑπηρετεῖσθαι, ἀρετῆς φροντίζειν ὑ βούλει.

Γυναιξὶν (6) ὥσπερ τὸ ἀναπνεῖν, οὕτω καὶ τὸ νηστεύειν οἰκεῖόν ἐστι καὶ κατὰ φύσιν.

Φωτίου.

Γέλως τὰ τῇδε πάντα καὶ κενὸς δρόμος.

Γρηγορίου.

Γαστὴρ (7) μέτρα φέρουσα τάχ' ἂν παθέεσσιν ἀνάσσοι.

Σιράχ. — Γνῶσις (8) ἀσυνέτου ἀδιεξέταστοι λόγοι.

Γυνὴ ἀγαθὴ (9) μερὶς ἀγαθὴ, καὶ ἐν μερίδι φοβουμένων τὸν Κύριον δοθήσεται.

(1) Sirach. XXI, 20 : ubi μωρός.

(2) Sap. Salom. IV, 8, 9 : ubi τὸ πολ.... γήρως. Codicis lectio, γήρυς, habet quo se tueatur.

(3) Eccles. V, 11.

(4) Prov. IX, 13 : ubi ἀνδὴς ψωμοῦ.

(5) Basil. Hom. mor. De humil. p. 375.

(6) Basil. Homil. II De jejun. p. 138 edit. Ingolstad. 1605.

(7) Greg. Naz. t. II, p. 133 C, ubi ἀνάσσῃ, male. Cod. ἀνάσσει.

(8) Sirach. XXI, 18.

(9) Sirach. XXVI, 3.

Γενοῦ πρᾶος ἐν ἀποκρίσει λόγου, ἵνα συνήσῃς.

Γυναικὸς (1) ἀγαθῆς μακάριος ὁ ἀνήρ.

Γυνὴ (2) ἀνδρεία εὐφραίνει τὸν ἄνδρα αὐτῆς, καὶ τὰ ἔτη αὐτοῦ πληρώσει ἐν εἰρήνῃ.

Δημοκρίτου.—Γλῶσσαν (3) μίαν ἡ φύσις τοῖς ἀνθρώποις δέδωκεν, δύο δὲ ὦτα, ἵνα διπλασίονα ὧν λέγομεν παρ' ἑτέρων ἀκούσωμεν.

Γῆρας (4) καὶ πενία, δύο τραύματα δυσθεράπευτα.

Δημόκριτος (5) τοὺς εὐπρεπεῖς καὶ ἀπαιδεύτους ὁμοίους εἶπεν εἶναι ἀλαβάστρῳ γέμοντι ὄξος.

Δόξα (6) καὶ πλοῦτος ἄνευ συνέσεως οὐκ ἀσφαλῆ κτήματα.

Διεσώθη (7) ἀπὸ κακύματος ἀνὴρ νοήμων.

Διεστραμμένη (8) καρδία τεκταίνει κακά.

Δόξα (9) ἀνδρὶ ἀποστρέφεσθαι λοιδορίας· ὁ δὲ ἄφρων ταύταις συμπλέκεται.

(1) Sirach. XXVI, 1.

(2) Sirach. XXVI, 2.

(3) Hujus sententiæ Diogenes Laert. VII, 23, Zenonem stoicum auctorem esse tradit. Consule ibi Menagium. — Parilem ex Nabio, poeta Turcico, sententiam vide in Cardonii Miscell. lit. Orient. t. II, p. 192, ubi e Catone adpositi sunt, quos inter Catoniana frustra quæsivi, versus duo : « Os » unum natura, duas formavit et » aures, Ut plus audiret quam » loqueretur homo. »

(4) Est apud Maximum S. 50, sub Democriti nomine, et hic forsan Georgides nomen apposuerat, quod librarius e regione sententiæ superioris male collocavit.

(5) Diogeni hoc dictum tribuitur ap. Anton. S. 110, pag. 185. Præstabit ὄξυς : sed cf. p. 1, v. 2.

(6) Apud Stob. tit. 4, 82, sub Democriti nomine, et ionice, ξυνέσιος, ἀσφαλέα. Est et inter Democratis sententias p. 629, et in Maximi S. 140, p. 121.

(7) Prov. X, 5 : ubi υἱὸς νοήμ.

(8) Prov. VI, 14.

(9) Prov. XX, 3 : ubi πᾶς δὲ ἄφρ. πειούτοις συμπλ.

Δόλος ἐν καρδίᾳ τεκταινομένου κακά.

Δύο (1) αἰτοῦμαι παρὰ τὸν Θεὸν πρὸ τοῦ με ἀποθανεῖν, μάταιον λόγον καὶ ψεῦδος μακρὰν ἀπ' ἐμοῦ ποιῆσαι· βδέλυγμα γὰρ (2) Κυρίῳ χείλη ψευδῆ.

Δίκαιοι ἀπολαύουσιν ἐν πλούτῳ ἔτη πολλά· ἄδικοι δὲ ἀπολοῦνται συντόμως.

Ἰσοκράτους. — Δοκίμαζε (3) τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον εὐτυχίας καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας. Τὸ μὲν γὰρ χρυσίον ἐν πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν (4). Οὕτω δ' ἂν ἄριστα χρήσαιο τοῖς φίλοις, ἐὰν μὴ πρεσμένης τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος ἐν τοῖς καιροῖς βοηθῇς.

Δύο ποιῶ (5) καιρὸς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. Ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρεῖττον· ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν ἢ λέγειν.

Δέον (6) τοῦτο γινώσκειν, ἵνα καὶ τὰ τῶν ποιητῶν

(1) Prov. XXIV (XXX, 7): ubi δύο αἰτ. παρὰ σοῦ .... ψευδῆ .... ποίησον.

(2) Prov. XII, 22.

(3) Isocrat. ad Demon. p. 5: ubi ἀτυχίας, melius.

(4) De hac similitudine vide notata ad Manassis Fragmenta, post Nicetam p. 294. Euripides, Herc. fur. 59, δυσφραξίαν vocat φίλων ἔλεγχον ἀψευδέστατον: ubi Barnes. Adde infra in Ἡ τῶν πρ. p. 42, et in Τοὺς γηπόνους.

(5) Isocr. ad Dem. p. 9: ubi δύω.... οἶδα σαφῶς.... κρεῖττον. Quum ubique sint in hoc codice vocales ω et ο confusæ, nescio an librarius, qui scripsit κρίττον, voluerit κρείττων aut κρεῖττον exhibere. Nec τῷ κρείττων accentus in τῷ κρείττον favet; nam et ubique accentu acuto pro flexo abutitur. Pag. 30, 1, ubi κρεῖττον omnino requiritur, codex habet κρίττον.

(6) Isocr. ad Dem. extr. Initio sententiæ compilator paululum a duce suo recessit. Post καθ. puto a librario male fuisse omissa Isocratea verba, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν. Codex, δὴ, quod in δεῖ reformavi; edit. χρη. Solennis est error ille. In fine

βέλτιστα μανθάνωμεν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγινώσκωμεν. Ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, οὕτω δεῖ καὶ τοὺς παιδείας ὀρεγομένους μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. Μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

Δέον μὴ μνησικακεῖν· ἀλλ' ὁ κακὸς καὶ ἑλκοποιεῖν παρεσκευάσται.

Δεῖ (1) παρὰ τὰ γελοῖα μὴ σπουδάζειν, μηδὲ παρὰ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρειν· τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν.

Διαγόρας, ἰδὼν (2) φθονερὸν λυπούμενον, ἔφη· « Ἢ » τούτῳ μέγα κακὸν συμβέβηκεν, ἢ ἄλλῳ μέγα » ἀγαθόν. »

Δύο νομίζω κάλλη κατὰ ἀνθρώπους πλανᾶσθαι, οὐράνιον καὶ πάνδημον· ἀλλὰ τὸ μὲν οὐράνιον ἄχθεται θνητῷ κάλλει δεδεμένον, καὶ ζητεῖ πρὸς οὐρανὸν ταχὺ φεύγειν· τὸ δὲ πάνδημον ἔρριπται κάτω καὶ ἐγχρονίζει περὶ τοῖς σώμασιν.

Δίκτυόν (3) ἐστι πολύπλοκον ἡ τῆς κακίας μέθοδος, ᾧ μερικῶς συμπλακεὶς περιεκτικῶς σφίγγεται.

Δυσεύρετον (4), ἢ καὶ παντελῶς ἀνεύρετον, ἐν πεφυρμένῳ βίῳ τὸ καλόν.

Wyttenb. ad Plut. p. 279, conjicit ἀπίρως ἔχειν pro ἀπίρους ἔχ., vitium corrigens quod pridem ab editionibus exulavit.

(1) Isocr. ad Dem. p. 7 : ubi bis περί, quod non æque bonum est. Codex, τῶν γελοίων χ., quod omnino mendosum est. Recepi editionum lectionem optimam.

(2) Bioni tribuitur Borysthenitæ a Diogene Laert. IV, 51; et Stob. tit. 38, 50, Antonioque S. 99, p. 163, 17. Cf. et Menag. ad Diog.

(3) Marc. Erem. De lege § 172.

(4) Philo De prof. p. 472.

Δυσεκρίζωτος ἡ πλάνη, ὅταν διαβράμῃ χρόνῳ πολλῷ.

Δικαίου ὄψις ῥώννυσι ψυχὴν ἀσθενοῦσαν.

Δικάζειν ὅλως, ἢ δίκας κινεῖν, τὸν ἀφθαρσίας ὀρεγόμενον, οὐ καλόν.

Δαιμόνων (1) σλήεγμά ἐσλιν ἡ ὑπερηφανία.

Δικασλὴς (2) ἀπάνθρωπος καὶ Θεοῦ ἀντίπαλος· καὶ βλασφημίας ῥίζα ἡ ὑπερηφάνεια.

Δίδου (3) σῇ κοιλίᾳ τροφὴν ἐμπιπλῶσαν καὶ εὔπεπλον, ἵνα διὰ μὲν τῆς πλησμονῆς τὴν ἄπλησλον αὐτῆς γνώμην ἀποσλήσωμεν, διὰ δὲ τῆς ταχείας διαπνεύσεως, τῆς πυρώσεως ὡς μάσλιγος λυτρωθῶμεν.

Δυνάμενός (4) τις ὑψοῦσθαι, καὶ ἐκφεύγων τὸ ὕψος, φιλόσοφον καὶ φιλόθεον ἔργον δεικνύει.

Διαλύειν (5) ἀγάπην οὐδὲν οὕτω πέφυκεν, ὡς ἡ παῤῥησία, καὶ μῖσος ἐργάζεσθαι.

Διεσλραμμένη (6) ψυχὴ αὐταρκεῖ ἑαυτῇ πρὸς ἀπώλειαν.

Δεδοίκασι (7) σύννοιαν οἱ δαίμονες, ὡς οἱ λαγωοὶ τοὺς κύνας.

Δακρύων καὶ σλεναγμῶν καὶ λύπης γέμει πᾶς ὁ βίος ἀνθρώπου, κἂν πάντα γῆς ἀγαθὰ σπουδάσας ἔχῃ.

Διηνεκῶς φοβούμενός τις τὸν θάνατον πᾶσαν ἁμαρτίαν ὡς ἰὸν ὄφεως διαφεύγει.

(1) Joannes Climac. p. 289.
(2) Climac. ibid.
(3) Climac. p. 204 : ubi, pro ἄπλησ., criticus anonymus in exemplo regio e codd. scripsit κορέσωμεν.
(4) Climac. p. 324, cum varietate notabili. Addidi alterum καί.
(5) Ibid. p. 353.
(6) Joann. Clim. p. 371, ubi anonymus in exemplo regio reposuit ἀρκεῖ, non vulgato melius.
(7) Ibid. p. 150 : ubi οἱ κλέπται τοὺς κ.

Αἰσώπου.

Δηλοῖ πολλάκις κακοσύνθετος ὄψις
Ψυχῆς διεσφαμμένης τὸν σκαιὸν τρόπον.

Δέδοται (1) καὶ κακοῖς ἄγρα.

Δούλῳ γενομένῳ, δοῦλε (2), δουλεύειν φοβοῦ·
Ἀμνημονεῖ γὰρ ταῦρος ἀργήσας ζυγοῦ.

Τοῦ Χρυσοστόμου. — Δεῖ ἡμᾶς οὐ μόνον βουλεύεσθαι τὰ φίλα Θεῷ, ἀλλὰ καὶ τὰς ἀγαθὰς ὁρμὰς δεικνύναι ταῖς πράξεσιν.

Δεινὸν οὐδὲν τῶν ἀνθρωπίνων, οὐ πενία, οὐ νόσος, οὐχ ὕβρεις, οὐκ ἐπήρεια, οὐκ ἀτιμία καὶ θάνατος· ἀλλὰ δεινὸν ἡ ἁμαρτία.

Δι' ἀκοῆς μὴ μέμψῃ ποτὲ τινά· νόησον (3) πρῶτον, καὶ τότε ἐπιτίμα. Πρὶν ἀκοῦσαι μὴ ἀποκρίνου, καὶ ἐν μέσῳ λόγῳ μὴ ἐπίβαλλε ῥῆμα, ὅτι θάνατος (4) καὶ ζωὴ ἐν χειρὶ γλώσσης.

Δυνατοὶ εὐμαρῶς ἔχουσιν ἀδικῆσαι τοὺς ἀδυνάτους, ὡς ἰχθύες ἐν τῇ θαλάσσῃ τοὺς ἥσσονας ἑαυτῶν ποιοῦνται κατάβρωμα.

Δόξα ἀνθρωπίνη καὶ πλοῦτος εἰς χοῦν κατασκηνοῖ, καὶ τὸ κλέος αὐτῆς σβέννυται· δόξα δὲ ἀρετῆς μένει εἰς τὸν αἰῶνα.

(1) Proverbium est inter Parœmias Græcas receptum. Vide Zenob. III, 31, et alios.

(2) Inserui δοῦλε, e Comparatione Menandri p. 360, ubi hi versus Menandro tributi sunt. Cf. Menander Meinek. p. 240. In codice 2720, p. 2, priorem versum sic scriptum reperi: δουλογενεῖ δούλῳ δουλεύειν φοβοῦ. Vide infra Menandri Monosticha in Δοῦλος.

(3) Sirach. XI, 7, 8. Codex ad marginem habere videtur Ἀντωνίου.

(4) Prov. XVIII, 21.

Δωρεᾶς ἐλάττωσις τοῦ δεδωκότος ἀσθένεια.

Δόξης ἀεὶ φρόντιζε τῆς αἰωνίου· ἡ γὰρ παροῦσα ψεύδεται καθ' ἡμέραν.

Δικτύῳ (1) κομίζειν ὕδωρ ἢ πλίνθον πλύνειν εὐπετές, ἢ κακίαν ποιωθεῖσαν χρόνῳ πολλῷ ἐν ἀνθρώπου ψυχῇ ἐξελεῖν δυνατόν.

Διακρίνειν ἐπιστημόνως καλὸν ἐκ τοῦ κακοῦ τελεωτέρας ἕξεως καὶ γεγυμνασμένων αἰσθητηρίων ἐστίν.

Διδοῦντι Θεῷ τὰ ἀγαθὰ τὴν χάριν ὁμολόγει· ταμιευομένῳ δὲ μὴ δυσχέραινε. Ἄμεινον (2) γὰρ ἢ ὡς ἂν ἡμεῖς προνοούμεθα διοικεῖ Θεὸς τὰ ἡμέτερα.

Δεινὸν (3) δράκοντες καὶ κακοῦργον ἀσπίδες·
Διπλῆ γυναικὸς δεινότης ἐν θηρίοις.

Δεινὸν (4) ὑστεροβουλία, καὶ τὸ τηνικαῦτα τῆς σωτηρίας αἰσθάνεσθαι.

Δύσληπτον (5) τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει, ὥσπερ καὶ πῦρ ὕλῃ τῇ ὑγροτέρᾳ. Ἕτοιμοι πρὸς τὴν τοῦ κακοῦ μετουσίαν οἱ πλεῖστοι καὶ ἐπιτήδειοι.

(1) Est et ap. Antonium S. 32, p. 168, ubi καὶ πλ., et φυπωθεῖσαν pro ποιωθεῖσαν. Ad marginem Antonii hæc est notula: « leg. εὐπιστέρῳ, et δυνατὸν in fine omitto. » Sed ad εὐπιστός potest μᾶλλον subaudiri, ellipsi vulgari, de qua monui in Notit. Mss. t. XI, part. II, p. 161. Sunt exempla infra in Θ, Θαρεῖν καλὸν τάχιστα ἢ...., et Θαρεῖν ἐνδόξως καλὸν ἢ.... Isidorus Pel. V, 10: πῖς γὰρ δρῶσιν ἢ πῖς πάσχουσιν ἡ ἡμωρία ἀπόκειται: nempe δρῶσι μᾶλλον ἢ πάσχουσι, quod latuisse interpretem videtur. Nec in fine sententiæ δυνατὸν obest. Δικτύῳ κομίζειν ὕδωρ et πλίνθον πλύνειν proverbia sunt, quorum illud, hac saltem forma, non facile obvium est. Collectiones proverbiorum περὶ ἀδυνάτων in Appendice e codd. proponam.

(2) Jam supra in A, sub Ἄμεινον, p. 6. Cod. προνοούμεθα.

(3) Greg. Naz. t. II, p. 155.

(4) Greg. Nazianz. Orat. XL, p. 654 C: ubi apte addita est sententiæ clausula, ὅπ οὐκ ἔστ λύσις ζημίας κ. τ. λ.

(5) Id. Orat. I, p. 6 D.

Δέον εὐμεταχινήτους μὲν εἶναι πρὸς τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, ἀκινήτους δὲ πρὸς τὸ χεῖρον ἀπὸ τοῦ βελτίονος.

Δοῦλος (1) ἐμοὶ πᾶς σκαιὸς, ἐλεύθερος ὅστις ἄριστος.

Βασιλεῖ. — Δυσάγωγόν ἐστιν πρὸς ἀρετὴν τὸ γένος τῶν ἀνθρώπων, διὰ τὸ πρὸς ἡδονὴν πολλάκις ἐπιῤῥέπες.

Δυσμεταχειριστότατον ἔχθρας εἶδος ὁ φθόνος· τοὺς μὲν γὰρ ἄλλως δυσμενεῖς ἡμερωτέρους ποιοῦσιν αἱ εὐεργεσίαι, τὸν βάσκανον δὲ καὶ κακοήθη τὸ καλῶς παθεῖν πλέον παρορεθίζει.

Δύο σοι νόμισον εἶναι θυγατέρας, τὴν εὐπάθειαν τὴν ὀνθάδε, καὶ τὴν ζωὴν τὴν ἐν τοῖς οὐρανοῖς. Εἰ μὴ θελήσεις τὰ πάντα δοῦναι τῇ κρείττονι (2), μέρισον ἐξίσης τῇ τε ἀκολάστῳ παιδὶ καὶ τῇ σώφρονι, μὴ τὴν ὀνταῦθα διαγωγὴν ὑπέρπλουτον δείξῃς, γυμνὴν δὲ τὴν ἄλλην καὶ ῥακίοις ἠμφιεσμένην.

Δικαίου (3) κριτοῦ ἐστὶν ἴσας πρὸς ἴσας μὴ ὀείζειν τὰς ἀντιδόσεις, ἀλλ' ἀνάγκη τὸν κατάρξαντα τοῦ κακοῦ μετὰ παρασθήκης ἀποτίσαι τὰ ὀφειλόμενα, εἰ μέλλοι αὐτός τε ταῖς τιμωρίαις βελτίων γενέσθαι καὶ τοὺς λοιποὺς σωφρονεστέρους ποιήσειν τῷ ὑποδείγματι.

Δανειστικὸν (4) πλούτου ἡ θεραπεία τῶν δεομένων.

Δύνασθαί τι καλὸν καὶ μὴ ποιεῖν οὐκ ἐπαινετέον· ἢ γὰρ φθονερὸν τοῦτο, ἢ ἀργόν.

(1) Greg. Naz. t. II, p. 127 B.
(2) Codex, εἰμι θελήσις..... κρίττονι: sic librarius solet.
(3) Basil. Hom. mor. De virtute et vitio, p. 20.
(4) Codex, δανιστικόν.

Εὐαγείου.—Δεινόν ἐστι μέγα φρονεῖν μικρὰ πράττοντα.

Δέον καὶ κακοῖς εὖ ποιεῖν, οὐ καθ' ὃ κακοὶ εἰσὶν, καθ' ὃ δὲ ἄνθρωποι φύσει.

Δεῖν ταῖς ἐκ λόγων παραινέσεσιν τοὺς πλαίοντας εἴκειν, ἵνα μὴ ταῖς ἐξ ἔργων ὀφέ ποτε παραταθεῖεν (1) ὀδύναις.

Δεῖ τὸν πονηρὸν ἄνδρα μὴ αἰτεῖν ἀγαθά· κακὰ δὲ μᾶλλον αἰτούμενος ἑτοίμως παρέξει.

Δεῖ ταῖς ἡδοναῖς μηδ' ὅλως ὑποπίπτειν, διὰ τὸ πικρὸν ταύταις ἐπακολουθεῖν τέλος.

Δέον (2) τὰ τέλη τῶν πραγμάτων ἡμᾶς προορᾶν, καὶ οὕτως τὴν τούτων ἐγχείρησιν ποιεῖσθαι.

Τωβία.—Ἐν ἀργίᾳ (3) ἐλάττωσις πολλή. Μήτηρ ἐστὶν ἡ ἀργία τοῦ λιμοῦ, ἀδελφὴ δὲ τῆς κλοπῆς.

Βαβείου.—Ἐπιθυμίαις εἰθισμένον τινὰ δουλεύειν οὐδεὶς λόγος κωλύειν ἰσχύσειε πρὸς τὸ μὴ πράττειν ἀεὶ τὰ καθ' ἡδονήν.

Βασιλείου.—Ἐν ἁμίλλαις (4) πονηρᾶς ὁ νικήσας

(1) Codex, παραθεῖεν.

(2) Babrii nomen præfert in cod. Coisliniano: cf. Tyrwhitt. in Postcripto Dissert. de Babrio, ubi hæc esse prosaica monet. B. tamen, p. 72, inde choliambos fecit duos, quam bellos! Δέον τὰ τέλη προορᾶν τῶν πραγμάτων ἡμᾶς, Καὶ οὕτω τὴν τούτων ἐγχείρεσιν ποιεῖν. Codex quidem, ἐγχείρεσιν, ut et Coislinianus: scripsi ἐγχείρησιν.

(3) Tobiæ IV, 13: ubi ἐν τῇ ἀχρειότητι ἐλάτ. καὶ ἔνδεια πολλή· ἡ γὰρ ἀχρειότης μήτηρ ἐστὶ τοῦ λιμοῦ: tantum.

(4) Basil. Hom. mor. p. 345. Est sententia Barnabæ viro apostolico tributa a quodam compilatore in Grabii Spicilegio, t. I, p. 302. Cf. not. ad Aristænet. p. 665. Isidorus Pelus. V, 10: ἐν τοῖς ἐμφυλίοις πολέμοις... οἱ νικῶντες τῶν ἡττωμένων εἰσὶν ἀθλιώτεροι. Vide Gruter. ad P. Syr. p. 460, Stobæi loco quodam utentem, quem non reperi.

ἀθλιώτερος· ἀπέρχεται γὰρ τὸ πλέον ἔχων τῆς ἁμαρτίας.

Ἔθος (1) διὰ μακροῦ χρόνου βεβαιωθὲν φύσεως ἰσχὺν λαμβάνει.

Ἔθος (2) χωρισμὸς καὶ τοῖς ἀλόγοις ἐστὶ δυσφορώτατος.

Ἔδει (3) καθάπερ τὸν χρυσὸν καὶ τοὺς λίθους ἐν τῇ ὄψει γνωρίζομεν, οὕτω καὶ τοὺς καλοὺς τῶν ἀνδρῶν αὐτόθεν διαγινώσκεσθαι, καὶ μὴ μακροτέρας δεῖσθαι δοκιμασίας.

Εὐκαίρως τὰς πρὸς (4) φίλους αἰτήσεις ποιοῦ, τὸ δοκεῖν φεύγων εἶναι μοχθηρός.

Ἐν (5) τῇ εὐδίᾳ ταύτῃ τοῦ βίου ὢν, ὀκδέχου ποτὲ καὶ χειμῶνα πραγμάτων· ἥξει γὰρ νόσος, καὶ ἥξει πενία, οὐκ ἀεὶ κατὰ πρύμναν ἱσταμένου τοῦ πνεύματος.

Εὑρετὴς (6) κακῶν ἡ ἀσέβεια καὶ λίαν τολμηρὸν εἰς ἐγχείρησιν.

(1) Cf. infra in Λ: Λόγῳ καὶ χρ.

(2) Basil. Hom. mor. De morte, p. 244; qui addit: καί ποτε εἶδον ἐγὼ βοῦν ἐπὶ φάτνης δακρύοντα, τοῦ συννόμου αὐτῷ καὶ ὁμοζύγου πλευτήσαντος. Symeon Metaphr. in Stylianum: Ἵππος διασὰς δάκνεται τοῦ συννόμου, Καὶ βοῦς στρηνιᾷς τοῦ συνήθους δακρύει. Cui non redit in mentem Virgilianum, « it tristis » arator Mœrentem abjungens » fraterna morte juvencum »? Plutarchus De educ. v: τὰ θηρία, τῶν συντρεφομένων ἀποστώμενα, πάντα πενθοῦντα φαίνεται: ubi Wyttenb. videndus p. 82.

(3) Greg. Naz. Epist. cx: ubi τοὺς καλ. καὶ μὴ, deestque δεῖσθαι.

(4) Codex, τὰ φεύ.

(5) Basil. Hom. mor. De felic. init. ubi εὐοδίᾳ.

(6) Melius εὑρετής. Confusio perpetua vocalium literarum ι et η, qua utar ad sanandum scholiastem Æschinis, apud Osannum Auctar. p. 94: Ἀμόργινον· εἶδος ξύλου ποιοῦν ἕλια, ὥσπερ ἐστὶ τὸ ἑρκόξυλον. . . Ἄλλοι δὲ λέγουσι τὸ ὂν πῖς καλάμοις ὥσπερ ἕλιον εὑρισκόμενον. Ἐδῆτα δὲ ποιῆσαι ἀπὸ πύτων ἐστὶ δυσχερές, καθὸ λεπόπαπόν τι ἔστιν ὡς ὑμῶν. Rescribam ὡς ὑμῶν, ut mem-

Γρηγορίου. — Εὐάλωτόν ἐστιν ἡ πονηρία καὶ πανταχόθεν ἑαυτῇ περιπίπτουσα.

Εὔκολον εἰς ἀπάτην τὸ πρὸς ἡδονὴν ἅπαν.

Ἓν μόνον (1) ἀνθρώποισι καλὸν καὶ ἔμπεδόν ἐστιν·
Ἐλπίδες οὐράνιαι.

Εὔκολον τῷ πονηρῷ τὰ εἰς ἀπάτην σχήματα.

Ἐπὶ τοῖς ἀκουσίοις ἐλατταώμασιν ἐλεεῖσθαι μᾶλλον ἢ καθυβρίζεσθαι τοὺς ἀτυχοῦντας προσῆκεν.

Ἰσοκράτους. — Εὐσέβει (2) τὰ πρὸς τὸν Θεὸν, μὴ μόνον σέβων, ἀλλὰ καὶ τῇ πίστει ἐμμένων· ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐποιΐας σημεῖον, τοῦτο δὲ τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον.

Ἔθιζε (3) σαυτὸν μὴ σκυθρωπὸν εἶναι, ἀλλὰ σύννουν· δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις.

Εὐλαβοῦ (4) τὰς διαβολὰς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν ἀλήθειαν ἀγνοοῦσιν, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν.

Ἐὰν (5) ᾖς φιλομαθὴς ἢ πολυμαθὴς, ἃ μὲν ἐπίσταισαι διαφύλαττε ταῖς μελέταις, ἃ δὲ μὴ μεμάθηκας προσλάμβανε ταῖς ἐπιστήμαις. Ὁμοίως γὰρ αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ μαθεῖν, καὶ διδόμενόν τι παρὰ τῶν φίλων ἀγαθὸν μὴ λαμβάνειν.

Εὐημερία (6) παράλογος ὕβρεως ἔργα προκαλεῖται.

brana et *pellicula*, et ἐριόξυλον pro ἐρικόξυλον.

(1) Greg. Naz. t. II, p. 89 D.

(2) Isocr. ad Dem. p. 3, quem monachus christianum reddere voluit, pro πρὸς θεοὺς scripto Θεὸν, σέβων pro θύων, πίστει pro πῖς ὅρκοις.

(3) Ibid. § 4.

(4) Isocr. ad Dem. p. 4, ubi τὴν μὲν ἀλ.

(5) Ib. ubi ἔσῃ πολ. Cf. p. 8, 3.

(6) Heliod. v, 29. Apud An-

Ἐγκράτειαν (1) ἄσκει τούτων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. Ἔσῃ δὲ τοιοῦτος, ἐὰν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις· τῇ δὲ ὀργῇ παραπλησίως ἔχε πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς ἑαυτὸν ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας· ἐν δὲ τοῖς τερπνοῖς, ἐὰν αἰσχρὸν ὑπολάβῃς τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δὲ ἡδοναῖς δουλεύειν· ἐν δὲ τοῖς λυπηροῖς, ἐὰν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σαυτὸν, ὡς ἄνθρωπος ὤν, ὑπομιμνήσκῃς μᾶλλον.

Εὔπειθον ἡ κουφότης.

Ἔσο (2) περὶ τὴν οἰκείαν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. Φιλοκάλου μὲν γὰρ τὸ μεγαλοπρεπὲς, καλλωπιστοῦ δὲ τὸ περίεργον.

Τοῦ Νύσσης. — Ἐνεργὸς ἡμῖν ὁ νοῦς παρὰ τοῦ δημιουργοῦ κατεσκεύασται. Ὅταν οὖν αὐτῷ μὴ δῶμεν ἐργασίαν χρηστὴν, αὐτὸς ἐπιλαμβάνεται ἐργασίας ἀτόπου.

Φίλωνος. — Ἐκ (3) πολυλογίας ψευδορκία φύεται.

Ἰωάννου τῆς κλίμακος. — Ἐὰν μὴ ὑετῷ Θεοῦ τῆς σαρκὸς αἱ φλογώδεις (4) ἀποσβεσθῶσιν, ἀδύνατον ἀνθρώπῳ τὴν ἁγνείαν φυλάξαι.

ton. S. 148, pag. 238, Charicliæ esse dicitur. Cf. supra p. 16.

(1) Isocr. ad Dem. p. 5. Editi ἂν ἔχῃς, melius : ἔχε sententiæ nexum turbat. Ex editis inserui ἂν post ὥσπερ. Sic Isocrates ad Nicocl. 7 : οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥβας, ὥσπερ ἂν τὰς κρείττους πρὸς σαυτὸν ἀξιώσειας. Statim editi exhibent πρὸς σαυτὸν, non πρὸς ἑαυτόν. Sed et hoc valde probum. Isocrates ad Nic. II : ἃ τοῖς παισὶ τοῖς ἑαυτοῦ ἂν συμβουλεύσειας, τούτοις αὐτὸς ἐμμένειν ἀξίου.

(2) Isocr. ad Dem. p. 6, cum varietate.

(3) Philo De decal. p. 757 E, ubi verius, φύεται ἐκ πολυορκίας ψευδορκία καὶ ἀσέβεια.

(4) Deest ὁρμαὶ, vel vox alia.

Τȣ̃ Χρυσοστόμȣ. — Ἐπίπονον φύσει καὶ μοχθηρὸν τὸν βίον ἡμῶν Θεὸς κατεσκεύασεν, ἵνα, ὑπὸ τῆς ἐνταῦθα συνωθȣ́μενοι θλίψεως, ἐπιθυμίαν τῶν μελλόντων λαμβάνωμεν.

Ἐν ἡμέρᾳ ἀνέσεως μνήσθητι καὶ πειρασμȣ̃· πολλὰς γὰρ ἡμῶν ὁ βίος ἔχει τὰς μεταβολάς.

Ἔθος τοῖς φιλοῦσιν ἐπ' ἐκείνοις μᾶλλον φέρειν ἐφ' οἷς ἂν πάσχωσιν ὑπὲρ τῶν φιλουμένων (1), ἢ εὐεργετοῦνται.

Ἕκαστον (2) ἡμῶν τῶν βιωτικῶν πραγμάτων εὐεπηρέαστόν ἐστιν, καὶ μόνιμον οὐκ ἰσχύει παρασχεῖν τὴν ἡδονήν.

Ζήλου μηδένα τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχȣ τȣ̀ς μετὰ δικαιοσύνης ζημιωθέντας. Οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' ȣ̃ν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι πάντων.

Σολομῶντος. — Ζημιȣ̃ν (3) ἄνδρα δίκαιον ȣ̀ καλόν.

Ζυγὶ (4) δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου· σταθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ.

Ζῆν εὐτελῶς ἄμεινον ἢ τρυφᾶν ἔνι (5)·
Τρυφὴ γάρ ἐστι τῶν παθῶν ὑπηρέτης (6).

(1) Codex, ὑπ. τὸν φιλούμενον.
(2) Joann. Chrysost. tom. II, pag. 169. Vide Eclogas Matthæianas, p. 401.
(3) Prov. XVII, 26.
(4) Prov. XI, 1. Cf. XX, 23.
(5) Cf. supra p. 17, 4.
(6) Cf. sub lit. Τ, Τρέφων .... Pro ὑπηρέτης, malim ὑπηρέπης, illa adjutus vocalium η et ι permutatione de qua supra p. 32. Osannus in Auctarium, p. 122, vocem πάνυ recepit, simul recte notans nullius esse pretii. Auctoritate usus est Oraculorum Sibyllinorum a Maio editorum, ubi

Ζῶος γενήσῃ χρομμύου μόνον λαβών.

Ζάλης, σίναγμῶ, φροντίδων, γέμει βίος·
Τὸν ἐμπαθῆ πρὸς ὅρμον αἰσχύνης ἄγει.

Αἰσώπου. — Ζημίαν εἶναι τὴν σχολὴν καὶ τὴν ἄνεσιν νόμιζε, καὶ σπεῦδέ τι πράττειν ὧν ἀπαιτεῖσθαι μέλλομεν.

Ζημίας δήλης ἐν ἅπασι κειμένης,
Τοὐλάχιστον εἰ λάβοις, ἑρμαῖον κάλει.

Θεοφυλάκτου. — Ζῶντες μὲν πρὸς ὀλίγον οἱ ἄνθρωποι ἐπιπλάσιῳ σεμνυνόμεθα κόσμῳ· τεθνηκότες δὲ ἀφηρήμεθα ἃ οὐκ ἔστιν ἡμέτερα. Ὑπερέρα τοίνυν καὶ χρημάτων καὶ σώματος, ἀθανάτου δὲ πράγματος ἐπιμελοῦ, τῆς ψυχῆς. Ἡ μὲν γὰρ ἀΐδιος καὶ ἀθάνατος, τὰ δὲ θνητὰ καὶ πρὸς ὀλίγον ἐστὶν ἡμέτερα.

Ἰωάννου. — Ζῶντες ζῶντας ὁρῶσι, νεκροὶ δὲ τοῖς ζῶσι (1) ἀθέατοι.

Ἀριστίππου. — Ζῆν (2) κρεῖττον ἐπὶ σιβάδος κατακείμενον καὶ θαρρεῖν, ἢ πλοῦτον ἔχοντα συμπνίγεσθαι ταῖς φροντίσιν.

Τοῦ Χρυσοστόμου. — Ζῶν τις ἐναρέτως καὶ θλίψεσι περιπίπτων διπλοῦν ἔχει τὸ κέρδος, ζῶν δὲ ἐν κακίᾳ καὶ τρυφῶν ἡδοναῖς διπλῆν ἕξει τὴν κόλασιν.

145, πάντες ὅσοι πίνουσι πάνισον Ἀρμένιοι κρύσαλλον ἄγαν μείονες Ἀράξεω. Memini pro πάνισον conjicere, ad Herodian. Epim. p. 53, πάνησον, quod nunc etiam unice verum esse videtur.

(1) Scripto δὲ ζῶσ' ἀθέατοι, versus exibit non bonus.

(2) Sententia simillima est ap. Stobæum tit. 5, 28, quam editio Schowiana, p. 138, Pythagoræ tribuit. Cf. Epictetum ibid. 89.

Ζῶντας δεῖ (1) τοὺς ἀγαθοὺς ἄνδρας ἐπαινεῖν καὶ τιμᾶσθαι, ἀποθανόντας δὲ ἐγκωμιάζεσθαι.

Ζητῶν τυχεῖν τῶν ἄνω, τῶν κάτω καταφρόνει, πλούτου, τρυφῆς, δόξης, ὡς τάχος φθειρομένων.

Ζῶν τις ὢν πονηρίᾳ περὶ τῆς γεέννης κολάζεται, τῷ συνειδότι κεντούμενος.

Τοῦ Θεολόγου. — Ζωῆς τῆς ἐνταῦθα τοῦτό γε κέρδος, τὸ ὁδηγηθῆναι διὰ τῆς ταραχῆς τῶν ὁρωμένων καὶ σαλευομένων ἐπὶ τὰ ἑστῶτα καὶ μὴ κινούμενα.

Σέκστου. — Ζωῆς εὐκαίρου τὸ κέρδος πίστις (2).

Ζωὴ (3) ἀνθρώπου οὐκ ἐξ ἐπικαίρου κτήσεως χρημάτων, ἀλλ' ἐξ ἀρετῆς, παραγίνεται.

Ἰεζεκιὴλ προφήτου.

Ζηλούμενος (4) καὶ μὴ μισούμενος φίλοις.

Ζυγὸς δίκαιος καὶ μέτρον δίκαιον καὶ χοίνιξ (5) δίκαιος ἔστω ὑμῖν.

Πλάτωνος. — Ζῶμεν (6) οὐχ ἵνα ἐσθίωμεν, ἀλλ' ἐσθίομεν ἵνα ζῶμεν.

(1) Conferam locum Antagenis ap. Antonium S. 51, p. 77: ζῶν μὲν ἐπαινοῦ, ἀποθανὼν δὲ μακαρίζου. Unde putaverim esse μακαρίζεσθαι pro ἐγκωμιάζεσθαι reponendum. Sic μακαρίζειν de mortuis in Nicolai Damasceni Fragmentis p. 279: Καυσιανοὶ τοὺς μὲν γεγωμένους θρηνοῦσι, τοὺς δὲ τελευτήσαντας μακαρίζουσι.

(2) Huc forsan referenda Rufini Latina p. 647: «deliciarum » finis corruptio.» Cf. in Α, Ἀκαίρου ... p. 2, 5.

(3) Greg. Naz. Or. LIII, p. 759, ubi ὀλιγήρου πλούτου κτήσεως, ἀλλ' ἐκ σοφίας περιγίνεται. Inserui ἐξ post οὐκ. Codex, κτήσεως.

(4) Non inveni illum versum in Ezechielis tragicis reliquiis. Caruit arte qui μισούμενος hac sede posuit. Forsan, φίλ. μισ.

(5) Levit. XIX, 36. Cod. χοίνιξ. Verba Levitici accuratius descripsit Antonius S. 40, p. 59.

(6) Socratis celebre dictum est apud Stobæum tit. 17, 22, et alios; num etiam reperiatur ap. Platonem nescio. Cf. Wyttenb. ad Plut. t. 1, p. 219.

Τοῦ Χρυσοστόμου.—Ἡ φύσις ἡ ἀνθρωπεία, ἐπειδὰν πολλῆς ἀνέσεως ἐπιλάβηται, ἐπιλανθάνεται τῆς οἰκείας εὐγενείας καὶ οὐκ ἵσταται ἐπὶ τῶν οἰκείων ὅρων.

Ἡ ἀρετὴ οὐκ ἐκ τῶν κάτω ἀξιωμάτων, ἀλλ' ἐκ τρόπου γνωρίζεται τῆς ψυχῆς.

Ἡ χρηστότης ἀγαθὸν, ἀγάπη δὲ κεφάλαιον ἀγαθῶν.

Ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης.

Ἡ τῶν παθῶν ἐλευθερία πανήγυρις.

Ἰωάννου.—Ἡ ἐνταῦθα ζωὴ, τὸ ἐπίμονον οὐκ ἔχουσα, συνέζευκται καὶ πολλαῖς πραγμάτων μεταβολαῖς.

Ἀμφιλόχου.—Ἡ πρεπτὴς γλῶττα, οὐδὲν ἄξιον ἐρευγομένη, καὶ ἀσύγγνωστός ἐστιν καὶ ἑαυτὴν ἐστηλίτευσεν.

Ἡ τῶν ἀνθρώπων γνώμη καὶ προαίρεσις εὐόλισθός ἐστι καὶ εὐπερίτρεπτος· τούτου χάριν ἀσφαλίζεσθαι χρὴ καὶ πάσῃ φυλακῇ τηρεῖν τὴν ἑαυτοῦ καρδίαν, ὥστε μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτοῦ σωτηρίαν κατεργάζεσθαι.

Ἡ σωματικὴ τροφὴ, ὅταν εἰς γαστέρα χυμοὺς ἔχουσαν πονηρίας ἐμπέσῃ (1), ἐπὶ πλεῖον ἐπιτείνει τὴν

(1) Cod. ἐμπίσοι. Potest quidem nonnunquam ὅταν optativum sibi junctum habere; sed in hoc loco solœcismus esset ἐμπίσοι, quem, ut sexcenties evenit, iotacismus peperisset. Dixit Menander in Olynthia: ὡς ἄδικον, ὅταν ἡ μὲν φύσις ἀποδῷ τι σημνὸν, πῦ τι δ' ἡ ψυχὴ κακοῖ. Nuper vir d., id fragmentum tractans, κακοῖ pro optativo habuit, quem subtilius interpretatur: mihi quidem et multis, puto, lectoribus, ἀποδῷ et κακοῖ sunt subjunctivi. In illis verbis terminationes plures et activæ et passivæ prorsus eædem sunt, quæ tamen ex adjunctis plerumque nitide distingui queunt. Isocrates Dem. p. 5: πῦτο δὲ ποιήσεις, ἂν, μὴ δεόμενός τυ, δεῖσθαι προσαιτῇ, περί τι τῶν ῥητῶν ὡς ἀπορρήτων ἀνακοινοῖ: qua in sententia nemo paulo attentior de ἀνακοινοῖ optativo cogitaverit. Id moneo ob edicti de optativo κακοῖ fastum ac superbiam. Adde Eurip. Tr. 1150.

ἀῤῥωστίαν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῆς γαστρός.

Ἡ τῶν θείων μυστηρίων μετάληψις, ἐπειδὰν εἰς διάνοιαν ἐμπέσῃ γέμουσαν πονηρίας, μᾶλλον αὐτὴν διαφθείρει καὶ ἀπόλλυσιν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῆς δεξαμένης ψυχῆς.

Ἡ ἔνθεσμος τοῦ γάμου μίξις τιμία παρὰ Θεῷ, ἡ δὲ πρὸς χάριν τῶν ἡδονῶν ἐκτελουμένη θανάτῳ ὑποβέβληται.

Ἰωάννου.—Ἡ εὐκαιρος σιωπὴ μήτηρ ἐννοιῶν σοφωτάτων.

Ἡ συμπάθεια καλὸν ἔργον ἐν βίῳ· ταύτην ἔχων τις εὐόδως πορεύεται.

Ἡμέρα (1) μία βίος ὅλος τοῖς πόθῳ κάμνουσιν.

Ἥκιστα κακίαν ὑφορᾶται τὸ κακίας ἐλεύθερον.

Ἡδονῆς ποτέ ἐστιν λύπη τιμιωτέρα καὶ κατήφεια παντηγύρεως, ἢ γέλωτος ὁ καλῶ δάκρυον ἐπαινούμενον.

Ἦθος (2) ἀνδρὸς οὐκ εὐθὺς ἁλωτόν ἐστιν, ὅτι μὴ χρόνῳ πολλῷ καὶ συνουσίᾳ τελεωτέρᾳ.

Βασιλείου. — Ἡ ἐπὶ πλεῖον ἐνταῦθα διατριβὴ πλειόνων κακῶν ἀφορμὴ γίνεται τοῖς μὴ προσέχουσιν.

Ἡ ἐξ ἔθους καὶ σχολῆς ἀργία πρᾶγμα ἐπίβουλον.

Ἡ ἔννομος ζωὴ παῤῥησίας δημιουργός.

Ἡ (3) πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ' ἑαυτήν.

Ἰσοκράτους.—Ἡγοῦ (4) κρατίστιον εἶναι, παρὰ μὲν τοῦ Θεοῦ, εὐτυχίαν, παρὰ δὲ ἡμῶν, εὐβουλίαν.

(1) Gr. Naz. Or. XXVIII, p. 473. Cod. ὅλως. Cf. supra in Βίος, p. 13.
(2) Id. Orat. XX, p. 329 D.
(3) Jacob. Epist. II, 17.
(4) Isocr. ad Dem. pag. 7, ubi τῶν θεῶν. Cf. p. 33, n. 2.

Ἡ παιδεία εὐτυχοῦσι μὲν ἐστὶ κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον (1).

Ἡ (2) τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγκοσμεῖ· πλούτου δὲ κρείττων, χρησιμωτέρα δὲ εὐγενείας ἐστὶν, καὶ τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα δυνατὰ καθιστῶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ θαρσαλέως ὑπομένουσα, καὶ τὸν μὲν ὄκνον φύγον, τὸν δὲ πόνον ἔπαινον ἡγουμένη.

Ἡγοῦ (3) τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ σωσεζημίωσε τοὺς ἔχοντας.

Ἡδέως (4) ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις· οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ.

Ἡγοῦ (5) τὰ καλὰ τῶν μαθημάτων πολλῶν εἶναι χρημάτων κρείττω. Τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ μόνη τῶν χρημάτων ἀθάνατον.

Ἡγοῦ (6) σεαυτῷ πρέπειν κόσμον, αἰσχύνην, δι-

(1) In Appendice Stobæana p. 39, sub nomine Democratis. Aristoteles, ib. p. 37, ἔφη τὴν παιδείαν εὐτυχοῦσι μὲν κόσμιον εἶναι, πλαίσιον δὲ καταφυγὴν ἐλευθέρον. Potuit inde proficere Cicero loco nobilissimo pro Archia : « hæc » studia..... secundas res or- » nant, adversis perfugium ac so- » latium præbent. » Yungus : « to » men of letters and leisure, it » (Composition) is not only a no- » ble amusement, but a sweet » refuge; it improves their parts » and promotes their peace.... » Parilia ex poeta Arabico excerpsit Cardon. Miscell. liter. Orient. tom. II, pag. 177.

(2) Isocr. ad Demon. pag. 2. Scripsi ex editionibus ὄκνον pro lectione codicis, ὅρκον.

(3) Ibid. p. 7. Correxi scriptum ποσοῦτον.

(4) Ibid. p. 3.

(5) Isocr. ad Demon. p. 4 : ubi ἡγοῦ τῶν ἀκροαμάτων πολλὰ πολλῶν. ...μόνον.

(6) Isocrates, ibidem.

καιοσύνην, σωφροσύνην· τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος.

Δημοκρίτου. — Ἡ χάρις, καθάπερ σελήνη, ὅταν τελεία γένηται, τότε καλὴ φαίνεται.

Ἡ τύχη οὐκ ἐπίδηλα τὰ κινήματα κέκτηται, ποικίλη καὶ πολύμορφος οὖσα· ἀεὶ γὰρ ταῖς μεταβολαῖς ἐμβατεύουσα, πίστιν ἔχει τὸ ἄπιστον.

Ἡ (1) τύχη ἔοικεν φαύλῳ ἀγωνοθέτῃ· πολλάκις γὰρ τοὺς μὴ νικήσαντας στεφανοῖ.

Ἡ τῶν ἡδονῶν ἀναχώρησις φιλοσοφίας ἀναγώνιον ἵσησι τρόπαιον.

Ἡ (2) ἄμπελος τρεῖς βότρυας φέρει, τὸν μὲν πρῶτον ἡδονῆς, τὸν δὲ δεύτερον μέθης, τὸν δὲ τρίτον ὕβρεως.

Ἡ χάρις πρὸς εὐγνώμονας οὐδέποτε θνήσκει.

Αἰσώπου.

Ἦθος τὸ πρᾶον καὶ τὸ πρησυνὲς ῥῆμα
Μαλάττειν οἶδεν καὶ τοὺς ἄγαν λιθώδεις.

Εὐαγείου. — Ἡδὺς ἐκεῖνος φίλος ὁ μετὰ σώματος ψυχὴν διατρέφων.

Πυθαγόρα. — Ἡ (3) αὐτάρκεια, καθάπερ ὁδὸς

(1) Apud Antonium S. 148, pag. 236, 39.

(2) Pythagoræ tribuitur apud Antonium S. 68, pag. 116, 33. Simile dictum est Anacharsidis, Stobæi tit. 18, 26: conf. Damk. ad Basil. p. 90; Menag. ad Diogen. Laert. 1, 103.

(3) Ap. Stob. tit. 5, 37, Socrati tribuitur. Est et inter Demophili Sent. p. 614, qui pro πόνον habet κόπον. Redit in memoriam controversa in epigrammate incerto 260 lectio, quam, occasione oblata, asseram: Τᾶδε κατὰ χλοερεῖο ῥιφεὶς λειμῶνος, ὁδῖτα, Ἄμπαυσον μογερῶ μαλθακὰ γυῖα πόνῳ. Sic scripsit ex ingenio Brunckius πόνῳ, pro vetere eaque mala lectione καμάτῳ. Jacobsius κόπου se

βραχεῖα καὶ ἐπιτερπής, χάριν μὲν ἔχει μεγάλην, πόνον δὲ μικρόν.

Γεωργίου. — Ἡ τῶν λόγων πρόοδος τὴν ἐξ ὧν πρῆλθε καταμηνύει διάθεσιν· ἃ γὰρ ἔνδον ἐγκρύπτεται μὴ δηλούμενα πράγματα, τούτων σύμβολα προσαγόμενοι οἱ λόγοι καθίστανται.

Ἡ κατὰ σάρκα φιλία ἄγαν εὐχερῶς διαλύεται, βραχείας τινὸς εὑρεθείσης αἰτίας· αἰσθήσει γὰρ οὐ δέδεται πνεύματος.

Ἡ ψυχή, ὡς ἀσώματος, τῶν οὐρανίων καλῶν ὀρέγεται, τὸ δὲ σῶμα, ὡς χοῦς, τῆς ἐπιγείου τροφῆς.

Ἡδέως τῶν παρόντων ἡδέων καταφρονήσαι ἀμήχανον, ἐὰν μὴ τῆς τοῦ Θεοῦ γλυκύτητος ὂν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ γευσώμεθα.

Ἡ τῶν περιστάσεων ἀνάγκη τοὺς μὲν φίλους δοκιμάζει, τοὺς δὲ ἐχθροὺς ἐλέγχει (1).

Ἡ βλέψις καὶ ἡ γεῦσις, καὶ αἱ λοιπαὶ αἰσθήσεις, διαφορῦσι τὴν μνήμην τῆς καρδίας, ὅταν αὐταῖς ὑπὲρ τὸ μέτρον κεχρήμεθα.

Ἡ πολλὴ λύπη εἰς ἀπελπισμὸν καὶ ἀπιστίαν τὴν ψυχὴν περιίστησιν, καὶ ἡ πολλὴ χαρὰ εἰς οἴησιν αὐτὴν προκαλεῖται. Ἐπὶ τῶν ἔτι δὲ νηπιαζόντων τοῦτο.

Τοῦ Χρυσοστόμου. — Ἡ τοῦ νοῦ δύναμις χαυνοῦται καὶ διαῤῥεῖ, καὶ ἐξίτηλος γίνεται, συνεχῶς οἰνοποσίαις ἐπαυτλυμένη.

Ἡ τῶν πειρασμῶν φύσις οὐ πτώματα πέφυκεν ἐργάζεσθαι, ἀλλ' ἡ τῶν πειραζομένων ῥαθυμία.

malle profitetur, quippe quod sit corrupto καμάτου magis proximum. Κόπου diserte scriptum reperi in codice regio 2720, pag. 7.

(1) Epict. Fragm. 154. Vide supra p. 25, in Δοκιμάζει.

Σέκστον. — Θεοῦ ἄξιόν σε ποιήσει τὸ μηδὲν ἀνάξιον αὐτοῦ πράττειν (1).

Θέλε (2) τοὺς συνόντας σοι αἰδεῖσθαί σε μᾶλλον ἢ φοβεῖσθαι· αἰδοῖ μὲν γὰρ πρόσεστι σέβας, φόβῳ δὲ μῖσος (3).

Θάνατος καὶ φθορά, καὶ πάντα τὰ δεινά, ἔστω σοι καθ' ἡμέραν (4), καὶ οὐδὲν ἄγαν ἐπιθυμήσεις.

Βαβέον.—Θυμῷ χρῆσθαι κατὰ τῶν πέλας ἀμέτρῳ καλὸν οὐκ ἔνι.

Θνητὸν λαχὼν τὸ σῶμα, μὴ φρόνει (5) μέγα.

Θύλακον (6) ἔχων δερμάτινον, θνητὴν δὲ φέρων σὰρκ τροφοιμίου τὴν σύστασιν, πλούτῳ καὶ δόξῃ βίου μὴ ἐπαρθῇς, ἀλλὰ μέτρια φρόνει.

(1) Rufino vertente pag. 645: « Deo dignus est qui nihil indigne » agit » : forsan, « illo agit ». Porphyr. ad Marc. 15 : ἀξίαν σε ποιήσει Θεοῦ τὸ μηδὲν ἀνάξιον Θεοῦ μήτε λέγειν, μήτε πράττειν.

(2) Cod. θέλαι : permutatione ubivis obvia. Appendix Stobæana p. 40 : Κλεάνθης, ἐπίρω ἀπέναι μέλλοντος, καὶ ἐρωτῶντος πῶς ἂν ἥκιστα ἁμαρτάνοι, εἶπεν· Εἰ, παρ' ἕκαστα ὧν πράττεις, δοκοίης μὴ παρεῖναι. Ex permutatione literarum αι et ε, repone ἐπαίρω, et præterea scribe μοι pro μὴ, quæ est alia nec nota minus synchysis. Eadem facienda est medicina alii loco ibid. p. 15 : Διογένης λόγον τινὰ διεξήει περὶ σωφροσύνης καὶ ἐγκρατείας, καὶ, ὡς ἐπήνουν αὐτὸν οἱ Ἀθηναῖοι, ὁ δὲ, « Κάκιστ' ἀπόλοιθε » εἶπε, « τοῖς ἔργοις » μὴ ἀπολέγοντες. » Reponendum omnino, ut sit sensus, μοι pro μή.

(3) Est apud Demophilum, p. 622, et ap. Stobæum tit. 48, 20, sub Pythagoræ nomine. Conferendus Chilo ibid. 24 : μετὰ τῆς ἰσχύος τὴν πραότητα σώζε, ἵνα μὴ φοβερὸς, ἀλλ' αἰδοῦς ἄξιος φαίνῃ τοῖς ὀνυγχάνουσιν.

(4) Pro ἔστω legendum παρέστω, vel ἔστω σοι πρὸ ὀφθαλμῶν reponendum, aut aliud quid parile.

(5) Codex, φρόνη.

(6) Isocrates, seu potius Theophylactus Simocatta qui rhetoris Attici personam mentitus est, Epist. ad Dionysium : ἔπ τὸν θύλακον ἔχεις δερμάτινον· θνητὴν γὰρ ἔχεις σὰρκ τροφοιμίου τὴν σύστασιν· τί δῆτα τὸ κενὸν τοῦτο καὶ κοῦφον δοξάζειν (codicum lectionem exhibeo) ὅτι τοσοῦτον τὸν πήλινον ἀσκὸν διεφύσησε;

Θεῷ δόξα διὰ μεγαλοσύνην πρέπει, ἀνθρώπῳ δὲ ταπείνωσις, ἵνα δι' αὐτῆς οἰκειωθῇ τῷ Θεῷ.

Θάνατον εὐλαβούμεθα, οὐχ ὅτι κακόν, ἀλλ' ὅτι τοῖς ἀνθρώποις ἠγνόηται. Οὗ γάρ τις τὴν γνῶσιν ἀφήρηται, τούτου κατηφρεῖ περιχειρότατα.

Θησαυρίζειν (1) καλὸν ὅπου σής ἢ κλέπται οὐ διορύσσουσι.

Θήρας τὸ παρὰ μικρὸν ἴσον ἐστὶ τοῦ μηδενός.

Θηρεύουσι (2) τοὺς λαγωοὺς οἱ κυνηγοί, τοὺς δὲ ἀνοήτους οἱ ἔπαινοι.

Τοῦ Θεολόγου. — Θεωρία ἀχαλίνωτος τάχα ἂν καὶ κατὰ κρημνὸν ὤσειεν (3).

Θανάτῳ ζῶν ἄνθρωπος μάτην φυσᾷ.

Θᾶττον (4) ἄν τις ὀλίγης κακίας μεταλάβοι πλουσίως, ἢ ἀρετῆς βαθείας κατὰ μικρόν.

Θεῷ (5) φίλον τὸ κατὰ δύναμιν.

Θράσος (6) ἀμαθίας ἔγγονον.

Θαυμάζειν (7) ἀνδρὸς ἀρετὴν ἴσασι καὶ πολέμιοι, ὅταν, τοῦ θυμοῦ λήξαντος, ἡ πρᾶξις ἐφ' ἑαυτὴν δοκιμάζηται.

Θορύβων καὶ μεριμνῶν, λύπης καὶ στεναγμῶν, γέμων ὁ βίος, οὔτε τοὺς εὐτυχοῦντας πρόσηκε χαίρειν, οὔτε τοὺς δυστυχοῦντας δονεῖσθαι λύπῃ· παρέρχεται γὰρ ὡς ὄναρ βίος.

(1) Matth. VI, 20: Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν. Cf. Luc. XII, 33.

(2) Soerati tribuitur ap. Stob. tit. 14, 22, cum varietate.

(3) Addidi τοῦ in lemmate.

(4) Gregor. Nazianz. Orat. I, p. 7 A. — Codex, βοηθείας.

(5) Id. Orat. XX, pag. 373 A.

(6) Id. Orat. XXVI, p. 444 B.

(7) Gregor. Nazianz. Or. XXII, p. 408 A. Cf. et Or. XX, p. 350 D.

Θανεῖν καλὸν τάχιστα ἢ πολὺν ζῆν χρόνον ἐν πολυστενάκτῳ καὶ πολυπείρῳ βίῳ (1).

Θνητὸν ἔχων περισκήνιον, ἐπὶ τῇ τούτου ἀποθέσει μηδὲν λυποῦ· λυποῦ δὲ μᾶλλον, ἡνίκα τῶν ἀγαθῶν ἔργων κενὸς ἀπέλθῃς.

Θανάτου μὴ μεμνημένος οὐδὲν μετ' εὐθύτητος ἐννοεῖν θέλει.

Θνητὸς πεφυκὼς θανάτου μνήμην λάβε·
Φρονῶν ταπεινά, τῆς ἄνω δόξης ἔρα·
Βραχὺς χρόνος γὰρ, καὶ τὰ τῇδε λιμπάνεις,
Ὡς οἷα πᾶσα τῶν βροτῶν θνητὴ φύσις.
Οὐ πλοῦτον, οὐδὲ δόξαν, ἐκφέρων βίος,
Μόνον τὸ ἔργον ἂν συνηθροῖ τότε.
Ζωὴν ἐκεῖθεν τὴν μένουσαν προξένει (2),
Ὅπου λύπη, στεναγμὸς οὐδεὶς ἔνι.

Ἱπποκράτους.—Θεὸς δέεται (3) μὲν οὐδενὸς, σοφὸς δὲ δεῖται μόνου Θεοῦ.

Θεοῦ ἐπιμελουμένου τῶν ἀνθρώπων καὶ διελόντος ἀρετὴν καὶ κακίαν, καὶ φιλοῦντος μὲν τὸν ἀγαθὸν, μισοῦντος δὲ τὸν κακὸν, οὔτε τοῖς ἀγαθοῖς ἐπίδοξον κακῶς πράσσειν, οὔτε τοῖς πονηροῖς εὖ.

(1) Philemon vividius apud Stob. tit. 121, 8: Θανεῖν ἄμεινόν ἐστιν ἢ ζῆν ἀθλίως. Cf. supra p. 29, n. 1, de ellipsi adverbii μᾶλλον.

(2) Cod. προξενεῖ. Quod mutavi propter accentus penultimam sedem; nam hi versus sunt politici.

(3) Est apud Porphyrium ad Marcellam § 11, p. 23; qui, notante Tayloro in Diario classico t. XXI, p. 267, sententiam e Sexto Pythagoreo depromsit, quem sic Rufinus latine et christiane loquentem fecit p. 646, 2: « Deus » quidem nullius eget; *fidelis* au» tem Dei solius. » Hinc profecit Agapetus cap. 63: ὁ μὲν Θεὸς οὐδενὸς δεῖται, ὁ βασιλεὺς δὲ μόνου Θεοῦ: vide ibi Damken., collato Menagio ad Diogen. Laert. VI, 105. Cf. infra Γνῶμαι Σοφῶν initio.

Τοῦ Χρυσοστόμου. — Θάνατον οὐ δεῖ φοβεῖσθαι τὸν ἀγαθὸν ἔχοντα συνειδός· ὕπνος γάρ ἐστι καὶ ἀποδημία, μετάστασις καὶ ἀνάπαυσις, λιμὴν εὔδιος, ταραχῆς ἀπαλλαγή, καὶ βιωτικῶν ἐλευθερία φροντίδων.

Θεὸς ἀεὶ πρόνοιαν ἀνθρώπων ποιούμενος τὰ λυπηρὰ κατὰ τὸν παρόντα βίον δέδωκεν, τὰ χρηστὰ δὲ εἰς τὸν μέλλοντα ἐταμιεύσατο.

Θεῷ ὅμοιον ἔχει ἄνθρωπος τὸ εὖ ποιεῖν (1), ὅταν αὐτὸ μὴ καπηλεύηται.

Θανεῖν ἐνδόξως καλὸν (2) ἢ ζῆν τρυφερῶς πολυετῆ χρόνον ἀσέμνως.

Θάνατον ἄωρον πολλάκις ἁμαρτημάτων ἐποίησε πλῆθος.

Διαδόχου. — Θερμαινομένων τῶν συνουσιαστικῶν ὀργάνων ὑπὸ τῆς τοῦ οἴνου ῥέσεως, ἀνάγκη παρεστῶσαν ἑαυτῷ τὸν νοῦν σκιὰν τοῦ πάθους ἐνήδυνον.

Θεοῦ φόβον σύνοικον ἔχων ὀν διανοίᾳ, πάντων κακῶν ἐκφεύξει, δι' ὧν αἱ τιμωρίαι.

Θανάτου μεμνημένος ἄνθρωπος εἴργεται πλημμελεῖν.

Βασιλείου. — Θεραπευόμενα τὰ ὑπερηφάνου ἤθη ἑαυτῶν ὑπερπτικώτερα γίνεσθαι πέφυκεν.

Θεοῦ ἄγνοια θάνατός ἐστι ψυχῆς.

Θυμὸν ἀνδρὸς πραΰνει θεράπων φρόνιμος.

Σολομῶντος. — Θρασὺς (3) καὶ αὐθάδης καὶ ἀλαζὼν λοιμὸς καλεῖται, ὃς δὲ μνησικακεῖ, παράνομος.

(1) Joannes Chrys. Antonii S. 57, p. 94, 25 : εὐεργετῶν νόμιζε μιμεῖσθαι Θεόν. Ibidem p. 96, 14 : Δημοσθενὴς ἐρωτηθεὶς, Τί ἄνθρωπος ἔχει ὅμοιον Θεῷ; ἔφη· Τὸ εὐεργετεῖν καὶ ἀληθεύειν. Similem sententiam ex scriptore Orientali protulit Cardon. Miscell. liter. Orient. t. II, p. 175.

(2) Cf. supra p. 29, n. 1, de ellipsi adverbii μᾶλλον.

(3) Prov. XXI, 24.

Θησαυρίζεται δικαίοις πλῆτος ἀσεβῶν.

Θεωρῶν (1) ὀφθαλμὸς καλὰ εὐφραίνει καρδίαν.

Θρακῶν (2) γένος σοφώτατον· τὸν μὲν φύντα θρηνοῦσι, τῷ δὲ ἀπιόντι συνήδονται, τὸν μὲν ὅσα πείσεται λέγοντες, τὸν δὲ ὅσων ἀπήλλακται διηγούμενοι.

Θεοφιλὲς τῷ ὄντι ἀπὸ τῆς γλώττης ἐπὶ τὸ κόσμιον τοὺς λόγους προφέρειν.

Αἰσώπου.

Θαμινὰ φοιτᾷν τοῖς φίλοις οὐκ ἐθέλων,
Βέβαιον ἔσῃ καὶ οὐ σίυγητὸν κτῆμα.

Θεῷ προσφιλὲς τετιμηκότα τιμήν (3).

Φίλωνος.—Θεοῦ ἴδιον τὰ μὲν ἀγαθὰ προτίνειν καὶ φθάνειν δωρούμενον, τὰ δὲ κακὰ μὴ ῥαδίως ἐπάγειν· οὐδὲ τοῖς ἁμαρτάνουσιν εὐθὺς ἐπέξεισιν ὁ Θεὸς, ἀλλὰ δίδωσι χρόνον καὶ τὴν τοῦ σφάλματος ἴασιν τε καὶ ἐπανόρθωσιν.

Ἰώβ.—Θάνατος (4) ἀνδρὶ ἀνάπαυσις· συνέκλεισε γὰρ ὁ Κύριος κατ' αὐτοῦ.

Σιράχ.—Θρόνον (5) ὀφρυώμενον καθεῖλεν Κύριος, καὶ ἐφύτευσε ταπεινοὺς ἀντ' αὐτῶν.

Σέκστου.—Θυσία (6) τῷ Θεῷ γνώμη ἀγαθή.

Τοῦ Χρυσοστόμου.—Ἰσχυρὸν ὅπλον ἀκτημοσύνη, καὶ ἀκαταγώνιστον καταγώγιον, καὶ πύργος ἀσάλευτος.

(1) Prov. XVI, 2.

(2) Fons sententiæ ap. Herod. V, 4. Vide supra p. 19.

(3) Cod. πτημικόπτημήν. Forsan, τὸν πτημηκότα τιμᾶν.

(4) Job. III, 23.

(5) Sirach. X, 14, cum variet.

(6) Potest conferri Sextus Rufini, p. 646: « Templum sanctum » est Deo mens pii, et altare est » optimum ei cor mundum et » sine peccato. »

Ἰατρῶν τέχνην εἴσεται ὁ τῶν νοσημάτων *** λῶν (1) τοὺς λέγοντας, μηδὲν καταβλάπτει τοὺς ἀκούοντας.

Βασείου.

Κρεῖττον (2) τὸ φροντίζειν ἀναγκαίων χρειῶν
Ἢ τὸ περισέχειν τέρψεσίν τε καὶ κώμοις.

Βασιλείου.—Καπνὸς (3) φυγαδεύει μελίσσας, χάρισμα δὲ πνευματικὸν ἀποδιώκει κραιπάλη.

Κακία (4) σιωπηθεῖσα νόσος γίνεται ἀθεράπευτος.

Αἰσώπου.

Κόπος (5) οὐκ ἔχων ἰσόρροπον τὸ κέρδος
Ἀθυμίαν δίδωσι τοῖς μόχθοις ἀεί.

Κακοῦργος ἀνὴρ, τοὺς τρόπους οὐκ ἀμείβων,
Τὸ σχῆμα μεταλλάττει ἀπάτης χάριν.

Κακοῖς κακὰ συνάπτων ὁ σκαιὸς ἀνὴρ
Δῆλος δήπουθέν ἐστιν σφαλερῶς βιῶν.

(1) Inter νοσήματος, finem pag. 283, 2, et λῶν, initium p. 284, 1, periit folium saltem unum, quo literam I ad finem deduxerat compilator et K inchoaverat; ideo asteriscos apposui. Videtur in prima loci hujus parte sententia fuisse Democriteæ similis quam prodidit Isidor. I, Ep. 437: ἰατρικὴ μὲν, κατὰ Δημόκριτον, σώματος νόσους ἀκέεται, σοφίη δὲ ψυχὴν παθέων ἀφαιρέεται. Vide Wyttenb. Bibl. crit. XII, p. 75.

(2) Cod. τέρψεσι δ' κώμοις, quod correxi, ut versus clausula recto staret talo. Adhuc labat initium: forsan scribendum, ἢ τὸ περισέχειν νοῦν τ., vel, ἢ τὸ περισέχειν τ.

(3) Basil. Hom. I De jejunio, p. 132.

(4) Basil. Hom. mor. De peccato, p. 142, ubi νόσος ὕπουλός ἐστιν ἐν τῇ ψυχῇ: quæ est etiam lectio Antonii S. 171, p. 280, et codicis 1168, pag. 45. Cf. schol. ad Joann. Climac. p. 97.

(5) Sequentes sententias quatuor in metra dispescui. Versus sunt politici, in quibus syllabæ numerantur. Distichum tertium ob violatam accentus legem reliquis etiam pejus est.

Καὶ τοὺς τυχόντας, εἰ δέοι, φίλους ἔχε,
Κακῶς δὲ μὴ χαείζου τὸ πρὸς σὲ σίυγης.

Καλὸν ἀεὶ τῷ κρείττονι τὸ χεῖρον ἀκολουθεῖν διὰ βελτιώσεως ἐλπίδα.

Ἱπποκράτους. — Κόποι (1) αὐτόματοι φράζουσι νόσους.

Κυκλώσει (2) ἕκαστον τὰ διαβούλια αὐτοῦ.

Κόρος (3) ὕβρεως ἀρχή.

Κρείττονες εἰσὶν αἱ τῶν πεπαιδευμένων ἐλπίδες ἢ ὁ τῶν ἀμαθῶν πλοῦτος.

Κακοῖς ὁμιλῶν (4) καὶ κακὸς πάντως ἔσῃ.

Κρεῖττον (5) εὐημερίας ἀχαλινώτου νόσος φιλόσοφος.

Κρίνουσιν οἱ πολλοὶ τὰ τῶν ἄλλων τοῖς ἰδίοις πάθεσιν.

Κρείσσων (6) πολιὰ μετὰ φρονήσεως ἀπαιδεύτου νεότητος, καὶ λελογισμένη βραδυτὴς τάχους ἀπερισκέπτου, καὶ ὀλιγοχρόνιος βασιλεία μακρᾶς τυραννίδος.

Κρείσσων (7) ὀλίγη μερὶς τιμία πολλῆς κτήσεως ἀτίμου καὶ σφαλερᾶς.

(1) Hippocr. Aphor. II, 5.
(2) Ex Osee, VII, 2.
(3) Basil. Hom. mor. De ingluvie, p. 320 : cf. ejusd. Hom. I De jejunio, p. 126, et II, p. 152. Gregorius Naz. Or. XVII, p. 275 : κόρος πατὴρ ὕβρεως. Aristoteles Stobæi tit. 3, 54 : πίκπι γὰρ, ὥσπερ φησὶν ἡ παροιμία, κόρος μὲν ὕβριν, ἀπαιδευσία δὲ μετ' ἐξουσίας ἄνοιαν. Alia indicavi in Gnomicis ad Theognidem 153, p. 246.
(4) Greg. Naz. t. II, p. 159.
(5) Idem Epist. LXVI, p. 825, ubi κρείττων. Cod. κριττον, lectione ambigua : cf. p. 25, n. 5.
(6) Greg. Naz. t. I, p. 30 D. Hujus sententiæ particula media est apud Anton. S. 93, p. 153, et S. 27, sub Chrysostomi nomine.
(7) Greg. Naz. t. I, p. 31 A, ubi male κτήσεως ἀτίμου σφαλερᾶς. Codex etiam κτήσεως. Permutari κτῆσιν et κτῆσαν jam ostendi in com-

Κύκλος (1) τίς ἐστιν τῶν ἀνθρωπίνων πραγμάτων, καὶ παιδεύει διὰ τῶν ἐναντίων ἡμᾶς ὁ Θεός. Ὥσπερ συνεστήσατο τὰ πάντα σοφῶς καὶ συνέδησεν, οὕτω σοφῶς τὸ πᾶν διεξάγων καὶ κυβερνῶν τοῖς ἀνεφίκτοις αὐτοῦ καὶ ἀνεξιχνιάστοις κρίμασι.

Κρεῖττον (2) ἡττᾶσθαι καλῶς ἢ νικᾶν ἐπισφαλῶς καὶ ἀθέσμως.

Κρείσσων (3) ἐμπάθης ὁμονοίας ἡ ὑπὲρ εὐσεβείας διάστασις.

Καρποφορία (4) Θεὸς εὐφραίνεται ἢ πλήθει τῆς εἰσφορᾶς καὶ μεγέθει τῆς ἐπιδόσεως.

Κακοπαθοῦσι (5) καὶ ἅγιοι, εἴτε εἰς κάθαρσιν καὶ τῆς μικρᾶς ἰλύος, εἴτε εἰς βάσανον ἀρετῆς καὶ πεῖραν φιλοσοφίας, εἴτε εἰς παίδευσιν τῶν ἀσθενεστέρων, ἐν ἐκείνοις μανθανόντων τὸ καρτερεῖν, ἀλλὰ μὴ σκηκεῖν τοῖς πάθεσιν.

Κόρος λόγου πολέμιος ἀκοαῖς, ὡς ὑπερβάλλουσα τροφὴ σώμασιν.

mentatione epigraphica inter Holstenianas Epistolas p. 455. Quo non grassata est illa literarum ι et η permutatio? Theodorus Prodr. Rhod. III, p. 98 : φρενηπᾶν ἔδοξεν ἀφραίνων μέγα. Est φρενιπᾶν in Macarii Chrysocephali Excerptis, quæ mecum olim, ut erat in omnes literatos humanissimus, communicavit Jac. Morellius. Melius quidem φρενιπᾶν puto; potuit tamen Theodorus φρενηπᾶν scribere, quæ scriptura nec caret exemplis, versusque modulo aptior est. Anonymus De incredibilibus c. 15 : Ἰὼ ἡ Ἀρέστορος ἱερᾶπι τῇ Ἥρᾳ. Conjecit Valcken. in Schol. t. I, p. 387, ἱερᾶπι : bene quidem; sed melius fore puto ἰερᾶπι, scriptura Ionica, et ob id propria Characi quem anonymus excerpsit.

(1) Gregor. Naz. Orat. XVII, pag. 268 B.

(2) Greg. Naz. Or. I, p. 41 A.

(3) Greg. Nazianz. Orat. XII, p. 197 B.

(4) Greg. Nazianz. Orat. XV, p. 238 D : ubi μᾶλλον καρπ. Sed μᾶλλον abesse potest : cf. p. 29.

(5) Greg. Nazianz. Orat. XIX, p. 303 D.

Καὶ ἀδελφὸς ἀδελφὸν ἐλέγχει πλεονεκτούμενος.

Καὶ (1) πολέμου καιρὸς ἔστω σοι καὶ εἰρήνης, καὶ γάμου καὶ τῶν οὐ γάμου, καὶ φιλίας καὶ διαστάσεως.

Καθ' ἑαυτὸ (2) παίζειν λίαν ἐπισφαλὲς καὶ ἀνόητον.

Κρεῖσσον ἐπιτιμηθῆναι καὶ μικρὸν αὐγάζεσθαι ἢ παντελῶς σκοτίζεσθαι.

Κακίας (3) ῥᾷον μεταλαβεῖν ἢ ἀρετῆς μεταδοῦναι, ἐπεὶ καὶ νόσου μετασχεῖν μᾶλλον ἢ ὑγείας χαρίσασθαι.

Κόρας μὴ ἔχων, ἀπορήσεις φωτός· γνώσεως δὲ ἀμοιρῶν, μὴ ἐπαγγέλλου.

Κάταντές (4) ἐστιν ἡδονὴ τοῖς χρωμένοις,
Καὶ, ὡς πρόσεισιν, οἴχεται λίθου δίκην.

Κρείσσων (5) τροφὴ σύμμετρος εὐπορουμένη,
Ἢ δεῖπνος ἄβρὸς ὅνπερ ἔπλασεν ὄναρ.

Ἰσοκράτους.—Κακοῖς (6) εὖ ποιῶν ὅμοια πείσῃ τοῖς τοὺς ἀλλοτρίους κύνας σιτίζουσιν. Ἐκεῖνοί τε γὰρ τοὺς διδόντας, ὥσπερ τοὺς τυχόντας, ὑλακτοῦσιν, οἵ τε κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας, ἀδικοῦσιν.

(1) Respicit Eccles. III, 6, sq., ubi καιρὸς τοῦ φιλῆσαι καὶ καιρὸς τοῦ μισῆσαι, καιρὸς πολέμου καὶ καιρὸς εἰρήνης. Cf. Joann. Climac. p. 350.

(2) Greg. Nazianz. Orat. XL, p. 649 B: ubi ἀνόητον, melius.

(3) Id. Orat. XX, p. 331 A. Cf. infra in Ῥ, Ῥᾷον κακίας....

(4) Greg. Naz. t. II, p. 154.

(5) Greg. Naz. l. II, p. 154, 19, ubi vitiose ἐν ἔπλασέ τις τ' ὄναρ. Nec nostra lectio prorsus recta est. Masculinum τὸν δεῖπνον multis vindicavi ad Nicetam et ad Herodiani Epimerismos. Joannes Damasc. Epistola ad Theophilum De imagg. p. 141: δίσκον, εἰς ὅνπερ ἐγκαυστικοῖς καλλιεργήμασιν ὁ μυστικὸς τοῦ Χριστοῦ δεῖπνος μετὰ τῶν δώδεκα ἀποστόλων ἐγκεκόλαπτο. Dictinctionem inter τὸ δεῖπνον et ὁ δεῖπνος statuit scholiastes Epicteti Enchir. 25, ut sit τὸ δ. cœna, ὁ δ. cœnæ tempus: quod exemplis non confirmatur.

(6) Isocr. ad Dem. p. 6: ubi τοὺς κακοὺς.... τοὺς ἀλλοτρίους.... ἐκείνους....— Codex, διοδεύοντας,

Κάλλος (1) ἀνθρώπινον ἢ νόσος ἐμάρανεν ἢ γῆρας ἀνάλωσεν· πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκἀγαθίας ὑπηρέτης ἐστὶν, ἐξουσία μὲν τὴν ῥαθυμίαν παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν.

Καταναλίσκει (2) τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιλοκαλίαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥαδίως μανθάνειν.

Καταφρονεῖ (3) τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος.

Καλοῖς (4) εὖ ποιεῖν· καλὸς γὰρ θησαυρὸς παρὰ ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη.

Κολακεύοντας (5) μίσει, καθάπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύσαντας ἀδικοῦσιν.

Κολάκων (6) φύσις, καὶ μνημονικὸν πρὸς κακίαν, καὶ τῶν ἀγαθῶν εὐεπίλησιον.

Θεοφυλάκτου. — Κρίσιν (7) ἑλώμεθα ἑαυτοῖς, καὶ γνῶμεν ἀνάμεσον ἑαυτῶν ὅ τι καλόν.

Ἰώβ. — Καρδία (8) σκληρὰ βαρυνθήσεται πόνοις.

Σιράχ. — Κακία (9) ἐν λογισμοῖς μελετωμένη

notandum, sed non servandum.

(1) Isocr. ad Dem. pag. 2, ubi κάλλος ἢ χρ. ἀνάλ. ἢ νόσ. ἐμαρ.... ἐξουσίαν μὲν τῇ ῥαθυμίᾳ παρ.

(2) Ibid. p. 4.

(3) Ibid. p. 6.

(4) Ibid. ubi τοὺς ἀγαθοὺς εὖ ποιεῖ. Iterum infra in Τοῖς ἀγαθοῖς.

(5) Ibid. ubi μίσει τοὺς κολ. ὥσπερ τοὺς ἐξαπ....πιστεύοντας...

(6) Theophyl. Simoc. Ep. VII. Codex, εὐεπίλιπτον.

(7) Job. XXXIV, 4.

(8) Sirach. III, 27.

(9) Non ap. Sirach., sed Marcum Eremit. De lege spirit. § 14: ubi...καρδίαν· ἀναιρουμένη δ' ἐγκρατείας καὶ ἐλπίδος συντρίβει αὐτήν:

θερσύνει καρδίαν· ἀναιρεῖται δὲ καὶ συντείβεται δι' ἐγκρατείας καὶ ἐλπίδος σίματος.

Κακομήχανος (1) ἄνθρωπος ἐξ ἀμηχάνων ἐκεῖνα πράττειν ἐθέλει ἃ μὴ δύναται.

Διαδόχου. — Λυμαίνεται ὄναγρος ἐν τόπῳ σῖτον, καὶ τὸν φθονερὸν ἄνδρα τήκει ὁ φθόνος.

Ἀριστοτέλους. — Λέγειν μὲν δεῖ ὡς οἱ πολλοὶ, νοεῖν δὲ ὡς οἱ σοφοί.

Λικμήτωρ (2) ἀρετῆς λογισμὸς ὑπερήφανος.

Λόγῳ μὲν τὴν ἀρείην χρὴ διδάσκειν, ἔργῳ δὲ ταύτην κηρύσσειν.

Λάκκος (3) ἄνυδρος φιλόδοξος ψυχή.

Σολομῶντος. — Λογισμοὶ (4) δικαίων κείματα.

Λόγοι (5) κερκώπων μαλακοί.

Λίθῳ (6) ἠρδαλωμένῳ παρασυνεβλήθη ὁ ὀκνηρὸς, καὶ πᾶς ἐκσυρεῖ ἐπὶ τῇ ἀτιμίᾳ αὐτοῦ.

Λάρυγξ (7) σῖτα γεύεται, νοῦς δὲ ῥήματα διακρίνει.

Λαμβάνων (8) δῶρα ἐν κόλποις ἀδίκως ὁ κατευοδοῦται ἐν ὁδοῖς.

in nostra lectione vox σίματος me impedit.

(1) Codex, κακόμαχος.

(2) Apud Anton. Serm. 36, p. 52, 17.

(3) Id. Serm. 36, p. 52, 18.

(4) Prov. XII, 5. Scholium in cod.: πῶς λέγει ὅτι οὐδὲν ἀνεξετάστως ὁ δίκαιος ποιεῖ, ἀλλὰ πάντα ὑγιῶς κρίνει.

(5) Prov. XXVI, 22. — Scholium: δολίων, ἀπατεώνων.

(6) Sirach. XXII, 1, ubi συνεβλήθη ὀκνηρός.

(7) Joann. Climac. p. 35: λάρυγξ μὲν γὰρ βρώματα διακρίνει, ἀκοὴ δὲ νοήματα διαγινώσκει: ibi anonymus in exemplo regio διαγιν. delet. Sirach. XXXVI, 19: φάρυγξ γεύεται βρώματα θήρας, οὕτως καρδία συνετὴ λόγους ψευδεῖς.

(8) Prov. XVII, 23, ubi λαμβάνοντος δῶρα ἀδίκως ἐν κόλποις οὐ κατευοδοῦνται ὁδοί.

Τοῦ Θεολόγου. — Λόγος (1) σοφοῦ εἰς εὐήκοον οὖς ἐξακούεται.

Βασείου. — Λόγῳ (2) καὶ χρόνῳ βεβαιωθὲν ἅπαν καλὸν φύσις καθίσταται.

Λαθεῖν τινα κακόν τι δρῶντα οὐκ ἔστιν· πάντα γὰρ ἡ δίκη κρίνει.

Ἀφθονίου. — Λίαν (3) εὐήθεις οἱ τὰ πρόδηλα κρύπτειν ἐθέλοντες.

Γενναδίου.

Λογιστικὸς (4) νοῦς, εἰς τὸ δεξιὸν ῥέπων,
Τὰ τερπνὰ πάντα τοῦ βίου διαπτύει,
Πλοῦτον, τρυφὴν, εὐκλειαν, ὀχληροὺς λόγους.

Λέοντα (5) σαίνων ἡμεροῖ τις πολλάκις·
Γαστὴρ τρυφὴν διδοὺς δὲ πλεῖον ἀγριοῖ.

Τοῦ Χρυσοστόμου. — Λυπεῖσθαι δέον, οὐ δι' ἄλλο τι μόνον ἀλλ' ἢ δι' ἁμαρτίαν.

Λέοντι κατὰ φύσιν τὸ ἄγριον, παρὰ φύσιν δὲ τὸ ἥμερον· ἀνθρώπῳ δὲ κατὰ φύσιν μὲν τὸ ἥμερον, παρὰ φύσιν δὲ ἡ θηριωδία.

Λύπης ἢν θέλῃς κρατεῖν, περιπόλει τοὺς τάφους, καὶ τοῦ πάθους ἕξεις τὸ φάρμακον, καὶ τὰς μεγίστας τῶν ἀνθρώπων εὐδαιμονίας ἑπόψει περαιτέρω κόνεως μὴ κεκτημένας τὸ φύσημα.

(1) Greg. Naz. Or. 1, p. 38 C.
(2) Greg. Nazianz. Orat. XIII, p. 205 D. Cf. supra in E : Ἔθος... p. 32. Plura in hanc sententiam legi possunt in Antonii S. 102.
(3) Aphthon. Fab. 4.
(4) Cf. p. 95 : Χρὴ τὸν θέλοντα...
(5) Fons sententiæ ap. Joann. Clim. p. 202 : λέοντα ὁ κολακεύσας πολλάκις ἡμέρωσι· σῶμα δὲ ὁ θεραπεύσας ὅσῳ πλείω (anonymus e codd. πλεῖον) ἠγείωσι.

Γρηγορίου. — Λίθοι (1) τοῖς θηριώδεσιν οἱ ἀληθεῖς καὶ σιδηροῖ λόγοι.

Λιμῷ (2) μὲν ὅ τις ῥᾳδίως διεφθάρη·
Τοῖς δ' αὖ κακίστοις πότμος ἡ μοχθηρία.

Λοιδορῶσι πένητες πλουτοῦντας μόνον,
Δύναμιν οὐκ ἔχοντες, ἀλλὰ τοὺς λόγους.

Λόγοι λόγους ἤλαυνον· οἱ δ' ἦσαν λόγοι.

Λώβην (3) σώματος εἴ τις γελᾷ, σιγητός·
Οὐ γὰρ γνώμης τὸ πάθος, ἀλλὰ τῆς τύχης.

Λιμὴν (4) μὲν πλοίου ὅρμος, λύπης δὲ νοῦς.
Λύπην ἰσχυρὰν οὐ κουφίζει τράπεζα πολυτελής.
Ἐκκλησιαστής. — Λόγοι (5) στόματος σοφοῦ χάρις, καὶ χείλη ἄφρονος καταποντιοῦσιν αὐτόν.
Λαρυγξ (6) γλυκὺς πληθύνει φίλους αὐτοῦ, καὶ γλῶσσα εὔλαλος πληθύνει εὐπρεπείας.
Λύτρον (7) ψυχῆς ἀνδρὸς ὁ ἴδιος πλοῦτος.

Τοῦ Ἀποστόλου. — Μὴ (8) νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

(1) Greg. Naz. Orat. XXXIV, pag. 537 C.
(2) Greg. Naz. t. II, pag. 158.
(3) Hæc jam non possunt esse Gregoriana metra; non adeo repebat patris elegantissimi Musa. Priorem versum sic refingas licet, συγητὸς εἴ τις σώματος λώβην γελᾷ: sed alteri quid facies, verba si serventur eadem? Διανοίας lecto pro γνώμης, versus fuerit bonus.
(4) Demophilus Sent. p. 614: λιμὴν μὲν πλοίῳ ὅρμος, βίῳ δὲ φιλία. Vide infra Sententias singulares Menandri, sub Λιμήν.
(5) Eccles. X, 12.
(6) Sirach. VI, 5, ubi πληθυνεῖ bis, et εὐπροσήγορα.
(7) Prov. XIII, 8.
(8) D. Paul. ad Rom. XII, 21.

Σολομῶνος.—Μὴ δῷς (1) ὕπνον σοῖς ὄμμασι, μηδὲ ἐπινυστάζῃς σοῖς βλεφάροις, ἵνα σωθῇς ὥσπερ δορκὰς ἐκ βρόχων καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος.

Μὴ ἀγάπα (2) καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς· παγὶς (3) γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη. Ὁ δὲ ἀστεῖος χείλεσι σκολιάζων ὑποσκελισθήσεται.

Μὴ (4) παρεκτείνου πένης ὢν πλουσίῳ· πλούσιος (5) γὰρ ἠδίκησεν, καὶ αὐτὸς προσενεβεμήσατο· πτωχὸς ἠδίκηται, καὶ αὐτὸς προσαπειληθήσεται.

Μωρὸς (6) ἐν γέλωτι ἀνυψοῖ τὴν φωνὴν αὐτοῦ· φρόνιμος δὲ μόλις ἡσυχῇ μειδιάσει.

Μὴ (7) τέκταινε ἐπὶ σὸν φίλον κακά, παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί.

Μὴ (8) ἀποκρίνου ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ,

(1) Prov. VI, 4, ubi σώζῃ.

(2) Prov. XX, 13.—Cod. ἐξαρθεῖς. Perpetua permutatio literarum η et ει. Oraculum, in Anth. Palat. XIV, 72, datum Ῥουφίνῳ ἐρωτήσαντι πῶς λάβοι (codex 2720, pag. 10, πῶς ἂν λάβοι, bene, etsi fuerit posterius ἂν erasum) ὅρκον παρὰ τοῦ ἰδίου ναυκλήρου: Εὖτ' ἂν ὑπὲρ γαίης ἀνέχῃ δρόμον ὄρθρια Τιτὰν, Λύσας ἀκτῖσι ζοφερῆς δηλήματα νυκτὸς, Λάμπῃ δ' αἰγλήεσσα νέον φάος Ἠελίοιο, Δὴ τότ'.... Legendum λάμπῃ in subjunctivo, ut ἀνέχῃ. Notabo insuper δρόμον, quæ est optima Huschkii conjectura pro scriptura codicis Palatini δόμον, diserte legi in codice illo 2720. Photius Epist. V: ὅσα μή ποτε, τῆς συκοφάντας ἑαυτὸν χειρώσῃ παρασησάμενος, τὸν σὸν οἶκον φίλων καὶ οἰκείων ἐξερημώσεις: placebit lectio codicis 2720, p. 222, ἐξερημώσῃς, aliquibus forsan.

(3) Proverb. VI, 2.

(4) Proverb. XXIII, 4. Cf. mox pag. 57, n. 7.

(5) Sirach. XIII, 3, ubi in fine προσδεηθήσεται.

(6) Sirach. XXI, 20, ubi ἀνὴρ δὲ πανοῦργος μόλ., prout legitur supra p. 23, 1. « Nimius risus indicium est animi negligentis », Sextus ait pag. 652. Addatur hac de re S. Sacyi nota ad *Pend-Namèh*, p. 310. Ceterum de discrimine inter τὸ γελᾶν et τὸ μειδᾶν me notare memini ad Nicetam Eugenianum p. 327.

(7) Prov. III, 29, ubi πεπτήνῃ. — Codex, πεπταί.

(8) Prov. XXVI, 4, ubi locum permutant præpositiones πρὸς et κατὰ, et φαίνεται σοφὸς παρ' ἑ.

ἵνα μὴ ὅμοιος γένῃ αὐτῷ· ἀλλ' ἀποκρίνου ἄφρονι πρὸς τὴν ἀφροσύνην αὐτοῦ, ἵνα μὴ δόξῃ φρόνιμος εἶναι παρ' ἑαυτῷ.

Μὴ (1) σπεύσῃς ἐν πνεύματί σοι θυμοῦσθαι, ὅτι θυμὸς ἐν κόλποις ἀφρόνων ἀναπαύεται.

Μὴ (2) κληθῇς ψίθυρος καὶ τῇ γλώσσῃ σου μὴ ἐνέδρευε· μολύνει (3) γὰρ τὴν ἑαυτοῦ ψυχὴν ὁ ψίθυρος.

Μὴ (4) ἀπόσχῃ εὖ ποιεῖν ἐνδεεῖ, ἡνίκα ἂν ἔχῃ ἡ χεὶρ σου βοηθεῖν.

Τοῦ Θεολόγου. — Μήτε (5) ἐν ταῖς εὐθυμίαις ἀποβάλῃς τὸν φόβον, μήτε ἐν τοῖς λυπηροῖς τὸ εὔελπι. Μνήσθητι καὶ ἐν εὐδίᾳ τῆς ζάλης, καὶ ἐν χειμῶνι τοῦ κυβερνήτου· ἀλλὰ μὴ ἐν ταῖς θλίψεσιν ἐκκακήσῃς, μηδὲ γένῃ δοῦλος κακὸς, ἀγαθύνοντι μὲν ἐξομολογούμενος τῷ δεσπότῃ, παιδεύοντι δὲ μὴ προσλιθέμενος.

Μεγίστη (6) ἐπικουρία τοῖς ἀτυχοῦσιν μεταβολῆς ἐλπὶς, καὶ τὸ κρεῖττον ἐν ὀφθαλμοῖς κείμενον.

Μὴ (7) συμπαρεκτείνου πένης ὢν πλουσίῳ, μηδὲ ζήτει τῶν σοφῶν εἶναι σοφώτερος.

Μία (8) ζωὴ πρὸς τὴν ἄνω ζωὴν βλέπειν· εἷς θάνατος ἡ ἁμαρτία· ψυχῆς γὰρ ὄλεθρος· τἄλλα δὲ,

(1) Eccles. VII, 10, ubi ἐν πν. σου τοῦ θυμ.... κόλπῳ ἀφρ. ἀναπαύσεται.

(2) Sirach. V, 14.

(3) Sirach. XXI, 28.

(4) Prov. III, 27, ubi ἐνδεῖ. Sed et dativus stare poterit. Infra in Menandri Sent. : Ζήτει ποιεῖν εὖ τοῖς καλῶς εἰργασμένοις. Cf. et supra p. 51, 15; 52, 13.

(5) Gregor. Naz. Orat. XVII, p. 269 C. Cf. Or. IV, p. 129 A. Cod. habet κυβερνήτου et ἐκκακίσῃς.

(6) Gregor. Naz. Orat. XII, p. 203 A.

(7) Idem Or. XXVI, p. 456 B. Cf. modo supra Μὴ παρεκτ., p. 56.

(8) Greg. Or. XIX, p. 315 C, ubi omissum est ἄνω. Rufinus pag. 650 : « Malitia est ægritudo » animæ; animæ autem mors in- » justitia et impietas » : quæ conferas cum sententia Basilii supra p. 3. Adde in Σ, Σώματι... p. 81.

οἷς φρονοῦσί τινες, ὀνειράτων ὄψις ἐστὶν κατὰ τῶν ὄντων παίζουσα καὶ ψυχῆς ἀπατηλὰ φάσματα.

Βαβείου. — Μὴ τάχιστα πᾶσι πίστευε (1) καὶ μάλιστα τοῖς μήπω φίλοις.

Μάστιγες (2) καὶ παιδεία ἐν παντὶ καιρῷ σοφίαι.

Μία τοῖς ἁμαρτάνουσιν ἀπολείπεται συγγνώμη, τὸ σιγᾶν καὶ μηδὲν ὑπὲρ τῶν γεγενημένων φθέγγεσθαι.

Μὴ θάρσει, ἀγαθὸς ὤν, ἵνα μὴ καταπέσῃς· μὴ ἀπογνῷς, κακὸς ὤν, ἵνα ἀναστῇς.

Ἰωάννου τῆς κλίμακος. — Μέγας (3) ὁ ἐπὶ ἀφῇ ἀπαθὴς διαμείνας, μείζων δὲ ὁ ἐκ θέας μείνας ἄτρωτος καὶ νικήσας πυρὸς θέαν, ἐννοίᾳ κἀλλοῦς τῶν ἄνω.

Μὴ (4) πιστεύσῃς τῇ πηλῷ ἐν τῇ ζωῇ σου, καὶ μὴ θαρρήσῃς αὐτῇ, ἄχει Χριστῷ ὑπαντήσῃς.

Μὴ θάρσει (5) ἐξ ἐγκρατείας μὴ πίπλειν: μηδὲν γὰρ ἐσθίων τις ἐξ οὐρανοῦ ἐρρίφη.

Μεγαλοφυοῦς ψυχῆς καὶ γενναίας ἴδιον τὸ μὴ ἀπογνώσκειν ἐν οἵᾳ δήποτε συμφορᾷ· πειρατήριον γάρ ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς.

Μνήμην ἀεὶ λαμβάνων θανάτου, πᾶσαν δόξαν καὶ πλοῦτον ὡς ῥέοντα παρόψει.

Μνήμη (6) θανάτου συγκοιμηθήτω σοι καὶ μονολόγιστος εὐχὴ Ἰησοῦ.

(1) In Monostichis Menandri: Μὴ πάντα πιστῶ πᾶσι πιστεύειν ἀεί.

(2) Sirach. XXII, 6, ubi σοφίας.

(3) Climac. p 217, ubi μέγας μὲν ὁ ἐπὶ ἀφῇ διαμείνων ἀπαθής, διαμείνας ἄτρωτος. Sed versio latina ad textum quem exhibui facta est, eumque e cod. restituit anonymus in exemplo regio.

(4) Climac. p. 218, ubi ὑπαντήσεις. Anonymus correxit ὑπαντήσῃς: velim inseri ἄν.

(5) Clim. p. 218, ubi anonymus correxit e suis libris, πίπλων, et ἀπερρίφη, et μηδέν: nam editio exhibet μηδέ. Præstat πίπλειν.

(6) Climac. p. 226, ubi πάντως συγκ. καὶ συναναστήτω σοι.

Βασιλείου. — Μὴ (1) δίδου σχολὴν τοῖς λογισμοῖς τὸ ἀλλότριον ἐξετάζειν ἀῤῥώστημα, ἀλλὰ σεαυτῷ πρόσεχε.

Μήτε τὰ φαιδρὰ τῶν ἀνθρωπίνων πραγμάτων πειχαρείας (2) ἀμέτρους ἐμποιείτω σου τῇ ψυχῇ· μήτε τὰ λυπηρὰ κατηφείαις καὶ συστολαῖς τὸ γαῦρον αὐτῆς καὶ ὑψηλὸν ταπεινούτω· ἄμφω γὰρ παραῤῥεῖ.

Μέθη, λογισμῶν ὄλεθρος, ἰσχύος διαφθορά, γῆρας ἄωρον, ὀλιγοχρόνιος θάνατος.

Φίλωνος. — Μή σε καταπολιτίζετω τὰ τῆς ψυχῆς φυσήματα· εἴδωλα γὰρ εἰδώλων τὰ τῶν ἀνθρώπων τετύχηκε πράγματα.

Μακαρία φύσις ἡ ἐπὶ παντὶ χαίρουσα, καὶ μηδενὶ δυσαρεστοῦσα, ἀλλ' εὐχαριστοῦσα τοῖς γινομένοις, ὡς καλῶς καὶ συμφερόντως γινομένοις.

Ἰσοκράτους. — Μήτε (3) γέλωτα περιπετῆ σίεργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν.

Μηδέποτε (4) αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ, ἂν τοὺς ἄλλους λάθῃς, σαυτῷ σύνοιδας.

Μηδενὶ (5) λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι κἀκείνοις τοῖς ἀκούουσιν.

Μηδένα (6) φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς πῶς

(1) Basil. Hom. mor. p. 180, ubi vividius ἀλλ' ὅλῃ τὴν οἰκείαν ἔρευναν σίρέφε τὸ ὄμμα.

(2) Codex, πειχαρείας.

(3) Isocr. ad Dem. p. 3. Confer pag. 56, n. 6.

(4) Ibid. pag. 4, ubi σαυτῷ γε συνείδησις. — Cod. σαυτόν. Et Stobæus tit. 24, 9, habet σαυτῷ.

(5) Ibid. p. 5, ubi commode περὶ τῶν ἀπορρήτων μηδενὶ λ. — Codex, συμφέρει.

(6) Ibid. ubi γνήσιον: sed γνόθον præstat.

κέχρηται τοῖς πρότερον φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενέσθαι τοιοῦτον, οἷόσπερ καὶ περὶ ἐκείνους γέγονεν.

Μήτε (1) μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε· τοῦτο δὲ ποιήσεις, ἐὰν, μὴ δεόμενος, τὸ δεῖσθαι προσποιῇ.

Μηδενὶ (2) συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ μέλλον ἀόριστον.

Μηδενὶ (3) πονηρῷ πράγματι μήτε παρείσιασο, μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, εἰ τοῖς ἄλλοις πράττουσι βοηθεῖς.

Μάρκου. — Μὴ (4) λέγε κεκτῆσθαι ἀρετὴν ἐκτὸς θλίψεως· ἀδόκιμος γάρ ἐστι διὰ τὴν ἄνεσιν.

Μόνους τοὺς ἀδικοῦντας οἱ ἐν ῥήμασι σοφοὶ ἁμαρτάνειν νομίζουσιν· οἱ δὲ ἐν πνεύματι καὶ ἀδικούμενοι ἑαυτοὺς καταμέμφονται, ὅταν μὴ αὐθαιρέτως τὰς ἀδικίας ὑποφέρωσιν.

Εὐαγείου. — Μέγιστον (5) ἀγαθῶν κτῆμα ἡ ἀρετή.

Σέξτου. — Μόνου τοῦ λαχόντος τὴν (6) τὸ πρὸς ἀξίαν εἰδέναι ταύτην ἐστὶν ὑμνεῖν· ἣν γὰρ οἶδεν ἐπαινεῖ, καὶ ἥνπερ ἔγνω τεθαύμακεν.

Μεγάλην (7) παιδείαν νόμιζε φέρειν ὅταν ἀπαιδεύτῳ λαλῇς.

(1) Isocr. ad Dem. p. 5, ubi ἂν, μὴ δεόμενός του, δεῖσθ. — Cod. τὸν φίλον.... ἑπῶν.

(2) Ibid. p. 6, ubi ἀόριστον.— Conferam Chilonem Stobæi tit. 112, 11 : ἀτυχοῦντι μὴ ὀνείδιζε· κοινὴ γὰρ ἡ τύχη.

(3) Isocr. ibid. p. 8, ubi οἷόπερ ἂν τῖς ἄ. πρ. βοηθῇς.

(4) Marc. Erem. De lege spirit. § 66. — Codex, κτῆσθαι.

(5) Cod. ἀγαθόν. Et sic Anton. Serm. 1, p. 7, ubi μέγ. ἀγαθὸν κτῆμα ἐστὶν ἑκάστου ἡ οἰκεία ἀρετή: malim ἑκάστῳ.

(6) Inserendum puto ἀρετήν.

(7) Apud Sextum a Rufino ita versum p. 652 : «magnam scito

Μικραὶ (1) χάριτες ἐν καιρῷ μέγισταί εἰσιν τοῖς λαμβάνουσι ταύτας ἐν περιστάσει.

Δαυίδ. — Μείζων (2) ὁ κίνδυνος δικαζομένου τῷ δικαστῇ.

Ἰωάννου.

Μνησικακίας (3) ἔργον ἡ μοχθηρία·
Συνήδεται γὰρ ἀεὶ τοῖς ἐναντίοις.

Μὴ λυποῦ, τοῖς τῆς ψυχῆς κομῶν ἀγαθοῖς, εἰ ταῖς τοῦ σώματος δαμάζῃ ἀῤῥωστίαις· ἐννόει δὲ μᾶλλον ὅτι σοι τοῦτο ἢ στεφάνους ὠδίνει, ἢ τὸ φρόνημα κατασταλλει.

Μόνου (4) Θεοῦ τὸ ἀπταιστὸν καὶ ἀνάλωτον πάθεσιν.

Μισῶ τὸν γαστρίμαργον ὡς ψυχῆς λύμην.

Τοῦ Θεολόγου. — Μὴ (5) μέγα ἐπαρθῇς, ἵνα μὴ μεῖζον κατενεχθῇς.

» esse sapientiam per quam ferre » potes ineruditorum insipien» tiam. » Græca ipsa quæ Rufinus legebat sunt inter Demophili Sententias pag. 623. Similia Pythagoræ tribuit Stobæus tit. 19, 8.

(1) Inter Democratis Sentent. p. 630. Est et ap. Anton. S. 58, p. 96, 18, sub nomine Democriti; et sic in cod. 1168, p. 94, 2.

(2) Est inter Sexti Latina p. 650: « majus est periculum judi» cantis quam ejus qui judicatur.» Vide Matth. Ev. VII, 1.

(3) Codex, τῆς ἐν. ἀεί.

(4) Gregor. Naz. Orat. XX, pag. 336 D. Est et ap. Anton. S. 171, p. 281. Cf. Moschi verba supra p. 9, n. 2. Non sic senserunt olim philosophi omnes: Isocrates Epistola altera ad Phil. pag. 415: αἰσχυνθείην γὰρ ἄν, εἰ τῶν μὲν ἄλλων μηδὲν τοὺς θεοὺς ἁμαρτάνειν εἶναι νομιζόντων, αὐτὸς τολμάσειν λέγειν ὡς οὐδέν πώποτε πεπλημμελήκαμεν.

(5) Gregor. Naz. Orat. XLIII, p. 688 A. Euripides Fragm. inc. mihi κγ', de eo quem in altum evehit Fortuna: ἐπαίρεται γὰρ μεῖζον ἵνα μεῖζον πέσῃ. Conferendus tragicus locus in Stobæi tit. 105, 51: ... Ὄγκου δὲ μεγάλου πῶμα γίγνεται μέγα. Lucianus Contempl. 14: ἐν τοσούτῳ δὲ ἐπαιρόμεθα, ὡς ἂν ἀφ' ὑψηλοτέρου ἀλγεινότερον καταπεσούμενοι. Vide Clericum ad Menandrea p. 213.

Θεοφ....—Νόμος (1) τιμώμενος ὀνείδη παύει, ἀμελούμενος δὲ τιμωρίας ὠδίνει.

Νοσημάτων ἰατρὸς ὕπνος μέτριος.

Χοῦς ὢν χοὸς ὢν ἄνθρωπος (2) εἰς χοῦν πάλιν
Γυμνὸς πεσεῖσι, μηδὲν ὠφέλων βίου.

Χαίρειν ἀνδρὸς σοφοῦ τὸ τάγμα πεστρέπει τὸν πένητα· λόγος γὰρ αὐτοῦ ἔργον ἐστὶν ὠφελές.

Χαῖρε (3) ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γινομένοις τῶν κακῶν.

Πυθαγόρου.—Χαίρειν (4) χρὴ τοῖς ἐλέγχοις ἢ τοῖς κόλαξιν· οἱ μὲν γὰρ ἡμᾶς λυποῦντες διεγείρουσιν, οἱ δὲ χαριζόμενοι ὠκλύουσι καὶ σκελίζουσι.

Ναοῦμ.—Χρηστὸς (5) Κύριος τοῖς ὑπομένουσιν αὐτὸν ἐν ἡμέρᾳ θλίψεως.

(1) Cf. supra in Ἀσκητικὸς, p. 54.

(2) Cod. ὑπάρχων ἄνθρωπος. Poterit et scribi ἄνθρωπος ὤν, numeris melioribus; sed illa minima non curabant poetastri politici. Cf. Gregorium supra pag. 76, 6, et similem locum infra in Χοῦς, p. 97. Respicitur Sirach, XLI, 10, πάντα ὅσα ἐκ γῆς εἰς γῆν ἀπελεύσεται: vel Eccles. III, 20, τὰ πάντα ἐγένετο ἀπὸ τοῦ χοὸς, καὶ τὰ πάντα ἀποστρέφει εἰς τὸν χοῦν.

(3) Isocr. ad Demon. p. 9.

(4) Est ellipsis adverbii μᾶλλον: cf. pag. 29. Apud Stobæum tit. 14, 18, similis sententia Pythagoræ tribuitur: χαῖρε πῶς ἐλέγχουσί σε μᾶλλον ἢ πῶς κολακεύουσιν· ὡς δ' ἐχθρῶν χείρονας ἀκτρέπου τοὺς κολακεύοντας: simillima apud Antonium Serm. 48, sed anonyma. Confer Salom. Proverb. XXVII, 5; XXVIII, 23.

(5) Nahum. I, 7.

Τοῦ Χρυσοστόμου. — Χολῆς αὐξομένης τίκτεται πυρετός, καὶ φλέγματος πλεονάζοντος πολλὰ νοσήματα φύεται.

Βασιλείου. — Χωρὶς ἀποδείξεως αὐθεντοῦν πλῆθος φοβῆσαι μὲν ἱκανόν, πεῖσαι δὲ οὐδαμῶς.

Χαλεπὸν ἐν δυσκολίαις πραγμάτων ἀταπείνωτον τὴν ψυχὴν διασώσασθαι; καὶ ἐν ταῖς περιφανείαις μὴ ἐπαρθῆναι πρὸς ὕβριν.

Μακεδόνος. — Χρὴ (1) τὴν μὲν ἔχθραν εἰς ὕδωρ γράφειν, ἵνα ταχέως ἀφανίζηται, τὴν δὲ φιλίαν εἰς χαλκὸν, ἵνα διὰ παντὸς μένῃ.

Χοιρίου. — Χρυσὲ (2), κακῶν ἀρχηγὲ, καὶ τῷ ἔχοντί σε φόβος, καὶ τῷ μὴ ἔχοντί σε λύπη.

Τοῦ Θεολόγου.

Χρυσοῦ (3) λαλοῦντος, πᾶς ἀπρακτείτω λόγος.

Χρηΐζων (4) παθέεσσιν ἀκέστορος, ἢν κακὰ κεύθῃς,
Οὔποτε σπεδόνα φεύξεαι ἀγαλέην.

Χείλη (5) σοφὰ σάζουσιν ἡδίστους λόγους·
Φάρυγξ δὲ πικρὸς ἐξερεύγεται μάχας.

Σολομῶντος. — Χείλη δικαίων (6) ἐπίσταται ὑψηλά· οἱ δὲ ἄφρονες ἐν ἐνδείᾳ τελευτῶσιν.

(1) Si lemma bene legi, est locus Basilii Macedonis. Sed non affirmaverim me nomen, compendiose scriptum et a bibliopego truncatum, esse assecutum. Est δῶ in codice, non δό.

(2) Palladas dixerat Epigr. 110: Χρυσὲ, πάπρ κολάκων, ὀδύνης καὶ φροντίδος υἱὲ, Καὶ τὸ ἔχειν σὲ φόβος, καὶ μὴ ἔχειν σ' ὀδύνη.

(3) Greg. Naz. t. II, p. 155, 71, ubi ἅπας ἄπρακτος λ.

(4) Gregor. Nazianz. tom. II, pag. 146 D, ubi χρήζων δὴ παθ... φεύξεαι. — Cod. οὐδέποτε σπεδῶνα φεύξει.

(5) Id. tom. II, pag. 154, 12. Codex, φύλαξ. Sumsi φάρυγξ ex editione.

(6) Prov. X, 21.

Χείλη (1) ἄφρονος ἄγουσιν αὐτὸν εἰς κακά· τὸ δὲ στόμα αὐτοῦ τὸ θρασὺ θάνατον ἐπικαλεῖται.

Φωκυλίδου.

Χρυσὲ (2), κακῶν ἀρχηγέ, βιοφθόρε, πάντα χαλέπτων,
Εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν!
Σεῦ γὰρ ἕκητι μάχαι τε λεηλασίαι τε φόνοι τε.

Χρυσὸς ἀνθρώποις περιμάχητος.

Νείλου. — Χάριν ἔχε Θεῷ κατορθῶν ἀρετήν· ῥοπὴ γάρ σε θεία πρὸς αὐτὴν ἐπεσκίασεν.

Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν (3) οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται.

Ἀριστο....

Χάριν (4) τραπέζης σπεύδων ἔχειν τις φίλον,
Θᾶττον αὐτὸν ὠθεῖται, ταύτης ἀρχούσης.

Χαίρειν (5) ὅλως ἄνθρωπον οὐδαμῶς ἔνι·
Λύπαι γὰρ εἰσπίπτουσιν αἴφνης καὶ ζάλαι.

Χοῦς (6) ἐκ χοὸς τὰ πάντα καὶ εἰς χοῦν πάλιν·
Ἀσυμπαθὴ δὲ σπλάγχνα τοῖς πολλοῖς ἔνι.

Δημοξένου. — Χάρις (7) καὶ εὔνοια πειθόντων ἐστίν, οὐ βιαζομένων.

Κυείλλου. — Χρῆμα ἀληθῶς οὐκ ἀζήμιον τὸ κολ-

(1) Prov. XVIII, 6.

(2) Phocyl. 39. Codex, χρυσὲ βιωφθόρε π. χ. εἴθε μὴ θνητοῖσι πῆμα ποθεινὸν ἐγένεις: quæ correxi ex editt. lectione.

(3) Respicit Prov. XIII, 11.

(4) Nihil bono poetæ cum his senariis dodecasyllabis commune. Priori rhythmum meliorem dederis, si τις φίλον σπεύδων ἔχειν scribas; alteri nulla fieri potest medicina.

(5) Cf. supra p. 69, n. 4.

(6) Cf. supra in Χοῦς, p. 95.

(7) Nominis initium Δημοξ. nitidum est.

λᾶσθαι πονηρῆς· ἀτρεκὲς γὰρ ὅτι, κατὰ τὸ γεγραμμένον (1), « ὁ ἀπλόμενος πίσσης μολύνεται. »

Χρὴ μᾶλλον ζηλοῦντας ἑλέσθαι τὸ ἄμεινον, καὶ πάντα σείοντας κάλον ἀμιλλᾶσθαι (2) φιλεῖν τοῖς ὧδε λαμπρῆς.

Χωρὶς θεωρίας ἐπιστημονικῆς οὐδὲν τῶν πρατλομένων καλόν· ἐπιστήμη γὰρ ἔργον εὐβουλίας· ἀβουλία δὲ οὐ καλόν.

Σιράχ. — Χείλη πολυλάλων τὰ ὄν αὐτῶν διηγήσονται.

Χορτάσματα (3) καὶ ῥάβδος καὶ φορτία ὄνῳ· ἄρτος δὲ καὶ παιδεία καὶ ἔργον οἰκέτῃ.

Ἰωάννου. — Χειμῶνος ἡ δριμύτης αἷμα στέλλουσα (4) τήκει τὸ σῶμα.

Χρήζω πραότητος ἐν ᾗ καταλύεται ὁ ἄρχων τοῦ αἰῶνος τούτου Διάβολος.

Ψυχὴ (5) ἡ ἅπαξ προσδεθεῖσα τῷ πόθῳ τοῦ κτίσαντος, καὶ τοῖς ἐκεῖσε κάλλεσιν ἐνειθισμένη φαιδρύνεσθαι, τὸ περιχαρὲς αὐτῆς καὶ εὔθυμον ὑπὸ τῆς ποικίλης μεταπλάσεως τῶν σαρκικῶν παθημάτων οὐ μεταβάλλει, ἀλλὰ τὰ τοῖς ἄλλοις λυπηρὰ προσθήκην εὐφροσύνης ποιήσεται.

Τοῦ Χρυσοστόμου. — Ψυχροῦ πλεονάζοντος παρέσεις καὶ τρόμοι, καὶ ἀποπληξίαι, καὶ μυρία ἕτερα νοσήματα τίκτεται.

(1) Sirach. XIII, 1.

(2) Codex, πάντας ἰόντας καλὸν ἀμιλ. Nullus dubito de restitutione. Notum est proverbium, πάντα σείειν vel κινεῖν κάλον : conf. Zenob. Adag. v, 62, et ibi Schott

(3) Sirach. XXX, 24.

(4) Forsan, συστέλλουσα.

(5) Scriptoris nomen, vel nominis reliquiæ potius, per com-

Ψυχή, ὑπὸ ἀθυμίας βληθεῖσα, πρὸς πᾶσαν ἀκρόασιν ἀνεπιτήδειος.

Τοῦ Θεολόγου. — Ψυχαῖς βεβήλοις οὐδὲν τῶν καλῶν ἀξιόπιστον.

Σολομῶντος. — Ψυχὴ (1) ἐν πλησμονῇ οὖσα κηρίοις ἐμπαίζει· ψυχῇ δὲ ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκέα φαίνεται.

Ψυχαὶ παρανόμων ἀπολοῦνται ἄωρι.

Ψίθυρον (2) καὶ δίγλωσσον καταρᾶσθαι ἄξιον· πολλοὺς γὰρ ἀπώλεσεν εἰρηνεύοντας.

Ψυχὴ (3) παραχώδης Διαβόλου καθέδρα.

Ψυχὴ (4) εὐλογουμένη πᾶσα ἁπλῆ· ἀνὴρ δὲ θυμώδης οὐκ εὐσχήμων.

Ψυχὴ (5) πραεῖα θρόνος ἁπλότητος· νοῦς δὲ ὀργίλος δημιουργὸς πονηρίας.

Ψυχὴ (6) πραεῖα χωρήσει λόγους σοφίας· ὁδηγήσει γὰρ Κύριος πρᾳεῖς ἐν κρίσει, μᾶλλον δὲ ἐν διακρίσει.

Ψυχὴ (7) εὐθὴς σύμβιος ταπεινώσεως· ἡ δὲ πονηρὰ ὑπερηφανείας νεᾶνις.

Ψυχαὶ (8) πραέων πλησθήσονται γνώσεως· θυμώδης δὲ νοῦς σκότους καὶ ἀγνωσίας σύνοικος.

Ψυχή, διὰ καθαρότητος ἑνωθεῖσα Θεῷ, λόγῳ ἑτέρῳ πρὸς διδαχὴν οὐ δεηθήσεται, τὸν ἴδιον λόγον μυσταγωγὸν καὶ φωτισμὸν ἑαυτῇ φέρουσα.

pendium νῦ exhibetur, quod explicandum videtur per ναύν, unde ducimur ad Ἰγνατίου.

(1) Prov. XXVII, 7. Codex, ψ. ἐμπλησμονή.

(2) Sirach. XXVIII, 13: ubi non est ἄξιον, quod sapere puto glossema; est autem ἀπώλεσαν.

(3) Joann. Climac. p. 303.

(4) Prov. XI, 25.

(5) Climac. p. 303.

(6) Climac. ibid. ubi ψ. ἐπτία

(7) Climac. p. 304, 3.

(8) Climac. ibid.

Ψυχῆς ὄλεθρός ἐστιν· μνησικάκου γὰρ ἔργον οὐδὲν δεξιόν (1).

Ψεκτὴ πέφυκεν καρδία μνησικάκου·
Φιλεῖν γὰρ οἶδεν οὐδὲν ἢ δόλους πλέκειν.

Ψυχὴς (2) νοσούσης εἰσὶν ἰατροὶ λόγοι.

Ψωμιεῖς (3) καὶ ποτιεῖς ἀχάριστον, καὶ ἐπὶ τούτοις πικρὰ ἀκούσῃ· διπλάσια γὰρ κακὰ εὑρήσει σοι ὑπὲρ ὧν καλῶς εὐεργετεῖτο.

Ἰωάννου. — Ψέγειν οὐδὲ τὸν τυχόντα εὔλογον· ψέγειν δὲ δίκαιον ἄνδρα, πρόδηλος εἰς Θεὸν ἁμαρτία (4).

Ψέγεσθαι σοφὸν ὑπὸ μοχθηρῶν καλόν· ὁ γὰρ κακὸς οὐκ οἶδεν ἀρετὴν ἐπαινεῖν.

Ἰωάννου μοναχοῦ.

Ψίχας διδοῦντος εἰ λάβοι πεινῶν πένης,
Θεῷ τὸν ὕμνον αὐτοῦ προσφέρει (5).

Σέκστου. — Ψυχὴ (6) ταμεῖόν ἐστιν, ἀγαθοῦ μὲν ἀγαθόν, κακοῦ δὲ κακόν.

Ψυχὴ (7) πᾶσα ἀνουθέτητος, ἀθεράπευτος.

Ψόγος ἐν στόματι πονηρῷ χρηστότης νομίζεται, μελέτην δὲ ἀεὶ ψεῦδος καὶ διαβολὴν ποιεῖται.

Δημοκρίτου. — Ψυχῆς (8) θησαύρισμα σώματος

(1) Sic codex. Locus non est integer. Insunt vestigia metri dodecasyllabi.

(2) Æschyl. Prom. 386. Cujus loci meminit forsan Basilius Hom. mor. p. 258, ubi πῆς γὰρ λόγος εὑρεθείη τοσαύτης συμφορᾶς ἰατρός;

(3) Similis sententia apud Antonium S. 54, p. 68. Cod. ut et Antonius, μικρά, quod mutavi e Sap. Sirach XXIX, 25, ubi ξενιεῖς καὶ ποτιεῖς εἰς ἀχάριστα, καὶ πρὸς ὅτι πύτιος πικρὰ ἀκούσῃ.

(4) Cf. p. 101, 14.

(5) Mancus est posterior versus : forsan inserendum εὐθὺς post ὕμνον.

(6) Demophilus Sent. p. 620.

(7) Gr. Naz. Orat. XV, p. 235.

(8) Basilius Hom. mor. p. 408.

ἐνδεια (1)· τούτου δὲ πλουτοῦντος σκεύη πένεται.

Σιράχ. — Ψυχὴ (2) θερμὴ, ὡς πῦρ καιόμενον, οὐ σβεσθήσεται, ἕως ἂν καταποθῇ· οὕτω καὶ ἄνθρωπος πόρνος ἐν σώματι σαρκὸς αὐτοῦ.

Διαδόχου. — Ψυχὴ, μὴ τῶν κοσμικῶν ἀπαλλαγεῖσα φρεντίδων, οὔτε τὸν Θεὸν ἀγαπήσει γνησίως, οὔτε Διάβολον βδελύξεται ἀξίως· κάλυμμα γὰρ ἅπαξ ἔχει φορτικὸν τὴν μέριμναν τοῦ βίου.

Ψίθυρόν τι χρῆμα γυνὴ, καὶ τοὺς ἅπαξ ἁλόντας τοῖς βρόχοις αὐτῆς καταγωνιτεύειν ἱκανὴ, σύνοπλον ἔχουσα τὴν τῆς διανοίας καταφρονήσασαν ἡδονήν.

Ψυχαγωγοῦσι τοὺς ἀτυχήσαντας οἱ μᾶλλον κακοπραγήσαντες.

Σολομῶντος. — Ψέγειν τὸν ἀνεπίληπτον εἰς Θεὸν ἁμαρτία (3).

Ὥσπερ (4) φύλλον θάλλον ἐπὶ δένδρου δασέος, τὰ μὲν καταβάλλει, ἄλλα δὲ φύει· οὕτω γενεὰ σαρκὸς καὶ αἵματος, ἡ μὲν τελευτᾷ, ἄλλη δὲ γεννᾶται· καὶ πᾶν ἔργον σηπόμενον σκλείψει, καὶ ὁ ἐργαζόμενος αὐτὸ

(1) Cod. ἔνδια. Qua permutatione vocalium ι et ει quid frequentius? Sic in edit. Romana Scholiastæ Sophoclei, ad Œd. Col. 258, φιλοικτίρμων male fuit impressum pro vera lectione, a recentioribus reposita, φιλοικτίρμων. Sed præstat locum ipsum apponere, qui ducet ad aliam utilioremque animadversionem: μάτην τῆς περὶ τῶν Ἀθηνῶν καυχώμεις δόξης, ὅτι ἄρα φιλοικτίρμων τις εἶη καὶ ἱκεταδόκος. Ea verba nescio an jam fuerint ad Platonis Menexeni locum c. 16 a criticis apposita, quem multum illustrant; carco enim novis editionibus: εἴ τις βούλοιτο τῆς πόλεως καυχᾶσθαι δικαίως, τοῦτ' ἂν μόνον ὀρθῶς ἂν καυχοῖτο, ὡς ἀεὶ λίαν φιλοικτίρμων ἐστὶ καὶ τῶν ἥττονος θεραπείας.

(2) Sirach. XXIII, 16, cum varietate.

(3) Cf. p. 100, 9.

(4) Sirach. XIV, 18, 19, cum varietate.

μετ' αὐτοῦ ἀπελεύσεται· καὶ οἱ ἄνθρωποι πάντες γῆ καὶ σποδός.

Ὡς (1) φωνὴ τῶν ἀκανθῶν ὑπὸ τὸν λέβητα, οὕτω γέλως τῶν ἀφρόνων.

Ὥσπερ (2) δοκιμάζεται ἐν καμίνῳ ἄργυρος καὶ χρυσὸς, οὕτως ἐκλεκταὶ καρδίαι παρὰ Θεῷ.

Ὡς (3) σπαρτίον κόκκινον χείλη σου.

Ὥσπερ (4) ἐν ξύλῳ σκώληξ, οὕτως ἄνδρα ἀπόλλυσι γυνὴ κακοποιός.

Ὡς (5) μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἀνάμεσον τῶν υἱῶν.

Ὡς (6) ῥοπὴ ἐκ πλασιίγων, ὅλος ὁ κόσμος ἐναντίον σου· καὶ ὡς ῥανὶς δρόσου κατελθοῦσα ὀρθρινὴ ἐπὶ γῆς· ἐλεεῖς δὲ πάντας ὅτι πάντα δύνασαι, καὶ παρορᾷς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν.

Ὥσπερ (7) πόλις τὰ τείχη καταβεβλημένη, ὅτως ἀνὴρ ὃς οὐ μετὰ βουλῆς πράσσει.

Ὥσπερ (8) ἡ σκιὰ τῷ σώματι, οὕτω ταῖς ψυχαῖς αἱ ἁμαρτίαι παρέπονται, ἐναργεῖς τὰς πράξεις ἐξεικονίζουσαι.

Ὥσπερ (9) ὕδωρ πολέμιον πυρὶ, οὕτως ἀμετρία οἴνου λογισμὸν κατασβέννυσι σώφρονα.

(1) Ecclesiast. VII, 7, ubi non est τῶν.

(2) Proverb. XVII, 3, ubi π. Κυρίῳ.

(3) Cantic. cant. IV, 3, ubi τὸ κόκκινον.

(4) Proverb. XII, 4. Cf. p. 103 et n. 3, ac p. 126, 1.

(5) Cantic. II, 3.

(6) Sapientia Salom. XI, 22, 23, ubi ἐρθρινὴ καταβθοῦσα ὀπὶ γῆν.

(7) Proverb. XXV, 28, ubi πόλις καταβεβλημένη καὶ ἄτειχος... π πράσσει.

(8) Basil. Hom. mor. De peccato pag. 146. Et apud Anton. Serm. 171, p. 279.

(9) Id. Hom. mor. De ingluv. pag. 326. Est et apud Antonium Serm. 68, pag. 115.

Ὥσπερ (1) ἕπεται τῷ ἀγαθῷ ἡ ἀφθονία, οὕτως ἀκολουθεῖ τῷ κακῷ ἡ βασκανία.

Ὥσπερ (2) ἰὸς σίδηρον, οὕτως ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν ἐξαναλίσκει ψυχήν.

Ὥσπερ (3) ἡ ἐρυσίβη ἴδιόν ἐστι τοῦ σίτου νόσημα, οὕτως ὁ φθόνος φιλίας ἐστὶν ἀῤῥώστημα.

Ὥσπερ (4) οἱ σκώληκες τοῖς ἁπαλωτέροις τῶν ξύλων ἐντίκτονται, οὕτως αἱ λύπαι τοῖς μαλακωτέροις ἤθεσι τῶν ἀνθρώπων ἐμφύονται.

Ὥσπερ (5) τῷ πυρὶ αὐτομάτως ἕπεται τὸ φωτίζειν καὶ τῷ μύρῳ τὸ εὐωδεῖν, οὕτω καὶ ταῖς ἀγαθαῖς πράξεσιν ἀναγκαίως ἀκολουθεῖ τὸ ὠφέλιμον.

Ὥσπερ τὸ εἰς γαστριμαργίαν ἐκκλίναι ἐστὶ χα-

(1) Id. Hom. mor. De invid. p. 353, ubi τῷ ἀγ. τὸ μὴ φθονεῖν, ο. ἀκ. τῷ διαβόλῳ ἡ β : quam lectionem expressit Antonius S. 99, pag. 162. Cf. et supra p. 2, 1, cum nota.

(2) Basil. ibid., ubi ψυχὴν male omissum est. Est apud Stobæum tit. 38, 53, et Antonium Serm. 99, pag. 161. Antonius ibidem, p. 163, eamdem sententiam verbis paulisper mutatis Clitarcho aut Plutarcho tribuit.

(3) Basil. ibidem p. 352. Est apud Stob. tit. 38, 32, ubi male abest articulus ὁ, et apud Anton. Serm. 99, pag. 161. De ἐρυσίβῃ cf. not. ad Phil. Her. pag. 636, et ad Planudis Metam. p. 119, imprimis Æschinis index Fischerianus. Theophylactus Simoc. Epist. 41 : τοὺς πολιπκοὺς κλύδωνας ὀκφυγὼν καὶ τοὺς ἀπεραιτήτους θορύβους τοῦ ἄστεος, ἐμαθωσάμην τὸν ἀγρὸν τυπτὶ, καὶ μεταβολὴν ψυχῆς ἐδόκουν εὑρεῖν· ἀλλὰ μείζοσι κακοῖς ἐμβεβλήμεθα· ποτὲ γὸ τὴν ἐρυσίβην ἔχω πολέμιον, ποτὶ δὲ τὰς ἀκρίδας. Pro ψυχῆς repone meliorem cod. 2991 A scripturam τύχης, variatione non insolita.

(4) Basil. Hom. mor. De trist. pag. 261. Est apud Antonium Serm. 144, p. 229. Utrobique ἐντίκτονται μάλιστα. Fons sententiæ est Prov. XXV, 20 : ὥσπερ σὴς ἐν ἱματίῳ καὶ σκώληξ ξύλῳ, οὕτως λύπη ἀνδρὸς βλάπτει καρδίαν. Nicephorus Greg. VI, 2, 2 : ὥσπερ τοῖς ὑγροτέροις τῶν ξύλων ἐμφύονται σκώληκες, οὕτω καὶ ταῖς φιλοτίμοις ψυχαῖς ὡς ὁπόταν ζηλοτυπίαι καὶ φθόνοι δεινοί τινες ὑφεδρεύσωσι κατὰ τῶν ὁμοτίχνων : quæ quum scriberet Basilii meminerat.

(5) Est apud Anton. S. 1, p. 3.

λεπὸν, οὕτω τὸ δι' ἐπιτεταμένης κακουχίας καταβαλεῖν τὸ σῶμα ὡς ἀληθῶς ἀλογώτατον.

Ὦ (1) μὴ ἐφεδρεύει αἰδὼς, ἢ φόβος, ἀχάλινον τὸ στόμα, καὶ ἀνειμένη γλῶσσα λέλυται.

Ὥσπερ τῶν τελειοτάτων ἀγαθῶν τὸ σύμμετρον αἴτιον, ὅτω τῶν μεγίστων κακῶν ἀμετρία, τὸ ὠφελιμώτατον λύουσα δεσμὸν ἰσότητος.

Ὥσπερ ἀπειρηκάλων θελητὸν αἱρεσθαι ταῖς εὐπραγίαις, ὅτως ἀνάνδρων τὸ καταπίπτειν ἐν δυσπραγίαις· ὀξεῖα γὰρ ἐν ἀμφοτέροις ἡ μεταβολή.

Ὠμῆς (2) δίχα ψυχῆς οὐ καθαίρεται κακία.

Ὥσπερ οἱ (3) μακρὰν ὁδὸν περικαταλύσαντες τῶν ὁδοιπορούντων ἔτι ῥάους καὶ ἀπονώτεροι, οὕτως οἱ ἐπιτυχόντες τοῦ ἐκεῖ καταλύματος τῶν ἔτι τὴν σκολιὰν καὶ κρημνώδη τοῦ βίου τούτου τεμνόντων ὁδὸν ἀμείνους καὶ ἀνεκτότεροι.

Ὦτα καὶ ὀφθαλμοὺς καὶ γλῶσσαν ἀσφαλῶς τήρει· πᾶσι γὰρ ἐπίτροχός ἐστιν ἁμαρτία.

Ὠραῖον γήρας παίδων ἀθύρματα.

Ὡς (4) οὐδενὶ τοσοῦτον χαίρει Θεὸς, ὅσον ἀνθρώπου διορθώσει καὶ μετανοίᾳ.

Ὥσπερ τὰ εὐώδη τῶν ἀρωμάτων τῆς ἰδίας εὐποιΐας τὸν παρακείμενον ἀέρα πλήρη ποιεῖ, οὕτως ἀνὴρ ἀγαθὸς, πρὸς ὃν εἰσιέναι ἀξιοῖ, παρέχει ὠφέλειαν.

Πλάτωνος. — Ὥσπερ ἐν εἱρκτῇ ἐν τῷδε τῷ βίῳ ὑπάρχομεν καὶ φρουρούμεθα (5).

(1) Est et apud Ant. Serm. 96.

(2) Philo Fragm. p. 1198 A. Est et ap. Anton. Serm. 6, p. 13.

(3) Gregor. Naz. Orat. XIX, p. 288, ubi abest οἱ ante ἐπιτυχ.

(4) Gregor. Naz. Orat. XXXIX, p. 636 D, ubi χαίρει, et διορθώσει καὶ σωτηρίᾳ. Codex, χαίρειν Θεῷ, sine sensu.

(5) Nescio an hæc ipsa verba

Ὡς οὐκ ἔνι χρησὶ τρέφειν τὸν ἄτοπον, οὕτως οὐκ ἔνι φαῦλα ποιεῖν τὸν σώφρονα.

Ὡς (1) πασῶν τροφῶν ὁ ἄρτος ἀναγκαιότερος, οὕτως πασῶν ἐργασιῶν ἡ τοῦ θανάτου ἔννοια.

Ὥσπερ (2) οὐ τίκτει πῦρ χιόνα, οὕτως οὐδὲ ὁ τὴν ἐνταῦθα ζητῶν τιμὴν τῆς ἐκεῖ ἀπολαύσει.

Ὡς ἄνθος ἀγρῦ πᾶσα γήϊνος φύσις.

Ὠθεῖν τὸ φαῦλον καὶ τὰ βελτίω θέλειν
Εὐέλπιδος πέφυκεν ἀνθρώπου τόδε.

Ὧν οὐδὲν αἱρεῖς (3) τελευτῶν ἐκ τοῦ βίου, τούτων καταφρονεῖν σε δέον, ὡς φθειρομένων.

Ὠμὸς καὶ ἀπηνὴς ἄνθρωπος οὐ κατευοδοῦται ἐν ὁδῷ.

Ὠφελείας στερεῖταί τις μὴ παραβάλλων σπουδαίοις ἀνδράσιν.

Ὠραϊσμός ἐστι μόνον καὶ μνήμη φέρειν ἄνδρα σπουδαῖον.

sint alicubi apud Platonem; sententiam ipsam esse memini, scilicet in Phædone c. 6: ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι. Auctor Axiochi c. 5: ἡμεῖς μὲν γάρ ἐσμεν ψυχή, ζῶον ἀθάνατον ἐν θνητῷ καθειργμένον φρουρίῳ.

(1) Joann. Climac. p. 140.

(2) Joann. Climac. pag. 394, ubi, pro edito ἐκεῖθεν ἀπολαύσει, anonymus in exemplo regio (quo de exemplo vide Villoisonianæ bibliothecæ Catalogum pag. 17, ipsumque Villoison. in Notitiis Mss. t. VIII, part. II, p. 28) scripsit ἐκεῖ ἀπολαύσεται, illud hoc melius. Ἐνταῦθα de hac quam vivimus vita, ἐκεῖ de futura intelligendum: conf. quæ monui ad Soph. t. I, p. 352. Pro ζητῶν cod. reg. 1166, p. 233, 2, habet ἐπιζητῶν: conf. de præpositionis in compositis omissione not. ad Plan. Metam. pag. 357, 493. Librarii, qui sæpius præpositionem omittunt, nonnunquam eam intempestive addunt. Polemo pag. 4: ἐν γὰρ τῷ μετὰ θάνατον βεβηκέναι, δόξαν ἡ χάρις οὐκ ἔχει. Cod. 3017, συμβεβηκέναι, male: agitur de Callimacho, heroe illo Atheniensi, post mortem stante.

(3) Cod. ἐρεῖς. Cf. infra p. 106, Ὧν τῷ σώματος...

Ὧν προβαίνει πρὸς ἔργον ὁ λόγος, σιάζει χάειν τούτων τὰ χείλη· ὧν δὲ πρὸς ἔργον οὐχ ὁρῶσιν οἱ λόγοι, κενὴ τούτων ἡ γνώμη.

Ὠφελῖον εὐποιΐα πλαισμάτων καθαίρουσα.

Ὡς ὄναρ καὶ παίγνιον, ὡς πρὸς τὴν ἄνω ζωὴν ἡ παροῦσα πέφυκεν εὐημερία· πένης γὰρ καὶ πλούσιος ἄμφω κόνις ἐν τάφῳ.

Ὡς οἷα καπνὸς, ἢ σκιᾶς θεωρία,
Δόξα, κράτος, κ᾽ πλοῦτος ἀνθρώπων ἔνι·
Τὰ γὰρ χρόνῳ δοθέντα κ᾽ λύει χρόνος.

Ὥσπερ θανεῖν ὤρισται πᾶσιν ἀνθρώποις,
Οὕτως ἄνευ θλίψεως οὐκ ἔστιν ὅλως
Περᾶσαι τόνδε τὸν πολύστροφον βίον.

Ὥσπερ μελίττης κέντρον ἐμποιεῖ πόνον,
Οὕτως μοχθηρὸς, ὅταν πρόσβάλλῃ τινί.

Ὠφελῖον κτῆμα ταπείνωσις· ὁ ταύτης ὢν μέτοχος πολλοὺς τοὺς φίλους ἔχει· πόρρω δὲ ταύτης ὢν τις φίλους ἔχειν οὐ θέλει· μᾶλλον γάρ ἐστιν οὗτος ὑπεροψίας φίλος.

Ὡς φεύγειν ἰὸν ὄφεως καλὸν, οὕτως ἀντεύξεις τῶν μοχθηρῶν ὡς λύμην.

Ὡς ὠφελῖον μὴ φεύγειν φίλων ἀντεύξεις,
Οὕτως ὠφελῖον φεύγειν ἄνδρας ἀτόπους.

Ὧν ὁ βίος κοινὸς, τούτων καὶ αἱ ἐπικαρπίαι κοιναί.

Ὧν (1) τοῦ σώματος ἀπαλλαγεὶς οὐ δεήσῃ, καταφρόνει τούτων.

(1) Apud Stob. tit. 5, p. 30, et Anton. Serm. 1, pag. 7. In edi-

Ὡς (1) τεθνηξόμενος τῶν σῶν ἀγαθῶν ἀπόλαυε·
Ὡς δὲ βιωσόμενος, φείδεο σῶν κτεάνων.

Ὦ ἀπὸ τῆς φιλαυτίας τῆς πάντα μισούσης!

Ὥσπερ ἡδὺς ἄρτος πεινῶντι, οὕτως ἡ ἐντεῦθεν ἔξοδος ἀνδρὶ δικαίῳ.

Ὧν (2) σπάνιον ἡ κτῆσις, περισπούδαστον ἡ ἀπόλαυσις.

Ὧν (3) πρόχειρος ὁ πορισμός, τούτων ἡ κτῆσις εὐκαταφρόνητος.

Τοῦ Χρυσοστόμου. — Ὡς τρέφεται φυτὸν ὕδατι, οὕτω ῥύπου καθαίρεται δάκρυσιν ἄνθρωπος.

Σιράχ. — Ὡς οἶκος (4) ἠφανισμένος, οὕτω μωρῷ σοφία.

Σέκστου. — Ὧν ὁ βίος ὑπὲρ τὰ ὁρώμενα, τούτων αἱ πράξεις ἐπαινεταί (5).

tione Stobæi Schowiana, p. 138, Pythagoræ tribuitur. Porphyrii simile monitum ad Marc. p. 25: ὧν δὲ τῷ σώματος ἀπαλλαγῆσα ὑ δηθήσῃ, ἐκείνων καταφρόνει. Sextus Rufini pag. 648: «non oportet » contemnere ea quibus etiam » post dispositionem corporis ege» mus»: forsan, «depositionem.» Notus est recentior ille verborum *deponere, depositio,* sensus. Ipse Rufinus p. 653: «taberna» culum quidem corporis graviter » ferre superbum est; *deponere* » autem posse, quum oportuerit, » in pace, beatum est.» Aptissimus est appositu locus Georgidis supra pag. 45: θνητὸν ἔχων περισκήνιον, ὅπῃ τῇ πύτυ ἀποθέσει μηδὲν λυπῇ. — Cf. Taylor. in Classico Diario t. XXI, p. 268, et similem locum supra pag. 105, Ὧν ὑδέν...

(1) Lucianus Epigr. 28.

(2) Basil. Hom. I De jejunio, p. 118, ubi ἀσπανία... πύτων περισπούδαστος. Codex, ἀσπάνει ἡ κτῆσις. Scripsi ἀσπάνιον, quo tonus ducit. Potuit facile evanescere lineola qua syllaba ον breviatur. Similis sententia ejusdem Hom. mor. pag. 33: ὧν δὲ ῥαδία ἡ κτῆσις, οὐ περισπούδαστος ἡ ἀπόλαυσις.

(3) Basil. Hom. mor. p. 32.

(4) Sirach. XXI, 18. In cod. μωρῶν legi posse videtur.

(5) Potest conferri Sextus Rufini pag. 655: «nemo sapiens est » qui deorsum respicit in terram.»

Ὧν (1) θαυμάζεις ἐπὶ καλῷ τὸν βίον, τούτων ζήλου καὶ τὰς ἀμώμους πράξεις.

Ὥσπερ χόρτος πυρὶ, οὕτως πλοῦτος ματαιόφρονι.

Ὥσπερ (2) οἱ ἐν εὐδίᾳ πλέοντες καὶ τὰ πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα, οὕτως οἱ ἐν εὐτυχίαις φρονοῦντες καὶ τὰ πρὸς τὴν ἀτυχίαν ἑτοιμάζουσι βοηθήματα.

Ὡς (3) ἔοικεν, ῥέπομεν ἐπὶ τὰ ἔνδοξα μᾶλλον, κἂν ἐπίπονα τυγχάνῃ, ἢ ἐπὶ τὴν ἀλήθειαν, κἂν αὐστηρά ἐστι καὶ σεμνά.

Εὐσεβίου. — Ὁμολόγηται παρὰ πᾶσιν φαῦλον ὑπάρχειν τὴν κακίαν, νόσον οὖσαν ψυχῆς (4).

(1) Morellus in Bibl. Veneta t. I, p. 44, ultimam Veneti codicis sententiam esse ait Democriti, ὧν πὰς δόξας ζηλοῖς, πούτων μιμοῦ πὰς ἀμώμους πράξεις. In regio evanida supersunt vestigia nominis, sed omnino non Δημοκρίτου: fere videre mihi videor ἴω vel ἴου. Et apud Isocratem quidem, ad Nicocl. § 11, similem sententiam reperio: ὧν πὰς δόξας ζηλοῖς, μιμοῦ πὰς πράξεις: quæ leguntur etiam ap. Anton. Serm. 111, pag. 188, sub Isocratis nomine, cum ineleganti clausula, πούτων ἢ πὰ ἀγαθὰ πράξῃς, cujus fontem reperi. Etenim Democritus ait in codice 1168, p. 94: ὧν πὰς δόξας ζηλοῖς, πούτων ἢ πὰς ἀγαθὰς πράξεις. Eadem scriptura usnm esse Antonium puto, maleque mutavisse: supplendum erat μιμοῦ, ut est in Veneto libro.

(2) Ap. Demophilum p. 615; et Stobæum tit. 3, 67, qui tribuit Socrati. Præeunte Demophilo, inserui ἐν ante εὐτυχίαις. Stobæus, et Anton. Serm. 148, p. 136, ἐν εὐτυχίᾳ habent. Codex Laurentianæ in Bandinii Catalogo caret præpositione. Bandinius tres hasce sententias Leoni in codice Florentino tribui affirmat.

(3) Prima, quæ nunc una cultrum bibliopegi effugit, nominis scriptoris litera, est Κ. — Laurent. cod. ἔοικε.

(4) Pariliter Porphyrius Epist. ad Marcellam p. 19: ψυχῆς δὲ νόσημα κακία. Atque ita Sextus in Rufini versione p. 650: « malitia » est ægritudo animæ. » Georgius Lapitha ineditus, mox edendus, v. 1338: Νόσος γάρ τίς ἐστι ψυχῆς ἠθῶν ἀναρμοστία.

ΑΠΟΦΘΕΓΜΑΤΑ

ΑΓΙΩΝ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ.*

Ἱερεμίου. — Δεῦτε (1) καὶ ἐμβάλωμεν λίθον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων. Ἰδοὺ τὸν οἶκον Ἰούδα ἐκβάλωμεν ἐκ μέσου αὐτῶν.

Βασιλείου. — Τοῖς μὲν εὐτελεστέροις καὶ ἀναγκαίοις πρὸς τὸ ζῆν μέχρι τῆς χρείας προσδιατρίψωμεν, καὶ ἐν τούτοις τὸν κόρον ἐκκλίνοντες· τῶν δὲ πρὸς ἡδονὴν καθόλου ἀπεχώμεθα.

Τοῦ Χρυσοστόμου. — Ἡ εὐτέλεια καὶ ἡ λιτότης ὑγείας μήτηρ ἐστίν, ὅθεν ἰατροὶ (2) « ἀκρείν τροφῆς, » ὑγείν » φασίν· εἰ δὲ ἔνδεια μήτηρ ὑγείας, εὔδηλον ὅτι ἡ πλησμονὴ μήτηρ νόσων ἐστίν.

Γρηγορίου τοῦ Θεολόγου. — Κόρος πατὴρ ὕβρεως (3). Μὴ οὖν γλυκανθήτω σοι φάρυγξ, οὗ κατασύρεται πᾶν τὸ διδόμενον.

Ἀθανασίου. — Κόρος τῇ σαρκὶ σκιρτήματα ἐμποιεῖ καὶ φρυάγματα· ἐγκράτεια δὲ αὐτὴν ὑπωπιάζει καὶ δουλαγωγεῖ.

Γρηγορίου Νύσσης. — Οὔτε γὰρ ἀθληταῖς ἐν ἀγῶνος καιρῷ λυσιτελὴς ὁ κόρος ἐστίν, οὔτε τοῖς ἀσκηταῖς ἀγωνιζομένοις ἀεί.

* E codice regio 1630, pag. 201, 1, sqq.

(1) Hierem. XI, 19, cum varietate.

(2) Respiciuntur Hippocratis Epid. VI, 4, 20. Isidorus Pel. V, 528: ἴσθι ὅτι καὶ Ἱπποκράτης ὁ Κῶος, ᾧ πάντες εἴκουσιν, ἔφη τὴν ὑγίειαν διατρεῖσθαι τῇ ἀκορίᾳ. Cf. infra p. 118.

(3) Sunt illa prima verba in Greg. Naz. Orat. XVII, p. 275; reliqua non reperi. Cf. p. 49.

Κυρίλλου. — Ἡ ἀληθὴς ἐγκράτεια οὐκ ἀσιτία ἐστὶ παντελής· τοῦτο γὰρ τοῦ σώματος ἔκλυσις· ἀλλὰ κόρου ἀποφυγή.

Σάβα. — Ὁ ἀγαπῶν τὸν Θεὸν ἀγγελικὸν βίον βιοῖ ἐπὶ τῆς γῆς, νηστεύων, ψάλλων, ἀγρυπνῶν, προσευχόμενος.

Εὐθυμίου. — Μισθὸς τῆς ἐγκρατείας ἡ ἀπάθεια· ἡ δὲ ἀπάθεια τίκτει τὴν διάκρισιν· ἡ δὲ πλησίον ἄγει Θεοῦ.

Παύλου τοῦ Θηβαίου. — Οὐ τὰ βρώματα κακά, ἀλλ' ἡ γαστριμαργία· οὐδὲν γὰρ τῶν τοῦ Θεοῦ κακόν, ἀλλ' ἡ παράχρησις ἁμαρτία.

Ἀντοῦς. — Οὐ δεῖ φοβεῖσθαι τὰς προσβολὰς τῶν δαιμόνων· εὐχαῖς γὰρ καὶ νηστείαις καὶ τῇ εἰς τὸν Κύριον πίστει πίπτουσιν εὐθὺς ἐκεῖνοι.

Ἀρσενίου. — Ὁ ξύλα ἐπισταβάζων πυρὶ αἴρει φλόγα· ὁ δ' ἐμπιπλῶν τὴν γαστέρα τὴν πυρκαϊὰν τῶν παθῶν ἐξανάπτει.

Ἐφραίμ. — Μέγιστον καλὸν ἡ ἐγκράτεια. Ἡ μὲν ἀδδηφαγία καταλύει, ἡ δὲ ἐγκράτεια οἰκοδομεῖ.

Παχώμ. — Μοναχός ἐστιν ὁ τῶν ὑλικῶν τὸν νοῦν ἀποχωρήσας, δι' ἐγκρατείας καὶ ἀγάπης καὶ προσευχῆς προσκαρτερῶν τῷ Θεῷ.

Ἰωαννικίου. — Κόρος βρωμάτων, πορνείας πατήρ· θλῖψις δὲ κοιλίας, ἁγνείας πρόξενος.

Θεοδοσίου τοῦ κοινοβιάρχου. — Τὸ κρατεῖν ὅλης γαστρὸς κρατεῖν ἐστι τῶν παθῶν.

Τοῦ τῆς κλίμακος. — Κοιλίας (1) κόρος ἐξήρανε πηγάς· αὕτη δὲ ξηρανθεῖσα ἐγέννησεν ὕδατα.

(1) Joann. Clim. p. 205.

Ἰσιδώρου τοῦ Πηλουσιώτου. — Μοναχὲ, μὴ πέσῃ πῦρ ἐπὶ σὲ τὸ ἐκ τῆς τρυφῆς· καὶ οὐκ ὄψει τὸν ἥλιον τὸν τῆς δικαιοσύνης τὸν ἄδυτον.

Μαξίμου. — Νηστεία, καὶ ἀγρυπνία, καὶ προσευχὴ, καὶ μετάδοσις, φύσει καλά· ἀλλ', ἐὰν διὰ κενοδοξίας γίνωνται, οὐ καλά.

Ἰωάννου τοῦ Δαμασκηνοῦ. — Ὥσπερ ὑβριστῇ πώλῳ χαλινὸν, ἐπένεγκωμεν τῇ σαρκὶ τὴν ἐγκράτειαν.

Νείλου. — Οὐκ ἔστιν ἁμαρτία τὸ πρὸς βραχὺ προσελθεῖν τῇ καθ' ἡμέραν τροφῇ κατὰ καιρόν· χρὴ δὲ, μετὰ τὴν χρείαν τοῦ σώματος, εἰς οὐρανὸν ἀναπέμπειν τὸ φρόνημα.

Τοῦ Στουδίτου. — Τὴν νηστείαν, ὡς φύλακα ἁγνείας καὶ μητέρα ἀπαθείας τιμῶντες, ἀδελφοὶ, ἐκ πόθου ἀσπασώμεθα.

Ἰωσήφ. — Νηστεία καθαρὰ μακρυσμὸς ἁμαρτίας, ἀλλοτρίωσις παθῶν, ἀγάπη πρὸς Θεὸν, προσευχῆς ἐπιμέλεια.

Θεοφάνους. — Ὁ ὑπωπιασμὸς τοῦ σώματος καὶ ἡ δουλαγωγία ὑπ' οὐδένος ἄλλου τοσοῦτον, ὡς ὑπὸ τῆς ἐγκρατείας, κατορθοῦνται.

Τοῦ Γραπτοῦ. — Ἐγκράτεια ἐστὶν ἐμπαθείας ἀναίρεσις, παθῶν ἀλλοτρίωσις, ζωῆς πνευματικῆς ἀρχή.

Νικολάου. — Μὴ ἀπατῶ, μοναχὲ, ὅτι ἔνι σωθῆναι ἡδονῇ καὶ κενοδοξίᾳ δουλεύοντα.

Γρηγορίου τοῦ Θαυματουργοῦ. — Νηστεία, καὶ ἀγρυπνία, καὶ κόπος, ὐκ ἐῶσιν αὔξειν τὴν ἐπιθυμίαν.

Γνωμικόν. — Ψυχὴ γὰρ ἀεὶ ἀνθρωπίνων αἱμάτων διψῶσα τοῖς τῶν προτεθυμένων οὐ κορέννυται πλώμασιν.

Γνωμικόν. — Πέφυκε γὰρ τὸ ἀνθρώπινον οὐχ οὕτω ταῖς παρελθούσαις τιμωρίαις ἀσφαλίζεσθαι, ὡς ταῖς ὁρωμέναις σωφρονίζεσθαι, καὶ τῶν φθασάντων ὑπάρχει βεβαίωσις ἡ τῶν ἐσομένων συμφώνησις.

Γνωμικόν. — Οἶδεν (1) ἀνδρὸς ἀρετὴν αἰδεῖσθαι καὶ πολέμιος.

Αθανασίου. — Οὐκ ἔστιν ἡ πρόγνωσις αἰτία τοῦ μέλλοντος ἔσεσθαι, ἀλλὰ τὸ μέλλον ἔσεσθαι αἴτιόν ἐστι τῆς προγνώσεως· οὐ γὰρ τῇ προγνώσει ἕπεται τὸ μέλλον, ἀλλὰ τῷ μέλλοντι ἕπεται ἡ πρόγνωσις. Οὐδαμῶς οὖν ὁ προγινώσκων αἴτιός ἐστι τοῦ μέλλοντος ἔσεσθαι. Ὥστε οὐχ ὁ Χριστὸς αἴτιος τῆς προδοσίας, ἀλλ' ἡ προδοσία αἰτία τῆς τοῦ Χριστοῦ προγνώσεως. Καὶ ἐπὶ τοῦ Διαβόλου, καὶ ἐπὶ τοῦ πρωτοπλάστου ὁ αὐτὸς λόγος, ἔτι δὲ καὶ ἐπὶ τοῦ Πέτρου.

Τρυτάνη ἔοικε τὸ τῆς ψυχῆς βουλευτήριον· κατέχει δὲ ταύτην ὁ νοῦς ἡγεμονεύειν λαχών· καὶ οἷς ἂν τύχῃ προθέμενος, ἀνάγκη κλίνειν τὰ τῆς διανοίας ἐκείνοις ζυγά.

Τῶν ἁμαρτημάτων τὰ μέν εἰσι προαιρετικά, τῇ ἰδίᾳ συγκαταθέσει γινόμενα, τὰ δὲ ἀπροαίρετα κατὰ λήθην, τυχὸν ἢ βίαν γινόμενα. Συμβαίνει δὲ διὰ τοῦ σώματος πολλάκις ἁμαρτάνειν, ἢ κατὰ πρόληψιν, ἤγουν ἀκρατῆ καὶ πρόγλωσσον ἕξιν, ἢ κατὰ ἄγνοιαν, ἀλλ' οὐ κατὰ προαίρεσιν· οὐδεὶς γὰρ ἐπὶ τοσοῦτον ἀνοίας ἐλθεῖν βούλεται, ὡς ὢν οἰκείᾳ θελήσει ἐρεσχελεῖν.

(1) Vide supra p. 44, in Θαυμάζειν.

ΓΝΩΜΑΙ

ΔΙΑΦΟΡΟΙ.*

Σιράχ. — Τέκνον (1), κτῆσαι ἐν νεότητί σου παιδείαν, καὶ ἕως γήρως εὑρήσεις αὐτήν.

Ἀνδροκύδου. — « Ἐπὶ (2) χοίνικος μὴ καθίζου » · τουτέστι μὴ ἐπαναπαύεσθαι τῇ ἐφημέρῳ τροφῇ, ἀλλὰ προεισφέρειν.

Ξενοφῶντος. — Μηδέποτε (3) ἀναμένειν ποιεῖσθαι τὰ ἐπιτήδεια, ἕως ἂν ἡ χρεία σε ἀναγκάσῃ · ἀλλ', ὅταν μάλιστα εὐπορῇς, τότε, πρὸ τῆς ἀπορίας, μηχανῶ· καὶ γὰρ τεύξῃ μᾶλλον παρ' ὧν ἂν δέῃ, μὴ ἄπορος δοκῶν εἶναι.

Δημοσθένους, ἐκ τοῦ Περὶ εἰρήνης. — Πέρας (4) μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος· κἂν ἐν οἰκίσκῳ τις καθείρξας αὐτὸν, τηρῇ· δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δὲ ὅτιπερ ἂν ὁ Θεὸς διδῷ γενναίως.

* E cod. 1630, pag. 189, 1. Hunc titulum feci, quum in codice nullus sit.

(1) Sirach, VI, 18, cum varietate.

(2) Androcydes Pythagoreus de Symbolis Pythagoricis librum, teste Iamblicho Vit. Pyth. 145, scripserat, cujus hæc est particula servata: Plenior est locus Androcydis in Tryphonis libro De tropis, quem Blomfield. edidit, p. 46, t. I Musei Cantabrigiensis.

(3) Xenoph. Cyrop. I, 6, 10.

(4) Dem. De corona pag. 276. Editiones habent melius ὁ θάνατος. Prima sententiæ verba in codice infra sunt repetita, cum librarii errorem animadvertentis notula, περιγράφω, et rursus sine articulo.

Τȣ̃ ἁγίȣ Νείλȣ. — Οὐκ ἔπαινος γλώσσῃ τραχαλῶς φθεγγομένη, ἀλλὰ χείλεσι δόξα εὐσταθῶς κινουμένη.

Νικοστράτου.

Εἰ τὸ (1) συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν
Ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες
Ἐλέγοντ' ἂν ἡμῶν φρονιμώτεραι.

Ἀντίπατρος ὁ Μακεδὼν ἐρωτηθεὶς διὰ τί οὕτως λιτῶς ζῇ, ἔχων τοσαῦτα, ἔφη· « Τὸ μέλλον οὐκ » εἰδὼς τί γενήσεται. »

Ὁ κτησάμενος (2) οὐ καθέξεις μὴ αἰτοῦ παρὰ Θεοῦ.

Τȣ̃ Αἰσώπου. — Οὐδὲν (3) ἡ κτῆσις, ἐὰν μὴ ἡ χρῆσις παρῇ.

Ἅπαντες (4) ἐσμὲν εἰς τὸ νουθετεῖν σοφοί,
Αὐτοὶ δ' ἁμαρτάνοντες οὐ γινώσκομεν.

Εὐτυχῶν (5) μέτριος ἴσθι, ἀτυχῶν φρόνιμος.

Τοὺς ἀμέμπτους ἐπαίνει, ἀλλὰ μὴ εἰς πρόσωπον, ἵνα μὴ εἰς ὑψαυχενίαν αὐτοὺς ἐνέγκῃς.

Τȣ̃ Ὁμήρȣ.

Ἀνδρὶ (6) δὲ κεκμηῶτι μέγα σθένος οἶνος ἀέξει.

(1) Ap. Stob. tit. 36, 8. Cod. εἰ ὅπὶ π' συν. Stobæus tertio versu rectius : ἡμ. σωφρονέστεραι πολύ.

(2) Demophil. pag. 620; Porphyr. ad Marc. pag. 25. Sextus Rufini pag. 648 : « non petas a » Deo id quod, quum habueris, » non perpetuo obtinebis. » Recurret inter Γνώμας Σοφῶν, p. 128.

(3) Insunt vestigia metri.

(4) Eurip. Fragm. incert. 25, ubi αὐτὸ δ' ὅταν σφάλωμεν. Inveni ἁμαρτάνοντες et in cod. 2720, p. 12.

(5) Erit et infra inter Periandri sententias, p. 140.

(6) Il. Z, 261. Addidi Ν.

Τοῦ Ἡσιόδου.

Ἀρχομένοιο πίθυ (1) καὶ λήγοντος κορέσασθαι,
Μεσσόθι φείδεσθαι· δειλὴ δ' ἐνὶ πυθμένι φειδώ.

Τοῦ αὐτοῦ.

Γλώσσης (2) τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστον
Φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.

Τοῦ αὐτοῦ.

Οὗτος (3) μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει,
Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
Ὃς δέ κε μήθ' αὐτῷ νοέῃ, μήτ' ἄλλου ἀκούων
Ἐν θυμῷ βάλληται, ὅδ' αὖτ' ἀχρήϊος ἀνήρ.

Τοῦ αὐτοῦ.

Ἔργον δ' οὐδὲν (4) ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.

Τοῦ αὐτοῦ.

Αἰδὼς τοι (5) πρὸς ἀνολβίην, θάρσος δὲ πρὸς ὄλβον.

Τοῦ αὐτοῦ. — Ἀνὴρ ἄοκνος (6) πίμπλησι καλιήν.

Τοῦ αὐτοῦ.

Μοχθεῖν (7) ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.

Τοῦ αὐτοῦ.

Κἂν μόνον (8) ὄντα καὶ κακὴ τύχη τρέφει.

(1) Hesiodus, Opp. 366. Cod. πίθοιο.
(2) Idem ibid. 717.
(3) Hesiodus, Opp. 291. Cod. ἄλλος.
(4) Id. ibid. 309. Inserui δ'.
(5) Ibid. 317. Inserui τι.
(6) Sententia facta ex Hesiodi Opp. 299.
(7) Euripides Telepho, 18.
(8) Philem. Fragm. inc. 31 Cleric., 104 Meinek. Stobæi

Τοῦ ἁγίου Νείλου. — Πᾶσα (1) σοφία φοβεῖσθαι τὸν Κύριον· πᾶσα δὲ ἡ παιδεία, ἡ μὴ διδάσκουσα τὸν νόμον Κυρίου, μωρία ἐστὶ καὶ ἀφροσύνη.

Τοῦ Σιράχ. — Ἐπὶ (2) σοφίᾳ μὴ ἐπαίρου.

Σοφία (3) ἀνθρώπου φωτιεῖ πρόσωπον αὐτοῦ.

Μακάριος (4) ἀνὴρ, ὃς ἐν σοφίᾳ τελευτήσει.

Κτήσασθε (5) σοφίαν, μὴ ἀργύριον.

Τοῦ ἁγίου Νείλου. — Οὐδὲν ἀγαπᾷ ὁ Θεὸς, εἰ μὴ τὸν σοφίᾳ συνοικοῦντα.

Τοῦ Σολομῶντος. — Υἱὲ, φύλαξαι (6) τοῦ ποιῆσαι βιβλία πολλά· καὶ μελέτη πολλὴ κόπωσις σαρκός.

Τοῦ ἁγίου Νείλου. — Καλλίστοις ἱματίοις μὴ σεαυτὸν περιστολίσῃς, ἵνα μὴ τὸν κενοδοξίας δαίμονα περιφανέστερον ἐνδύσῃ· οὐ γὰρ ἐν κάλλει ἱματίων αἱ ἀρεταὶ φοροῦνται, ἀλλ' ἐν κάλλει ψυχῆς οἱ πόνοι χρυσοφοροῦνται. Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ πενιχρᾷ νομίζει στολῇ, βλεπέτω τὸν ἅγιον Παῦλον, ἐν ψύχει καὶ γυμνότητι τὸν τῆς δικαιοσύνης προσδοκήσαντα στέφανον.

Τοῦ αὐτοῦ. — Οὔτε τὸν διδάσκαλον λανθάνειν τι ὀφείλει τῶν εἰς διόρθωσιν τῶν ὑποτεταγμένων ἡκόντων,

tit. 68, 16, lectionem, τὸν μόνον ὄντα, reperi, et in cod. 2720, p. 21, 2. Forsan, ὃν κἂν μ. scripserat poeta, sententia relativa.

(1) Hic articulus a superioribus separatur hacce notula, πρέσβις, ὁ ἀποκριτάριος ἐστὶν, ὁ δὲ γέρων ἢ ὁ παρακλήτωρ, ψιλόν (quod falso est animadversum), versiculisque hisce pessimis : Σήχοι εἰς πᾶς ἰδ' τῶ μεγάλω Παύλω ὀπισολάς· Ῥώμῃ, Κορίνθῳ, Γαλάταις, Ἐφεσίοις, Φιλίππῳ, Ῥόδῳ, Θεσσαλοῖς, Τιμοθέῳ Τίτῳ τε, Φιλήμονι καὶ τοῖς Ἑβραίοις, Γραφαῖς παρεμπεῖ τὸ Χριστοῦ Παῦλος σῶμα. — Cod. habet Φιλίππε.

(2) Prov. v, 3.

(3) Eccles. VIII, 1.

(4) Sirach. XIV, 20.

(5) Prov. VIII, 10.

(6) Eccles. XII, 12.

οὔτε οἱ μαθητευόμενοι παροράν τι τῶν τοῦ διδασκάλου παραγγελμάτων ὀφείλουσιν.

Τοῦ αὐτοῦ. — Δεῖ οὖν τὸν ἐννόμως σταιχεῖν τῇ πολιτείᾳ θέλοντα μὴ ἀπὸ τοῦ τέλους ἐπὶ τὰς ἀρχὰς κατάγεσθαι, ἀλλ' ἀπὸ τῶν ἀρχῶν προκόπτειν ἐπὶ τὴν τελειότητα.

Τοῦ αὐτοῦ. — Ἐν τῇ κρίσει τὰ ἔργα ζητοῦνται, οὐ χρὴ ἡ γνῶσις (1) τῶν ἀπορρήτων.

Οἱ μέτρα καὶ ζυγοὺς ἀδόλους κεκτημένοι μισθὸν ὑπὸ Κυρίου λήψονται· οἱ δὲ ἐν μεγάλοις καὶ μικροτέροις ζυγῖς καὶ καμπαναρίοις (2) διακείμενοι δολίως, καὶ μέτροις καὶ πλήρεις (3) σταμνοις καὶ χοίνιξι καὶ μοδίοις ἔχοντες ἀδίκοις, βδελυχθήσονται (4) ἅμα καὶ καταχριθήσονται ὑπὸ τοῦ δικαίου καὶ ἀληθινοῦ κριτοῦ τῶν ἁπάντων Θεοῦ.

Μὴ (5) ἐγκαταλίπῃς φίλον ἀρχαῖον.

Σεκοῦνδος (6), ἐρωτηθεὶς τί ἐστι γυνή, ἔφη· Ἀνδρὸς κίνδυνος, οἰκίας ζάλη, καὶ μεθημερινὴ ζημία, νικῶσα καὶ αὐτὴν τὴν ἀμαιμακέτην Χίμαιραν.

Ἀριστοτέλους. — Τὸν (7) εὐχόμενον δεῖ φρόνιμον εἶναι, μὴ λάθῃ τι κακὸν εὐξάμενος ἑαυτῷ.

Δημοκρίτου. — Εἰ (8) μὲν ἦν μαθεῖν ἃ δεῖ παθεῖν,

(1) Forsan ζητοῦνται, οὐχ ἡ γνῶσις.

(2) Καμπαναρίων est recentioribus *statera*.

(3) Librarius hunc locum corrupit.

(4) Nam, ut est in Prov. xx, 23, βδέλυγμα Κυρίῳ δικαιον σάθμιον, καὶ ζυγὸς δόλιος οὐ καλὸν ἐνώπιον αὐτοῦ.

(5) Sirach. IX, 10.

(6) Cf. not. ad Planud. Met. p. 315.

(7) Inde ad finem ex codice 1630, pag. 292, 2. — Est apud Anton. Serm. 68, 276, ubi εὐξ. κατ' αὐτοῦ.

(8) Est in Stobæi editione a. 1581, S. 93, p. 313. Cf. infra pag. 119.

καὶ μὴ παθεῖν, καλὸν τὸ μαθεῖν· εἰ δὲ παθεῖν δεῖ ἃ δεῖ μαθεῖν, τί δεῖ μαθεῖν; παθεῖν γὰρ χρή.

Αὐταρκίῃ (1) τροφῆς μικρὰ νὺξ οὐδέποτε γίνεται.

Κλειτάρχου. — Ἄρχων μὲν, ἐπιτήδευε πρᾶος εἶναι, ἀρχόμενος δὲ, μεγαλόφρων.

Δημοκρίτου. — Ποθητὸς (2) εἶναι μᾶλλον ἢ φοβερὸς κατὰ τὸν βίον προαιροῦ· ὃν γὰρ πάντες (3) φοβοῦνται, πάντας φοβεῖται.

Πονηρὰ (4) φύσις, ἐξουσίας ἐπιλαβομένη, δημοσίας ἀπεργάζεται συμφοράς.

Δημωνάκτος.

Κόλαζε (5) κρίνων, ἀλλὰ μὴ θυμούμενος.

(1) Est in Appendice Stobæana, p. 74, sub Democratis nomine. Antonius Serm. 32, p. 45, habet αὐταρκείη τροφῇ σμικρὰ νὺξ οὐδέποτε γίνεται : est et αὐταρκείη τροφῇ μικρὰ in cod. Coislin. 249, pag. 1, ubi Democratis nomen sententiæ præfixum fuit. Codex 1168, p. 93, meam lectionem exhibet cum Democriti nomine. Editor Antonii proposuit αὐταρκεῖ et μακρά. In lectione quam exhibui, nihil esse mutandum videtur, ni forsan αὐταρκίῃ in αὐταρκείῃ. Sensus est frugaliter vescentibus nullam esse noctem brevem, quippe qui longo integræ noctis somno fruantur. Placeret tamen magis μακρὰ νύξ.

(2) Est et sub nomine Democriti in codice 1168, pag. 94. Protuli ad Aristænet. pag. 744, sed vocula εἶναι male transposita.

(3) Sententia in cod. 1168, p. 88 : ὁ πολλοῖς φοβερὸς ὢν πολλοὺς φοβεῖται. Publ. Syrus Sent. 431 : « Multos timere debet quem multi timent », ubi paria contulit Gruterus. — Fenelon. Telem. II, pag. 36, edit. Paris. ann. 1824, apud *Lefevre* : « Ils sont craints » comme ils le veulent être, mais » ils sont haïs, détestés; et ils ont » encore plus à craindre de leurs » sujets, que leurs sujets n'ont à » craindre d'eux » : ubi consuli poterit annotator, qui, quum ad Philost. Her. pag. 368 lectorem remittat, voluit scribere 568.

(4) Apud Stob. tit. 43, 35. Est Æschinis in Ctes. pag. 208. Democrito tribuit cod. 1168, p. 93.

(5) Est apud Anton. Serm. 77, pag. 133, sine auctoris nomine. Demonacti tribuit codex 1168, pag. 104.

Τοῦ Πλάτωνος. — Μανίαν ἰᾶται φάρμακον, ὀργὴν δὲ οὐδὲν ἄλλο ἢ λόγος (1).

Ἱπποκράτους. — Ἀκοείη (2) τροφῆς, ὑγιείη.

Φωκυλίδου.

Οὐχ ὅσιον κρύπτειν τὸν ἀτάσθαλον ἄνδρ' ἀνέλεγκτον,
Ἀλλὰ χρὴ (3) κακοεργὸν ἀποτρεπάασθαι ἀνάγκῃ.

Ὧν ἦρξε (4) γαστὴρ τὸ φρονεῖν ἀφῃρέθη.

Ὦ γῆρας, ἀνθρώποισιν εὐκταῖον κακόν.

Μαθεῖν (5) μὲν ἐκ τοῦ παθεῖν καὶ τῶν πάντη ἐστὶν ἀμαθῶν· μαθεῖν δὲ καὶ χωρὶς τοῦ παθεῖν, τῶν φρονίμων.

(1) Sentent. monost. 293: Ὀργῆς μέγιστόν ἐστι φάρμακον λόγος: ubi conf. quæ notavi, si id esse tanti videbitur.

(2) Vide supra p. 109.

(3) Scripsi χρὴ pro τὸν, editum Phocylidem sequutus, vers. mihi 131=126, et manuscriptum in hoc ipso codice pag. 193. Lectio ἀνέλεγκτον nova est, puto; textus Phocylidis in hoc codice notam lectionem ἄπτον exhibet. Cujus codicis collationem integram in Appendice apponam, voluminis magnam partem sententiosi opportunum πάμπολυ.

(4) Hunc versum protuli jam ad Aristæn. p. 743.

(5) Ad Nicetam, p. 152, hanc sententiam adposui cum Democritea, quæ præcessit pag. 117, Εἰ μὲν τὸν μαθεῖν....

ΦΙΛΟΣΟΦΩΝ

ΛΟΓΟΙ.*

Θεὸν (1) νόμιζε καὶ σέβου, ζήτει δὲ μή·
Εἴτ' ἔστιν, εἴτ' οὐκ ἔστι, μὴ πειρῶ μαθεῖν·
Ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου.

Περὶ δὲ παντὸς ἔργου καὶ λόγου τὸν Θεὸν σέβου, καθαρὸς ὢν ἀπὸ πάσης κακίας.

Γίνου τοῖς φίλοις πρᾶος καὶ μεταδοτικός, ἵν' εὐνοητικῶς σοι συναναστρέφωνται (2).

Ἐν οἴνῳ (3) μὴ πολυλόγει ἐπιδεικνύμενος παιδείαν· χολερὰ γὰρ ἀποφθέγξῃ.

Μὴ σοφίζου παρόντων σοφῶν, οὐκ ὢν αὐτὸς σοφός, ἵνα μὴ πέρας καταγελασθῇς.

Τοῖς εὐπραγοῦσι μὴ φθόνει, ἀλλὰ σύγχαιρε, καὶ μεθέξεις αὐτῶν τῆς εὐπραγίας.

Ὀργῆς ἀπέχου καὶ θυμοῦ ἀφίστασο· θηρίων γὰρ ταῦτα καὶ οὐκ ἀνθρώπων.

* E cod. reg. 1166, pag. 308, 2, seqq.

(1) Philem. p. 340 Cler., 405 Meinek., ubi μὴ βάλλου μαθεῖν. Codex, ἀλλ' ὡς ὄντα. Cf. p. 148, 8.

(2) Cod. συναναστρέφονται. Quid frequentius ea vocalium ο et ω permutatione? Jo. Chrysostomus sic fuit editus e codice in Lectionibus Mosq. t. 1, p. 6 : ἐκεῖνο σκόπησον, ὅτι ὅσον ἂν μείζονα πάχης βίαν κατὰ ψυχὴν, μετὰ μυρία κακὰ ἀναγκαζόμενος καταλλαττεσθαι τῷ πεποιηκότι κακῶς, τοσοῦτο πλείονος ἀπολαύσῃ τιμῆς παρὰ τοῦ ταῦτα κελεύσαντος Θεοῦ. Mirum est Matthæium non vidisse scribendum ὅσῳ et τοσούτῳ. Eumathius II, p. 33 : ἢν γὰρ ἀγαθῶν χωρίον ὁ κόπος : codex 2897, χωρίων, bene minus. Theodorus Prodr. Rhod. III, pag. 141 : Φιλεῖ γὰρ ἀνύποπτον εἰσπιπτὸν πάθος, Ἐκστατικόν τι τῶν φρενῶν πεφυκέναι Καὶ συνδεικὴν τῶν λογικῶν ὀργάνων. Excerpta Macarii Chrysocephali, συνδεικῶν, quod reformandum in συνδεικόν. Cf. Addenda.

(3) Epictetus Fragm. 116.

Διαβολαῖς μὴ πεισθῇς, μηδὲ πάντη ἀπίστει.

Μέθην καὶ λαγνείαν μὴ ἐπιτήδευε.

Τῶν δύλων (1) σὺ ἐπιμελοῦ, μεταδιδοὺς αὐτοῖς ἀφ' ὧν ἔχεις, ἵνα μὴ μόνον ὡς κύριον σε φοβοῦνται, ἀλλὰ καὶ ὡς εὐεργέτην τιμῶσιν.

Μὴ μέγα φρονῇς ἐπὶ χρήμασιν, μήτε ἐπὶ πενίᾳ ταπεινοῦ· τὰ μὲν γὰρ κληρὸς ἀφαιρεῖται, ἡ δὲ ἀπόρθητος μένει.

Τοῖς ἐχθροῖς μᾶλλον εὖ ποιεῖ, ἵνα μεταμελοῦνται οἷον ἂν δρῶσιν κακόν.

Δυνάμενος χαρίζεσθαι, μὴ βράδυνε, ἀλλὰ δίδου, ἐπιστάμενος μὴ εἶναι τὰ πράγματα μόνιμα.

Ψίθυρον (2) καὶ διάβολον ἄνδρα μὴ προσδέχου· οὐ γὰρ ἕνεκεν εὐνοίας τοῦτο ποιεῖ. Ὡς γὰρ τὰ τῶν ἄλλων ἀπόρρητα ἀπεκάλυψέν σοι, ὡσαύτως καὶ τὰ ὑπὸ σοῦ λεχθέντα ἑτέροις ἀναθήσεται.

Ἰσοκράτους. — Ἰσχὺς (3) μετὰ φρονήσεως ὠφέλησεν· ἄνευ δὲ ταύτης, πολέω τοὺς ἔχοντας ἔβλαψεν.

Ἔθιζε (4) σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δυνηθῇς καὶ τοὺς ἀκουσίους ὑποφέρειν.

Μηδενὶ (5) συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ μέλλον ἀόρατον.

Ὅταν (6) ὑπὲρ τῶν ἑαυτοῦ πραγμάτων μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρῶτον πῶς ὑπὲρ τῶν

(1) Vide Addenda.

(2) Est ap. Anton. S. 53, 79.

(3) Isocr. ad Demon. § 2, ubi ῥώμη.

(4) Isocr. ad Demon. pag. 5, ubi γύμναζε et δύναιο.

(5) Jam supra pag. 60. Sententiæ monost. 174: Μὴ μέμψαι δυςτυχοῦντι· κοινὴ γὰρ τύχη: ubi cf. quæ notavi. Adde Georgium Lapith. 573, in tomo XII Notit. Mss. edendum.

(6) Isocr. ad Dem. p. 8, non sine varietate. Cf. supra p. 64.

ἰδίων ἐδιοίκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς ὑπὲρ τῶν οἰκείων, οὐδέποτε καλῶς συμβουλεύσεται περὶ τῶν ἀλλοτρίων.

Φίλυς (1) κτῶ μὴ πάντας τοὺς βυλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας.

Ἐπικούρυ. — Τὸν ὕμνον (2) τῷ Θεῷ ἀπονέμειν δεῖ, τὸν δὲ ἔπαινον τοῖς ἀγαθοῖς ἀνδράσι.

Εὔχου (3) σοι γενέσθαι, μὴ ἃ βούλει, ἀλλὰ ἃ συμφέρει.

Μηδείς σε πειθέτω ποιεῖν τι παρὰ τὸ βέλτιον· ἀσύνετον γὰρ ἄλλου (4)...

Οὐ τὸ μὴ ζῆν δεινόν ἐστιν, ἀλλὰ τὸ μὴ καλῶς ζῆν ἐν βίῳ (5).

Ὀμνυόντων μὴ τοῖς λόγοις πίστευε, ἀλλὰ τοῖς τρόποις πρόσεχε.

Εὐγενείας, διὰ συμφορὰν, μὴ καταφρόνει· ἐπισφαλὲς γάρ· μηδὲ τὸν ἄδοξον, διὰ πλοῦτον, θαύμαζε.

Ἐπὶ τοῖς σπουδαίοις πράγμασι μὴ γελοίαζε, ἵνα μὴ δόξῃς ἀπαίδευτος εἶναι· μηδὲ πάλιν ἐπὶ τοῖς γελοίοις σπούδαζε· ἀνοήτου γὰρ ἀμφότερα (6).

Ἡ γυνή συ αἰδείσθω σε μᾶλλον, ἢ μὴ φοβείσθω· ὑ γὰρ θεράπαιναν εἴληφας αὐτὴν, ἀλλὰ κοινωνὸν τῦ βίυ.

(1) Isocr. ad Nic. 8, pag. 17. Hanc sententiam suam fecit scholiastes Joannis Climaci, pag. 38.

(2) Anonymus in cod. 1168, p. 160, et ap. Anton. Serm. 58, pag. 96 : ὕμνους τῷ Θεῷ, ἐπαίνους δὲ τοῖς ἀνθρώποις παρέχειν δεῖ. Ant. S. 51 : τὸν μὲν λιβανωτὸν τοῖς θεοῖς, τὸν δὲ ἔπαινον τοῖς ἀγαθοῖς ἀπονέμειν δεῖ.

(3) Rufinus pag. 647 : « opta » tibi evenire, non quod vis, sed » quod expedit. »

(4) Sic codex.

(5) Conferendus Plato Stobæi tit. 7, 44 : οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν.

(6) Cf. Isocrates supra p. 26 : Δεῖ παρὰ....

Οἱ οἰκέται σου μήτε κόρῳ, μήτε λιμῷ, ἐθιζέσθωσαν· λιμῷ μὲν γὰρ ἕπεται κλοπή, κόρῳ δὲ ὕβρις.

Ὑπόχρεως ὤν τινι, ἀγνώμων μὴ γίνου· ἀνελεύθερον γάρ.

Ἐχθροῦ δεηθέντος, μὴ ἀποστραφῇς τὴν ἀξίωσιν· πλὴν ἀσφαλίζου αὐτόν· οὐδὲν γὰρ κυνὸς διαφέρει.

Ταχὺς γίνου πρὸς εὐεργεσίαν, βραδὺς δὲ πρὸς τιμωρίαν.

Τὸν πολλὰ ὀμνύοντα, ὡς τὸν ἐπίορκον, φεῦγε· ὀν γὰρ πολλοῖς ὅρκοις πλεῖστα ἐπιορκίαι (1).

Θεοπ.... — Μήτε (2) αἴτιον κακῶν τὸ Θεῖον ὑπολάμβανε (3), μήτε χωρὶς αὐτοῦ δυστυχεῖν ἡμᾶς νόμιζε.

Καλὸν μέν ἐστιν μὴ ἁμαρτάνειν, ἁμαρτάνοντα δὲ μετανοεῖν κρεῖττον.

Μὴ ἴσθι χαίρων ἐπ' ἀλλοτρίοις κακοῖς, ἀλλὰ μᾶλλον ἐπὶ οἰκείοις ἀγαθοῖς.

Εὐγενεῖς εἶναι νόμιζε, μὴ τοὺς ὀκ τῶν καλῶν καὶ ἀγαθῶν γεγενημένους, ἀλλὰ τοὺς καλὰ καὶ ἀγαθὰ πραιρουμένους.

Σπούδαζε τὰς μὲν ἔχθρας ὀλιγοχρονίους ποιεῖσθαι, τὰς δὲ ἀγάπας πολυχρονίους.

Χρὴ τέχνην τοὺς υἱοὺς διδάσκειν, ἵν', ὅταν τῆς ἄλλης κτήσεως (4) ἀποστερηθῶσιν, ἐπὶ τὴν τέχνην, ὥσπερ ἐπὶ τροφέα καὶ πατέρα, καταφεύγειν ἔχωσιν.

Ὅταν βουλεύῃ μετὰ φίλου, μηδενὸς καταφρόνει τῶν λεγομένων, ἀλλὰ πάντα ἄκουε καὶ ἀκούων καρτέρει, ἵνα, πολλὰ ἀκούσας, τοῖς κρείττοσι χρήσῃ.

(1) Cf. Philo supra p. 34, n. 3.
(2) Anton. Serm. 158, p. 254, sententiam Theopempto tribuit.
(3) Vide p. 128, n. 6 et 7.
(4) Cod. κτήσως. Cf. pag. 49, n. 7; 88, n. 2; 107, n. 2.

Τὸ ψεῦδος μίσει (1), ἵνα σοι ἡ ἀλήθεια συνεθιάζηται.

Ἰαμβλίχου. — Ἀρετὴ καὶ χρήματα ἀλλήλων ἐναντιώματα· μειούμενον γὰρ τὸ ἕτερον αὔξει τὸ ἕτερον, αὐξανόμενον δὲ μειοῖ.

Ὁ βίος τῶν ἀνθρώπων ὀλίγος ἐστὶν, καὶ εἰ ζήσομεν τὴν σήμερον οὐκ οἴδαμεν· δάνειον γὰρ ὀφειλόμεθα τῷ θανάτῳ· καὶ πάντες ἀποστώμεθα κακῶν.

Πυθαγόρου. — Τοὺς ἀδικήσαντας μὴ εἴσπραττε δίκας· ἀρκεῖ γὰρ αὐτοῖς ὑπὸ τῆς ἰδίας ταπεινοῦσθαι κακίας.

Οἱ μὲν ἄλλοι ἄνθρωποι τῆς τοῦ σώματος εὐεξίας φροντίζουσιν· ὁ δὲ σοφὸς τὴν τῆς ψυχῆς ἀπάθειαν (2).

Ξίφους πληγὴ κουφοτέρα γλώττης· τὸ μὲν γὰρ σῶμα, ἡ δὲ ψυχὴν τιτρώσκει (3).

Ψυχῆς (4) ἁγνῆς ἐπὶ γῆς τόπον οἰκειότερον ὁ Θεὸς οὐκ ἔχει.

Τὸ μὴ ὂν δίκαιον ἔργον μισητὸν παρὰ Θεῷ.

Τὸ (5) μὴ συνιέναι ἑαυτῷ ἀδικίαν πολλὴν ἡδονὴν ἔχει.

Μενάνδρου.

Ὁ μηδὲν ἀδικῶν (6) οὐδενὸς δεῖται νόμου· πρὸς γὰρ τοὺς πονηροὺς εἰσὶν οἱ νόμοι ἐξευρημένοι.

(1) Cod. μήσει — συνεθιάζεται.

(2) Patet deesse verbum, δίωκει, ἀσκεῖ, aut aliud ejusdem sensus.

(3) Confer. Sextus in Rufini versione pag. 650 : « levius est » omne vulnus quam verbum. » Potest et conferri Democritus codicis 1168 pag. 95, aut Antonii Serm. 53, p. 79 (cf. S. 54, pag. 81) : ἡ μὲν μάχαιρα τιμωρεῖ, ἡ δὲ διαβολὴ χωρίζει φίλους.

(4) Demophilus p. 625.

(5) Adumbratum ex Antiphanis disticho ap. Stobæum tit. 24, 7 : Τὸ μὴ συνειδέναι γὰρ αὐτῷ τῷ βίῳ Ἀδίκημα μηδὲν ἡδονὴν πολλὴν ἔχει.

(6) Versum hunc Antiphani

Ἐπιχάρμου. — Εὐσεβὴς (1) βίος μέγιστον ἐφόδιον θνητοῖς ἐστι· φέρει δικαιοσύνην.

Διογένους. — Οὐκ ἔστιν οὐδενὶ ἀνδρὶ καταπονουμένῳ φάρμακον σωτηρίας, ὡς χρηστὸς φίλος.

Ὁ προσδεχόμενος κατὰ τοῦ φίλου φαῦλον λόγον, οὐχ ἥττον τοῦ συνδιαβάλλοντος εἶναί μοι (2) δοκεῖ.

Ἀντιφάνους. — Αἱ νέαι φιλίαι ἀναγκαῖαι μέν, αἱ δὲ παλαιαὶ ἀναγκαιότεραι.

Σέκστου. — Μὴ (3) ὀνειδίσῃς τὸν φίλον σου χάριτας· ἔστιν γὰρ ὡς οὐ δεδωκώς.

Μυστήριον (4) ἐν φιλίᾳ ἀκούσας, ὕστερον, ἐχθρὸς γενόμενος, μὴ ἐκφάνῃς· ἀδικεῖ (5) γὰρ οὐ τὸν ἐχθρὸν, ἀλλὰ τὴν φιλίαν.

Ἀδύνατόν ἐστιν τὸν ὀρθῶς φρονοῦντα καὶ ὀρθῶς βιοῦντα περιπεσεῖν πταίσμασιν αἰσχύνης ἢ πλάνῃ

tribuit Stobæus tit. 9, 16, ubi non est ὁ. Quod sequitur videtur esse excerptoris observatio, qua poetæ sententia explicatur, vel ad auctorem quemdam pertinet, qui Menandri loco fuit usus.

(1) Si hæc sunt Epicharmi, facili opera in iambicos redigentur, scripto ἔνι pro ἐστι.

(2) Forsan legendum, ἐχθρὸς εἶναί μ.

(3) Anton. Serm. 58, p. 96, habet ἔσῃ melius quam ἔστι. Sextus Rufini p. 653 : « qui dat ali» quid et imputat, contumeliam » magis quam beneficium dedit.» Libanius t. 1, p. 177 : καὶ μὴν καὶ ὅστις γε εὖ ποιήσας πολλάκις μνημονεύει τῆς χάριτος βαρὺς, εἴπερ ἐγγὺς μὲν πῦπω τοῦ ὀνειδίζειν, λυπηρὸν δὲ ὀκεῖνο. Georgius Lapitha nondum editus 468 : Μὴ ὀνειδίσῃς πώποτε τινὶ εὐεργεσίαν, Ἣν αὐτὸν εὐεργέτησας· ἀπολεῖς γὰρ τὴν χάριν. Elsnerus, ad Jacobi verba, παρὰ τοῦ διδόντος Θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος, alia adtulit.

(4) Similis sententia Georgii Lapithæ 1109 : Ἂν πιστευθῇς παρά τινος λόγους μυστηριώδεις, Ἐν βάθει κρύψον τῆς φρενὸς καὶ μὴ ἀποκαλύψῃς, Μηδ', ἂν ἐχθρός σου γένηται ὕστερον ὁ πιστὸς, Θελήσῃς βλάψαι πώποτε διὰ τοῦ φανερῶσαι· Σαυτὸν γὰρ μᾶλλον ἔβλαψας, ἄπιστος χρηματίσας.

(5) Forsan ἀδικεῖς, vel ἀδικεῖ γὰρ τοῦ. Verba ἀδικεῖν τὴν φιλίαν illustrentur ex animadversione quadam mea in Notit. Mss. t. XI, part. II, p. 52.

δαιμόνων· ὥσπερ γὰρ σκώληξ ἀναλίσκει τὸ ξύλον ὅπου εἰσέρχεται, οὕτως καὶ ἡ ἁμαρτία μένουσα ἐν τῷ ποιήσαντι αὐτήν.

Ἄνθρωπος μιαρολογῶν πολὺ ἀλογώτερος τῶν κτηνῶν ὑπάρχει· οὐ γὰρ τῆς ἀνάγκης ὁ μισθὸς, ἀλλὰ τῆς προαιρέσεως.

Ὅταν λοιδορηθῇς, σκόπευε μή τι σοι πέπρακται τῆς λοιδορίας ἄξιον· εἰ δὲ οὐ πέπρακται, καπνὸν εἶναι τὴν λοιδορίαν νόμιζε.

Ἄνθρωπος ὤν, μηδέποτε ἀλυπίαν αἴτει παρὰ Θεοῦ· ἀλλὰ μακροθυμεῖν χρή· ἐπὰν δὲ ἄλυπος διὰ τέλους εἶναι θέλῃς, ἢ γάρ σε Θεὸν εἶναι δεῖ ἢ τάχα νεκρόν.

Ἔθισον σαυτὸν τῇ λιτῇ διαίτῃ, ἵνα τῆς πολυτελοῦς μήποτε προσδεηθῇς.

ΓΝΩΜΑΙ
ΣΟΦΩΝ.*

Ἕπου Θεῷ (1).

Γνῶθι σαυτόν (2).

Ὁ μὲν (3) Θεὸς οὐδενὸς δεῖται, ὁ δὲ σοφὸς δεῖται μόνου τοῦ Θεοῦ.

Εὐσεβὴς (4) οὐχ ὁ πολλὰ θύων, ἀλλ' ὁ μηδὲν ἀδικῶν.

Ἡ ψυχή σου (5) ἀεὶ ἔστω παρὰ Θεῷ.

* E codice regio 1630, p. 186, 2, seqq.

(1) Pythagoræ dictum apud Stobæum Eclog. II, 7, pag. 66. Cf. Wyttenb. ad Plut. S. N. V. pag. 27; Gassend. Epicur. t. II, pag. 207.

(2) Infra in Γνώμαις τῶν ἑπτὰ σοφῶν Chiloni tribuitur. De illo dicto vide Fabric. ad S. Empir. p. 424; Creuzer. ad Procl. in Alcib. p. 5; Stalbaum. ad Plat. Phileb. § 107; Damken. ad Agapet. c. 3; Schol. Platon. p. 42, 81 : ipse nonnihil adtuli ad Procli Hymnos p. 221. Optimæ sententiæ meminit Philemo, ad quem vide Meinek. pag. 417; meminit et Menander non semel, cujus est et hic inter Sentent. monost. versiculus : Τὸ γνῶθι σαυτὸν παντὸς ἐστι χρήσιμον. Vide et Greg. Thaumat. Panegyr. ad Origenem p. 206, cum G. Vossii nota.

(3) Vide supra in Θεός p. 45, ubi quem adposui Agapeti locum exhibet, eumque pleniorem, Antonius Serm. 103, p. 172, præfixo male Philonis nomine. Excidit forsan ex Antonii codice locus Philonis De vita Mosis pag. 626 E, ὁ μὲν γὰρ Θεὸς πάντα κεκτημένος οὐδενὸς δεῖται : et superstes tantum Philonis nomen Agapeti verbis nunc legitur adpictum. Quidquid sit, corrigendus erit Agapetus sic editus : μιμοῦ πάνυ τὸν οὐδενὸς δεόμενον καὶ δαψιλεύειν πᾶς αἰτοῦσι τὸν ἔλεον, μὴ ἀκριβολογούμενος περὶ τοὺς σοὺς οἰκέτας, ἀλλὰ πᾶσι παρέχων τὰς τροφὰς τὸ ζῆν αἰτήσεις. Malim οἰκέτας ex Antonio scribere, quod firmant verba πᾶς αἰτοῦσι τὸν ἔλεον, id est ἱκετεύουσι. Et Serm. 105, p. 177, ubi pleniora etiam Agapeti verba, sed anonyma, adtulit Antonius, legitur recte οἰκέτας.

(4) In hunc sensum nonnulla loca contulit Gruter. ad Syrum 581.

(5) Rufinus p. 649 : «semper

Διάνοια (1) ἀνθρώπου Θεὸν οὐ λανθάνει.

Δίκαιος (2) ἀνὴρ εἰκὼν Θεοῦ.

Ζήλου τὸν (3) μηδενὸς δεόμενον.

Σκέπτου (4) περὶ τοῦ πράττειν καὶ ἃ πράττεις ἐξέταζε, ἵνα μηδὲν ποιῇς ὃ μὴ δεῖ.

Ψυχὴ (5) καθαίρεται ἐννοίᾳ Θεοῦ.

Παντὸς (6), οὗ καλῶς πράττεις, Θεὸν ἡγοῦ αἴτιον.

Κακῶν (7) Θεὸς ἀναίτιος.

Μεγαλοψυχίαν (8) ἄσκει.

Ὃ κτησάμενος (9) οὐ καθέξεις μὴ αἰτοῦ παρὰ Θεοῦ.

Φιλῶν (10) ἃ μὴ δεῖ, οὐ φιλήσεις ἃ δεῖ.

Αἱρετώτερον (11) εἰκῇ λίθον βάλλειν ἢ λόγον.

«apud Deum mens est sapientis.» Idem p. 646 : « corpus quidem » tuum incedat in terra; anima » autem semper sit apud Deum.»

(1) Rufinus : « bona cogita» tio hominis Deum non latet.»

(2) Idem, pag. 656 : « sapiens » mens speculum est Dei » : inveni « sapientis mens » in codice Salmasiano, nunc regio. Id. p. 650 : « cole sapientem virum tan» quam imaginem Dei viventis.»

(3) Cf. Agapet. supra p. 127.

(4) Rufin. p. 647 : « delibera » priusquam agas, et, antequam » agas, provide quale sit quod » factus es » : lege « facturus. »

(5) Porphyr. ad Marc. p. 24 : καθαίρεται μὲν ἄνθρωπος ἐννοίᾳ Θεοῦ. Rufinus p. 647 : « anima illustra» tur recordatione Dei. » Idem p. 645 : « anima purificatur Dei » verbo per sapientiam. »

(6) Porphyr. ibid. : πάντων οὖν πράττομεν ἀγαθῶν τὸν Θεὸν αἴτιον ἡγούμεθα· τῶν δὲ κακῶν αἴτοι ἡμεῖς ἐσμὲν οἱ ἑλόμενοι· Θεὸς δὲ ἀναίτιος. Rufinus p. 648 : « in omni quod » bene agis auctorem esse deputa » Deum.» Cf. Porphyr. pag. 34, 42, et Nilus supra p. 97.

(7) Rufinus pag. 648 : « mali » nullius auctor est Deus.»

(8) Rufinus ibid. : « magnani» mus esse stude. »

(9) Cf. supra p. 114, 10.

(10) Rufinus pag. 649 : « qui » amat quod non expedit non » amabit quod expedit. » Clitarchus Antonii Serm. 64, p. 105, et codicis reg. 1168 p. 96, Coislinianique 249 p. 1 : φιλῶν ἃ μὴ δεῖ, οὐ φιλήσεις ἃ δεῖ· ἀπλήρωτον γὰρ ἡ ἐπιθυμία (Coislin. ἡ φιλία), διὰ πῦρ καὶ ἄπορον.

(11) Rufinus p. 649 : « melius

Σκέπτου (1) περὶ τοῦ λέγειν, ἵνα μὴ λέγῃς εἰκῇ.

Ῥήματα (2) ἄνευ νοῦ ψόφοι.

Βραχυλογία (3) σοφία παρακολουθεῖ· μακρολογία σημεῖον ἀμαθίας.

Ἀνδρὶ (4) σοφῷ πᾶσα γῆ πατρίς.

Τῷ ψεύδει (5) ὡς φαρμάκῳ χρῶ.

Ὁπότε δεῖ πράττειν, λόγῳ μὴ χρῶ.

Περὶ ὧν (6) οὐκ οἶδας σιώπα· περὶ ὧν οἶδας ὃ δεῖ λέγε.

Λόγος (7) παρὰ καιρὸν ἀνοίας ἔλεγχος.

Ἡ (8) αὐτὴ ἐπιστήμη ἐστὶ τοῦ λέγειν καὶ τοῦ σιωπᾶν.

Ἐν συλλόγῳ (9) πρῶτος λέγειν μὴ ἐπιτήδευε· μετὰ πλείονας λέγων, ὄψει μᾶλλον τὰ συμφέροντα.

»est lapidem frustra jactare quam »verbum.» Pythagoræ tribuunt sententiam Stobæus tit. 34, 11, et Anton. Serm. 170, pag. 278. Porphyrius hinc corrigendus libello ad Marcellam pag. 27, ubi αἰρεπωτέρου σοι ὄντος εἰκῇ βάλλειν ἢ λόγον. Lacunæ non inserendum erat a viro d. χρήματα, sed λίθον.

(1) Rufinus ibid. : «delibera »antequam dicas, ne quæ non »expedit dicas.»

(2) Cf. supra p. 78, n. 2.

(3) Verbis Rufini pag. 649 : «brevis est in sermonibus sa»piens; indicium imperitiæ lon»ga narratio.»

(4) Menander in Sent. monost. : Τῷ δὲ καλῶς φρονοῦντι πᾶσα γῆ πατρίς : ubi cf. quæ adposui in Gnomicis, p. 289. Motenabbius, poeta Arabicus, a Silv. Sacyo gallice versus Chrest. Arab. t. III, pag. 15 : «il n'est de patrie pour »un mortel que le lieu où il se »plaît.»

(5) Rufinus p. 649 : «menda»cio tanquam veneno utere.» Clitarchus in cod. 1168, p. 96 : τῷ ψ. ὡς φ. χρῶ· μεγάλη πειρᾶσαι φρένας ψεῦδος : quæ postrema statim legentur. Codici 1168 consentit Coislinianus 249, p. 1.

(6) Rufinus ibid. : «de quibus »ignoras tace; de quibus autem »certus es loquere opportune.»

(7) Rufinus p. 649 : «sermo »extra tempus indicium malitio»sæ mentis est.»

(8) Ad sententiam conf. Diogenis dictum ap. Stob. tit. 34, 16.

(9) Rufinus p. 649 : «in con»ventis ne satagas primum di»cere.» Addidi ὢν ante συλλόγῳ. In codice 1168, p. 96, ubi hæc verba sub Clitarchi nomine

Μεγάλη πειστάσει τρέπει ψεῦδος.

Μηδένα ἀπάτα, μάλιστα δὲ τὸν συμβουλίας δεόμενον.

Οὐδὲν (1) οἰκειότερον σοφίας ἢ ἀλήθεια.

Οὐ (2) δυνατὸν τὴν αὐτὴν φύσιν φιλόσοφόν τε εἶναι καὶ φιλοψευδῆ.

Ὃν οὐκ οἶδας πῶς ποτ' ἔχει παιδείας, τοῦτον μή ποτε τολμήσῃς λέγειν εὐδαίμονα (3).

Οὐκ ἔστιν εὐγενῶς φιλοσοφεῖν πόνων καταφρονήσαντα.

Τοὺς λόγους σου ὁ βίος βεβαιούτω (4).

Τῶν δογμάτων σου τὰ ἔργα ἀπόδειξις ἔστω (5).

Ἄρχεσθαι (6) μὴ μαθὼν, ἄρχειν μὴ ἐπιχείρει.

Χαλεπώτερον εὐγενῶν νέων ἄρχειν ἢ λεόντων.

leguntur, est ἐν σύλλ., et γὰρ post μετά : nec aliter ap. Ant. S. 170, et in codice Coislin. 249. Basilius Exh. 36 : σκοπήσας μὲν γὰρ ἐν συλλόγῳ κύριος εἶ, πρὸ τοῦ τι εἰπεῖν, ὧν μέλλεις εἰπεῖν, εἴ που καὶ μετὰ τὴν πρώτην γνώμην ἡ δευτέρα κρείττων ἀναφανῇ.

(1) Rufin. p. 649 : « nihil tam » vernaculum sapientiæ quam » veritas. »

(2) Rufinus ibid. : « nunquam » potest anima bona mendacium » diligere. »

(3) Similis hæc sententia Agesilai dicto, apud Plut. Apophth. Lacon., qui, solitis Persis regem suum magnum regem vocare, aiebat mirabundus : τί δὲ ἐκεῖνος ἐμοῦ μείζων, εἰ μὴ δικαιότερος καὶ σωφρονέστερος;

(4) Confer. Gregor. Nazianz. tom. II, pag. 158 : Ὅρκον δὲ φεῦγε πάντα. Πῶς οὖν πίστιν; Λόγῳ, τρόπῳ τε τὸν λόγον πιστουμένῳ. Idem de Basilio in Anth. Palat. VIII, 4 : σὺ γὰρ μόνος ἴσον ἔφηνας Καὶ βίοτον μύθῳ καὶ βιότῳ λόγον.

(5) Porphyr. ad Marc. p. 17 : τὰ γὰρ ἔργα τῶν δογμάτων ἑκάστου φέρει τὴν ἀπόδειξιν. Quæ sequuntur ibi cum præcedente sententia possunt conferri : καὶ δεῖ οὕτως βιοῦν ὅστις ὀμνύειν, ἵνα καὶ αὐτὸς πιστὸς ᾖ μάρτυς περὶ ὧν λέγει τοῖς ἀκουομένοις.

(6) Clitarcho tribuitur hæc sententia in cod. 1168, p. 96, 2, et Coislin. 249, p. 1. Occurret et simile dictum inter Solonis sententias, in Γνώμαις τῶν ἑπτὰ σοφῶν. Isocrates Nic. 13 : ἐὰν γὰρ ἄρχεσθαι μάθωσι, πολλῷ μᾶλλον ἄρχειν δυνήσονται.

Ἄνθρωπον (1) μὲν ἀπατῆσαι δυνατὸν λόγῳ, Θεὸν δὲ, ἀδύνατον.

Ἄρχων (2) μὲν, ἐπιτήδευε τρόπος εἶναι, ἀρχόμενος δὲ, μεγαλόφρων.

Βασιλεῖ συμβούλευε τὰ συμφέροντα τῇ ἀρχῇ.

Βασιλέα φρόνησις, οὐ διάδημα, ποιεῖ.

Ὁ βασιλεύων ἀνθρώπων καλῶς βασιλεύεται ὑπὸ τοῦ Θεοῦ.

Οὐχ ὁ θάνατος κακὸν, ἀλλὰ τὸ μὴ δύνασθαι γενναίως ἀποθανεῖν.

Ἄνθρωπος (3) ὅμοιον ἔχει Θεῷ τὸ εὐεργετεῖν.

Οὐ μικρὸν ὂν βίῳ τὸ παρὰ μικρόν· οὐ σώζεται μέρος ἄνευ τοῦ ὅλου (4).

Ἐφ' ὅσον (5) ἂν γαστρὸς ἄρξῃς, κ᾽ ἀφροδισίων ἄρξεις.

Φιλοπονία φύσιν διορθοῦται· ῥαθυμία φύσιν ἀπόλλυσιν.

Ὅσα (6) πάθη ψυχῆς, τοσοῦτοι δεσπόται.

Οὐκ ἔστιν (7) ἐλεύθερον εἶναι κρατούμενον ὑπὸ παθῶν.

Ὕπνον προσίεσο διὰ τὸ ἀναγκαῖον.

(1) Rufinus p. 650 : « possibile est verbo fallere homines, » non autem Deum. »

(2) Jam fuit supra p. 118, 4.

(3) Cf. supra p. 46, 8. Agapetus c. 45 : μίμησαι αὐτὸν (τὸν Θεόν) δι' ἔργων ἀγαθῶν : ubi vide Damken.

(4) Cf. supra p. 44, Θέρας..

(5) Rufinus p. 651 : « ut continueris ventrem, ita et venereos motus. »

(6) Porphyr. ad Marc. p. 57 : ἀδύνατον δ' εἶναι ἐλεύθερον τὸν ὑπὸ παθῶν κρατούμενον· ὅσα γὰρ πάθη ψυχῆς, τοιοῦτοι καὶ ὠμοὶ δεσπόται. Demophil. pag. 623 : ὅσα πάθη ψυχῆς, τοῦτοι οἱ ὠμοὶ δεσπόται : vel delendum οἱ, vel in καὶ ex Porphyrio reformandum. Rufinus p. 647 : « perniciosum est servire vitiis, quia, quot vitia habet anima, tot et dominos. » Demoph. pag. 623, et Epictetus Fragm. 114 : οὐδεὶς ἐλεύθερος ἑαυτῷ μὴ κρατῶν : quæ verba in cod. 1168, p. 118, Ἐπικτήτου nomen inscriptum habent, lapsu manifesto calami.

(7) Cf. Porph. in n. proxima.

Μὴ ταχέως (1) τοὺς φίλους κτῶ.

Πειρᾶσεις (2) δοκιμάζουσι φίλους.

Πῖνε μετὰ τὸ δεῖπνον· ἔσθιε μετὰ τὸ πεινῆν.

Ἄνθρωπος (3) γαστρὸς ἥσσων ὅμοιος θηρίῳ.

Μὴ ἐπιτείχιζε τῇ ψυχῇ σου τὸ σῶμα.

Ὄρρος σιτίων ἔστω σοι τὸ μὴ πεινῆν.

Ἀκρόπολις ἐστὶ σοφοῦ μεγαλοψυχία.

Ἀρετὴν (4) μὲν ἔχων πάντα ἕξεις, κακίαν δὲ, οὐδὲ σεαυτόν.

Ἰσχὺν σώματος πόνοι καταναγκάζουσι σιτίων μᾶλλον.

Ἡ ἰσχὺς (5) τοῦ σώματός σου μὴ γινέσθω τῆς ψυχῆς ἀσθένεια.

Αἱρεῦ τῇ ψυχῇ μᾶλλον ἢ τῷ σώματι ἰσχύειν.

(1) Infra in Γνώμαις τῶν ἑπτὰ σοφῶν, p. 136, Soloni tribuitur.

(2) Reperi et in cod. Coislin. 249, p. 1, sub Clitarchi nomine. Cf. supra, p. 42, similem Epicteti sententiam. Ceterum, re diligentius perpensa, intellexi de nomine Epicteti dubitationem esse non exiguam. Antonius enim, cujus auctoritate Uptonus est usus, ut Epictetum illa sententia et proximis nonnullis ditaret, lemma exhibet S. 135, p. 214, valde ambiguum : « ex dictis et » sententiis Epicteti, Isocratis et » Democratis. »

(3) Rufinus p. 652 : « homo » qui a ventre vincitur, belluæ » similis est. »

(4) In cod. 1168, pag. 96, 2, sub nomine Clitarchi. Est et ap. Anton. Serm. 1, p. 6. Sed nec ipse bonus vir se possidere dici potest, si Philoni credendum est De vita Mos. pag. 626 : ὁ δὲ σπουδαῖος ἄνθρωπος κέκτηται μὲν οὐδὲν κυρίως, ἀλλ' οὐδὲ αὐτὸν, τῶν δὲ τοῦ θεοῦ κειμηλίων, καθ' ὅσον ἂν οἷός τε ᾖ, μεταλαγχάνει.

(5) Codex, ἡ ἰσχὺς, junctis sententiis hac et præcedente. In codice Coislin. 249, p. 1, inter Clitarchea, ἰσχὺς τοῦ σώματος μὴ γ. τ. ψ. ἀσθένεια· ἰσχὺν δὲ ψυχῆς φρόνησιν νόμιζε : quæ ultima statim apponentur. Codex 1168, p. 96, 2, et 1720, p. 74, ἡ ἰσχὺς... νόμιζε, cum Clitarchi etiam nomine; similisque est Maximi recensio Serm. 26, pag. 38, 58, sed Demonactis nomen sententiæ præfixit.

Ἰσχὺν ψυχῆς φρόνησιν νόμιζε. Εἷς ἀνὴρ μυρίων περιγίνεται τῇ φρονήσει.

Τοῦτο σὸν κτῆμα οὐκ ἔστιν, ὃ (1), παρόσον μεταδίδως τοῖς ἄλλοις, αὐτὸς οὐχ ἕξεις.

Ὃς ἂν τῶν ἐπαίνων καταφρονῇ, οὗτος καὶ τῶν ψόγων καταφρονεῖ.

Α..... (2) τοὺς φίλους ἡγοῦ.

Τὰ δίκαια μετὰ πειθοῦς αἱρετώτερον ποιεῖν ἢ μετὰ βίας.

..... μὴ παρόξυνε (3).

Ἔπαινον πλήθους μὴ θαύμαζε ἢ (4) μὴ ἀτίμαζε.

Θόρυβον τ..... μάτων ἦχον.

Ψυχὴν σιτίοις μὴ ἐπιθολοῦ, μηδὲ ἀμέτρῳ.....

..... εἶν (5) ἢ διὰ γαστρὸς ἀκρασίαν ψυχὴν ἀμαυρῶσαι.

Νέος εὐφ.....ίας τυχὼν διαφερόντως γίνεται κακός.

Ἁρμόζου πρὸς τα..... εὐθυμῆς.

Περισπάσεις εὐδαιμονίαν οὐδαμῶς (6) ἀφαιρῶνται.

(1) Cod. ᾧ. Rufinus p. 652 : « si quid proprium alii tradideris, at ipse non habebis, non judices bonum. » Forsan permutanda sedes verborum *proprium* et *bonum*. Demophilus p. 622 : ἡγοῦ μάλιστα ἀγαθὸν εἶναι, ὃ καὶ ἑτέρῳ μεταδιδόμενον σοὶ μᾶλλον αὔξεται.

(2) Est hic et in sequentibus lacuna, lacero codice. Forsan scribendum : ἀδελφοὺς εἶναι τοὺς φίλους ἡγοῦ.

(3) Videtur ad hæc mutila referri posse Rufini Latina : « iracundiam multitudinis ne proposcis in te. » Supplendum igitur fuerit, ὀργὴν πλήθους.

(4) Pro ἢ malim legi καί.

(5) Forsan, κρεῖττον θανεῖν. Porphyrius ad Marcellam, p. 58 : πολλῷ γὰρ κρεῖττον τεθνάναι ἢ δι' ἀκρασίαν τὴν ψυχὴν ἀμαυρῶσαι. Quæ Porphyrii verba cum Demophili Sent. pag. 624 conferenda esse Taylorus monuit.

(6) Scripsi ἀφαιρῶνται : cod. ἀφαιρ, tantum.

Οὐκ ἔστιν εὐκλεῶς ζῆν ἄνευ τοῦ σωφρόνως καὶ καλῶς καὶ δικαίως....

..... βίαιον (1) μάθημα.

Ψυχὴ καθαίρεται κακίας ἀπαλλαγῇ.

Τὰ ὦτά σου μὴ (2) πᾶσιν ὕπεχε· λόγος γὰρ κακὸς κακῶν ἡγεμών ἐστιν.

Δύναμιν μεγ..... φρονήσεως (3) οὐκ ἂν εὕρεις.

Πολλὰ (4) βουλευόμενος, ἔπειτα πράττε, ὡς ἐξουσίαν μὴ ἔχων ἐπανορθοῦσθαι τὰ πραχθέντα.

Φύσεως ἀντιπρατλούσης, πάντα κενά.

Τείχας τὰς τοῦ σώματος μὴ δυνάμενος φέρειν, πῶς οἴσεις πανοπλίαν;

Τείβων καὶ κόμη καὶ γένειον ἀγαθῷ μὲν ἀνδρὶ οἰκεῖα, κακῷ δὲ σίμματα.

Οὐδεμία (5) σωφροσύνη ἐπὶ πολὺν χρόνον λανθάνει.

Μαντικὴ ἀνδρὸς σοφοῦ εὐβουλία.

Μακάριος οὗ ὁ θεὸς κηδεμών ἐστιν (6).

Οὐκ ἔστιν ἅμα δουλεύειν ἡδονῇ καὶ Θεῷ.

Σοφοῦ (7) ζῶντος δόξα μὲν ὀλίγη, μετὰ δὲ τὴν τελευτὴν τὸ κλέος ᾄδεται.

(1) Forsan, οὐ παραμένει βί... Cf. p. 13, 19.

(2) Supplevi τὰ ὦτά σου μὴ, Antonio duce Serm. 170, p. 278.

(3) Videtur supplendum, μεγάλην ἄνευ φρονήσεως.

(4) Cf. Georgides supra p. 18, 21, Βουλεύου... Maximus S. 26, pag. 39, hunc Epicteto tribuit locum, quem Antonius Serm. 27, p. 40, exhibet anonymum.

(5) Demophil. p. 622. Rufinus pag. 653: « nulla simulatio » multo tempore latebit, maxime » in fine. » Menander Sent. monost.: Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.

(6) Porphyr. ad Marc. p. 32: μακάριος ὁ σοφὸς ὅτι ὀπτρεπεύεται ὑπὸ Θεοῦ.

(7) Rufinus p. 646: « sapiens » vir, cujus viventis quidem par» va est apud homines opinio, de» functi vero gloria prædicatur. »

ΓΝΩΜΑΙ.

ΤΩΝ ΕΠΤΑ ΣΟΦΩΝ.*

ΚΛΕΟΒΟΥΛΟΣ ΛΙΝΔΙΟΣ (1).

Θεὸν σέβεσθαι. Γονέας αἰδεῖσθαι. Κόσμιον εἶναι τὸ σῶμα. Ἀσκεῖν τὴν ψυχήν. Φιλήκοον εἶναι, φιλομαθῆ. Γλῶτταν εὔφημον κεκτῆσθαι. Ἀρετῆς οἰκεῖον εἶναι, κακίας ἀλλότριον. Εὔκλειαν φυλάττειν. Ἀδικίαν μισεῖν. Ποιεῖν τὰ βέλτιστα. Συμβουλεύειν καλῶς. Ἡδονῆς κρατεῖν. Ἔχθρας διαλύειν. Τὸν τοῦ δήμου ἀλλότριον πολέμιον ὑπολαμβάνειν. Γυναικὶ μὴ φίλα φρονεῖν, μὴ μάχεσθαι, ἀλλοτρίων παρόντων· τὸ μὲν γὰρ ἄνοιαν (2),

* Ex codice Bibl. regiæ 1630, pag. 187, seq. Simile est Demetrii Phalerei Syntagma apud Stobæum tit. 3, 79. Qui a me editur libellus in multis cum Demetrio consentit; est tamen et in verbis et in ipsis sententiis satis varietatis, ut operæ in describendo positæ me non pœniteat.

(1) Codex, Λύδιος.

(2) Cod. εὔνοιαν. Par Isocratis, supra p. 59, antithesis : τὸ μὲν γὰρ ἀνοήτου, τὸ δὲ μανικόν. Literarum α et ευ permutatio fuit non semel a me notata. Gregorius Nyss. t. I, p. 396 : ὥσπερ γὰρ εἴ τις ἐκ λαιμαργίας αμέτρου δυσπέπτους πιὰς χυμοὺς ἐν αὐτῷ συναγάγοι (cod. 1630, p. 125, 2, ἐν ἑαυτῷ συναγάγοι : hoc malim), εἶτα, ἐν φλεγμονῇ γινομένου τοῦ σώματος, πυρὶ καὶ καυτῆρι (cod. καυτηρία : forsan καυτηρίῳ, sed melius καυτῆρι) θεραπευθεὶς τὴν νόσον, καθάπερ τινὰ παιδαγωγὸν φεύς τὴν ἀπαξίαν ἔχοι τοῦ εφεξῆς βίου τὴν οὐλὴν τοῦ καυτῆρος ὁρῶν τοῦ σώματος βλέπων : malim scribere e codice : φεύς τὴν εὐπαξίαν τοῦ ἐφεξ. . . . βλέπει. Idem pater t. II, p. 179 : ὅσα τῆς θεοσεβείας γραφῆς ἀληθέστερα παῖς ὢν ἡλικίας δοκεῖ, ταῦτα ἦν τοῦ παιδὶ τὰ μαθήματα : leg. εὐληθέστερα, quod et jam viderat Latinus interpres. Sententia monosticha 467, Λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώπου τύχη, sic est scripta in cod. 1168, p. 167, 1, A. εὐτυχίας βίου ἀνθρώπου τύχη : et εὐτυχίας

τὸ δὲ μανίαν σημαίνει. Οἰκέτην μεθύοντα μὴ κόλαζε· εἰ δὲ μὴ, δόξεις παροινεῖν. Γάμει ἐκ τῶν ὁμοίων· ἢν γὰρ ἐκ τῶν κρειττόνων λάβῃς, δεσπότας, καὶ οὐ συγγενεῖς, κτήσῃ. Μὴ ἐπιγέλα τοῖς σκωπτομένοις. Μὴ ὑπερήφανος γίνου· ἀπορήσας (1).....

ΣΟΛΩΝ ΑΘΗΝΑΙΩΣ.

Φίλων κριτὴς μὴ γίνου. Ἡδονὴν φεῦγε τίκτουσαν λύπην. Φυλάσσου τὸν τρόπον. Καλοκἀγαθίας ὀρέγου. Μὴ ψεύδου, ἀλλ' ἀλήθευε. Τῶν γονέων μὴ λέγε δικαιότερον. Φίλους μὴ ταχέως κτῶ. Μὴ ἄρχε (2) πρὸ τοῦ μαθεῖν ἄρχεσθαι. Συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ κράτιστα. Τοῖς... ...θρασύνου (3) Ἰσχύϊ χρῶ πρὸς πολεμίους, πρὸς δὲ οἰκείους αἰσχύνῃ. .....μὴ λάλει, ἰδὼν δὲ σίγα (4).

Sehneiderus invenit et edidit, quod quidem vulgato ἀπυχίας non erat præferendum.

(1) Sic codex. Sensus loci mutili restituatur e Cleobuleis Stobæi, εὐπορῶν μὴ ὑπερήφανον εἶναι, ἀπορῶν μὴ ταπεινοῦσθαι· ipsa fere verba e Phavorini gnome in eod. 1168, pag. 106: εὐτυχῶν μὴ ἔσο ὑπερήφανος, ἀπορήσας μὴ ταπεινοῦ· τὰς μεταβολὰς τῆς τύχης γενναίως ὑπίσασο φέρειν. Notandum in eo codice post *Phavorini* locum esse apposita τοῦ αὐτοῦ ἀποφθέγματα, quæ sic incipiunt: Κλεόβουλος ὁ Λίνδιος....

(2) Cf. p. 130 et n. 6. Solonis sententia aliis est concepta verbis in eod. 1168, pag. 118, cui consentit Antonius Serm. 105: Σόλωνος. Ἄρχε, πρῶτον μαθὼν ἄρχεσθαι· ἄρχεσθαι γὰρ μαθὼν, ἄρχειν ὑπίσχῃ. Solonis meminerat Anastasium laudans Procopius Gaz. p. 32: εὐδαίμονος βίου παράδειγμα σαυτὸν ἐνδείκνυς τοῖς ἄλλοις, ἄρχεσθαι, πρὶν ἄρχειν, καλῶς ὑπισάμενος· εἴπερ ἀεὶ τὴν μελέτη τὴν πρὸς τὸ δεόντως ἄρχειν ὁδὸν λαμβάνειν ἐκ τῆς τοῦ καλῶς ἄρχεσθαι πείρας. Forsan, μελέτη τοῦ τὴν....

(3) Solon in Collectaneis Stobæi l. c. tantum habet μὴ θρασύνου. Lacuna codicis hujus forsan sic supplenda: τοῖς τύχης δώροις μὴ θρασύνου.

(4) Solon ibidem: ἃ δ' ἂν ἴδῃς μὴ λέγε· εἰδὼς σίγα. Codicis lacunam ita supplendam esse conjicio: εἰδὼς μὲν, μὴ λ.

Σφραγίζειν (1) δεῖ τὸν μὲν λόγον σιγῇ, τὴν δὲ σιγὴν καιρῷ.

ΧΙΛΩΝ ΔΑΜΑΓΗΤΟΥ ΛΑΚΕΔΑΙΜΟΝΙΟΣ (2).

Πίνων μὴ πολλὰ λάλει· διαμαρτήσῃ γάρ. ..... οὐ γὰρ δίκαιον (3). Μὴ κακολόγει τὸν πλησίον· εἰ δὲ μή, ἀκύσῃ ἐφ' οἷς λυπηθήσῃ. Ἐπὶ τὰ (4) δεῖπνα τῶν φίλων βραδέως πορεύου (5)· ἐπὶ δὲ τὰς ἀτυχίας ταχέως (6). .....ιοῦ (7). Τὸν τετελευτηκότα μακάριζε. Πρεσβύτερον σέβου. Τὸν τὰ ἀλλότρια περιεργαζόμενον (8) μίσει. Ζημίαν αἱρεῦ μᾶλλον ἢ κέρδος αἰσχρόν· τὸ .....ὲ ἀεί (9). Ἀτυχοῦντι (10) μὴ ἐπιγέλα. Τραχὺς ὢν, ἥσυχον σεαυτὸν πάρεχε, ὅπως σε αἰσχύνωνται (11)

(1) Hanc sententiam e margine in textum intuli, quod sit à codicis ipso descriptore, non ab annotatore, scripta, dixeritque Solon Stobæi tit. 34, 9: σφραγίζου τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ. Nonnulla quidem resecuit bibliopegi culter, sed duce Stobæo facili opera in integrum ea restitui.

(2) Cod. δαμαγίτ....ς.

(3) Chilon Stobæi: μὴ ἀπίλει τῆς ἐλευθέρας, οὐ γὰρ καλόν. Unde reficiendum esse codicis mutilum spatium non dubito, præsertim quum pro καλὸν codex Gesneri habeat δίκαιον.

(4) Verba οἷς λυπω. supplevi e Stobæo, ut et ὅθι τά.

(5) G. Lapitha 1413: Ἐν δὲ τῆς δειπνοῖς τῆς αὐτῶν (τῶν φίλων) καὶ ταῖς φιλοφροσύναις, Ἐὰν κληθῇς, μὴ πρευθῇς· κολακικὸν γάρ.... Ἐν δὲ τῆς δυσυχήμασι ᾗ συμφορᾶς τῶν φίλων Παραυτίκα πρεύθηπ, μὴ περιμένων κλῆσιν.

(6) E Stobæo supplevi υχίας ταχέως.

(7) Puto deesse quam habet Stobæus sententiam: γάμους εὐπλεῖς ποιοῦ.

(8) Inserui e Stobæo σέβε τὸν τὰ ἀλλότρια περ.

(9) Suppleri potest e Diogene Laert. I, 70: τὸ μὲν γὰρ ἅπαξ ἐλύπησι, τὸ δὲ ἀεί.

(10) Sirach. VII, 11: μὴ καταγέλα ἀνθρωπον ὄντα ἐν πικρίᾳ ψυχῆς αὐτοῦ· ἔστι γὰρ ὁ ταπεινῶν καὶ ὑψῶν. Cato Brev. Sent.: « miserum irridere noli. » Cf. supra p. 121, n. 5.

(11) E Stobæo inserui τὸν πάρεχε ὅπως σε αἰσ.

μᾶλλον ἢ φοβῶνται. Τῆς ἰδίας οἰκίας προστάτει. Θυμῷ (1) κράτει. Ἡ γλῶσσά σου μὴ περιτρεχέτω τοῦ νοῦ (2). Μὴ ἐπιθύμει ἀδυνάτων. Μὴ σπεῦδε λαλῶν. Μὴ λέγων τὴν χεῖρα κίνει· μανικὸν γάρ. Νόμοις πείθου. Ἐρημίᾳ χρῶ. Γνῶθι σαυτόν. Μηδὲν ἄγαν (3). Ἐγγύα, πάρα δ' ἄτα (4). (Τοῦτο τινὲς φασὶ γάμον ἀπαγορεύειν, τινὲς δὲ τὸ τεταγμένως ἐγγυᾶσθαί τι καὶ διορίζεσθαι τῶν ἀνθρωπίνων.)

ΘΑΛΗΣ (5).

Φίλων παρόντων καὶ ἀπόντων μέμνησο. Μὴ τὴν ὄψιν καλλωπίζου, τοῖς δὲ ἐπιτηδεύμασι ἴσθι καλός (6).

Μὴ πλούτει κακῶς. Μή σε διαβαλλέτω λόγος πρὸς τοὺς πίστεως κεκοινωνηκότας. Κολακεύειν γονεῖς μὴ ὄκνει. Πατρὸς λοιδορίαν μὴ δέχου· φαῦλον

(1) Ex eodem addidi τι θυ.

(2) Cf. p. 64, 21.

(3) Plato Menex. 20 : πάλαι γὰρ δὴ τὸ μηδὲν ἄγαν λεγόμενον καλῶς δοκεῖ λέγεσθαι. Alii non Chiloni, sed Sodamo cuidam, tribuunt; alii aliter. Conf. interpretes ad Aristot. Rhet. II, 12, 14; H. Junius Anim. VI, 24; Vict. Clericus ad Chrestom. p. 220, 221; Menag. ad Diog. Laert. I, 41; Jacobs. ad Epigr. incert. 508, et quæ scripsi ad Eurip. Hipp. 265.

(4) Pittaco tribuit Stobæus. Vide statim Thaletea. Schol. ad Platonis Charmid. p. 91 : ἐγγύα, πάρα δ' ἄτα· ὅτι τῶν ῥαδίως ἐγγυωμένων καὶ κακῶς ἀπαλλαττόντων. Λέγουσι δ' αὐτὸ ὁν Δελφοῖς ἀναγεγράφθαι· οἱ δὲ εἶπον οὐχ οὕτως ἔχειν, ἀλλὰ μόνον, Ἐγγύη ἄτη· καὶ παρέχουσι μάρτυρα τοῦ Κεφᾶνον τὸν νεώτερον λέγοντα, « Εἰς ἐγγύας τρεῖς πεσὼν ἀνηρέθην » κτλ. Codex 2720 habet, quod malim : παροιμία· ἐγγύα... λέγουσι δ' αὐτὴν ὁν Δελφ. Est quoque αὐτὴν in codice 3017. Versus Cratini mutilus potest resarciri ope codicis 2720, in quo εἰς ἐγγύας περιπεσὼν ἀνηρέθην, addito ex edito τρεῖς, sic : εἰς ἐγγ. τρεῖς περιπεσὼν ἀνηρ. Codicum varietas ἀπαλλαττομένων repudianda. Ad sententiam confer et Sirach. 29, 18 : ἐγγύη πολλοὺς ἀπώλεσε καταθύνοντας....

(5) Codex, θαλῆς. Quæ hic sunt Thaletis sunt Periandri apud Stobæum.

(6) Mox cod. ἴσθι καλός.

γάρ. Οὓς ἂν ἐρῴνους εἰσενέγκῃς τοῖς γονεῦσι, τοὺς αὐτοὺς παρὰ τῶν τέκνων ἐν τῷ γήρᾳ προσδέχου (1).

Χαλεπὸν ἑαυτὸν γνῶναι. Ἥδιστον οὐ ἐπιθυμεῖς τυχεῖν. Βλαβερὸν ἐγγύη. Βαρὺ ἀπαιδευσία. Δίδασκε καὶ μάνθανε τὸ ἄμεινον. Ἀργὸς μὴ ἴσθι. Μηδ' ἂν πλουτῇς, τὰ καλὰ ἐν οἴκῳ κρύπτε (2). Μὴ πᾶσι πίστευε. Μέτρῳ χρῶ. Ἄρχων εἶ, κόσμει σεαυτόν.

ΠΙΤΤΑΚΟΣ (3).

Ὃ μέλλεις ποιεῖν μὴ πρόλεγε· ἀποτυχὼν γὰρ γελασθήσῃ. Παρακαταθήκην ἀπόδος (4). Ἀνέχου ὑπὸ τῶν πλησίον μικρὰ ἐλαττούμενος. Τῷ φίλῳ κακῶς μὴ λέγε, μηδὲ τὸν ἐχθρὸν φίλον ἡγοῦ. Εὐχαρίστει παντί. Γῆ πιστόν, θάλασσα ἄπιστον κέρδος. Κτῆσαι καλοκαγαθίαν, θεραπείαν, εὐσέβειαν, παιδείαν, σωφροσύνην, ἀλήθειαν, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρίαν.

ΒΙΑΣ.

Εἰς κάτοπτρον ἐμβλέψας, θεώρει, καὶ εἰ μὲν

(1) Ἐρῴνους eodem sensu Demosthenes habet Phil. IV, p. 152: δεῖ γὰρ, οἶμαι, τοῖς γονεῦσι τὸν ὠνησμένον ἐξ ἀμφοτέρων ἔρανον καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τοῦ νόμου δικαίως φέρειν. Alexis in Appendice Stobæana p. 34: Ὦ παῖ, μέγιστος ἔρανός ἐστί μοι τό σε Θρέψαι κατὰ τρόπον· ὃν γὰρ αὐτὸς ἀπέλαβον Παρὰ τοῦ πατρὸς, δεῖ τοῦτον ἀποδοῦναί με σοι. Adde Schacht. ad Matth. xv, 4, in Biblioth. Brem. Nova cl. 1, p. 263, et Markland. ad Eurip. Suppl. 364, verba ac sententiam illustrantes.

(2) Sic codex. Alia apud Stobæum verborum partitio, eaque bona: ἀργὸς μὴ ἴσθι, μηδ' ἂν πλουτῇς. Τὴν εὐτυχίαν κρύπτε.

(3) Stobæus sequentes sententias Thaleti tribuit.

(4) Cf. Stobæus tit. 9, 34.

καλὸς φαίνῃ, ἄξια τούτου πράττε, εἰ δὲ αἰσχρὸς, τὸ τῆς ὄψεως ἐλλιπὲς ὠράϊζε καλοκαγαθίᾳ. Βραδέως ἐγχείρει· ὃ δ' ἂν ἕλῃ, διάνεμε βεβαίως. Μίσει (1) τὸ ταχὺ λαλεῖν· ἄνοια γάρ. Μήτ' εὐήθης ἦσθα (2), μήτε κακοήθης. Περὶ Θεοῦ μὴ λέγε κακῶς, ὅτι δ' ἔστιν ἄκουε. Ἄκουε πολλά. Νόει τὸ πρακτόμενον. Πένης ὤν, πλουσίοις μὴ ἐπιτίμα, ἐὰν μὴ μέγα ὠφελῇ. Ἀνάξιον ἄνδρα μὴ ἐπαίνει διὰ πλοῦτον. Πείσας λάβε, μὴ βιασάμενος. Κτῆσαι ὧν μὲν νεότητι εὐταξίαν, ὧν δὲ τῷ γήρᾳ σοφίαν, ἔργῳ (3) μνήμην, καιρῷ εὐλάβειαν, τρόπῳ γενναιότητα, πόνῳ ἐγκράτειαν, φόβῳ εὐσέβειαν, πλούτῳ φιλίαν, λόγῳ πειθὼ, σίγῃ κόσμον (4), γνώμῃ δικαιοσύνην, τόλμῃ ἀνδραγαθίαν, πράξει δυναστείαν, φύσει εὐγένειαν, δόξῃ ἡγεμονίαν.

ΠΕΡΙΑΝΔΡΟΣ.

Πᾶσιν ἤρεσκε. Καλὸν ἡσυχία. Ἐπισφαλὲς προπέτεια. Κέρδος αἰσχρὸν φύσεως κατηγορία. Ἀεὶ αἱ μὲν ἡδοναὶ θνηταὶ, αἱ δὲ τιμαὶ ἀθάνατοι. Εὐτυχῶν μέτριος ἴσθι, δυστυχῶν δὲ, φρόνιμος. Σαυτὸν ἄξιον τῶν γονέων κατασκεύαζε. Ζῶν μὴ (5) ἐπαινοῦ, ἀποθανὼν δὲ μακαρίζου. Φίλοις ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι. Ὃ ἂν ὁμολογήσῃς ἑκὼν, ποίει· πονηρὸν γὰρ τὸ παραβῆναι. Μὴ μόνον τοὺς ἁμαρ-

(1) Cod. πίσει. Correxi e Stobæo.

(2) Stobæus, ἴσθι. Cod. ἦσθα.

(3) Stob. ἕξεις ἔργῳ.

(4) Notus Sophoclis versus: Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.

(5) Stobæus μὴν pro μή. Cum μὴ bona quoque et vera sententia, modo juvetur interpretatione; idcirco non reposui μὴν, etsi in hoc loco verum esse videatur: cf. supra p. 37, n. 1.

τάνοντας κόλαζε, ἀλλὰ καὶ τοὺς μέλλοντας κώλυε. Ἀτυχίαν κρύπτε, ἵνα μὴ (1) τοὺς ἐχθροὺς εὐφράνῃς.

Μελέτη (2) τὸ πᾶν. Ἕπου Θεῷ. Θεὸν σέβου. Ὅρα τὸ μέλλον. Πάντας φυλάττου. Ἀκούσας νόει. Θνητὰ φρόνει. Ἀληθείας ἔχου. Φιλίαν ἀγάπα. Δόξαν δίωκε, μήτε πᾶσαν, μήτ' ἄλλαν (3). Ψυχῆς ἔχου. Πράσσε δίκαια. Φίλοις εὐνόει. Εὐσέβειαν ἄσκει. Φίλοις χαρίζου. Ὕβριν μίσει. Πᾶσιν ἁρμόζου. Φίλος γίνου. Νόμῳ πείθου. Κρατῶν εἶκε (4). Ἄρχε σεαυτοῦ. Ἡδονῆς κράτει. Πρόνοιαν τίμα. Ὅρκῳ μὴ χρῶ. Εὐσεβείας ἔχου. Σοφίαν ζήλου. Ἐπαίνει ἀρετήν. Χάριν ἀπόδος. Κακίας ἀπέχου. Ἴδια φυλάττε (5). Οἰκέτας (6) ἐλέει. Υἱοὺς παίδευε (7). Ἀλήθειαν ἀρέσκου. Φιλίαν κρίνε. Ἐγγύην φεῦγε. Σοφοῖς χρῶ. Ἄκουε τὰ προσήκοντα. Εἶκε τῷ θυμῷ (8). Φόνου ἀπέχου. Εὔχου δυνατά. Ἀγαθοὺς τίμα. Ἁπλῶς διαλέγου. Ὁμοίοις χρῶ. Αἰσχύνην φεῦγε. Ἔριν μίσει. Γλῶτταν ἴσχε. Ἀποκρίνου

(1) Addidi μὴ e Stobæo.

(2) Quæ sequuntur Periandreis adjunxit librarius malo consilio. Conferenda sunt cum Sosiadis Collectione τῶν ἑπτὰ σοφῶν ὑποθηκῶν apud Stob. tit. 3, 80.

(3) Versus est iambicus.

(4) Codex, ἥκε.

(5) Cato Brev. Sent. : « rem » tuam custodi. »

(6) Malim οἰκέτας, permutatione solenni : cf. supra p. 127. Stobæus, οἰκέτας αἰδοῦ, cum varietate οἰκέτας, quæ pessima est : nam αἰδοῦ de servulis omnino nimium est, et supplicibus aptissimum. Si quis tamen οἰκέτας defendere voluerit, non repugnabo. Nota vox philosophi: « servi sunt, » imo homines. . . »; ideoque miseratione digni. Vide interpretes ad Catonis Dist. IV, 44.

(7) Cato Brev. Sent. : « liberos » erudi. »

(8) Corrige, μὴ εἶκε θ. Cato ibid. : « iracundiam tempera. »

ὀν καιρῷ. Πράττε ἀμεταμέλητα. Ὀφθαλμῶν κράτει. Πράττε εὐτόλμως. Τὸ δίκαιον μιμοῦ. Μηδενὸς καταφρόνει (1). Ἦθος δοκίμαζε. Ὑφορῶ μηδένα. Ὃ μέλλεις δός. Εὐεργέτας τίμα. Μηδενὶ φθόνει. Ἐλπίδας νέμε. Διαβολὴν μίσει. Δαπανῶν μὴ ἄχθου. Χάριν ἐπιτέλει (2). Εὔκλειαν δίωκε. Τέχνην στέργε. Γυναικὸς ἄρχε. Εὐπροσήγορος γίνου (3). Πόνει μετὰ εὐκλείας. Ἁμαρτὼν μεταβουλεύου. Χρόνῳ φιλίαν φύλαττε. Εὐγνώμων γίνου. Στάσιν ἀποστρέφου. Ὁμόνοιαν δίωκε. Τὸ κρατοῦν φοβοῦ. Πίστευε χρόνῳ. Μὴ λάλει πρὸς ἡδονήν. Ὁμολογίαις ἔμμενε. Θῦε κατὰ δύναμιν. Πρᾶξιν θήρευε. Σεαυτοῦ μὴ ἀμέλει. Πρεσβύτερον αἰσχύνου. Νέμε κατὰ ἀξίαν. Μὴ ἀπίστει σεαυτῷ. Σεαυτὸν αἰσχύνου. Θνῆσκε ὑπὲρ τῆς πατρίδος (4). Νίκην προσδέχου. Σεαυτῷ μὴ μάχου (5). Ἀτυχοῦντι συνάχθου. Μὴ ἐπὶ παντὶ λυποῦ. Ἐξ εὐγενῶν γέννα. Ἔλπιζε ὡς θνητός. Φείδου ὡς ἀθάνατος. Μὴ ἔπαίρου ἐπὶ δόξῃ. Ἀπόρρητον κρύπτε. .....θηρῶ (6). Εἶκε μεγάλοις (7). Καιρὸν πρόσμενε. Θνητὰ

(1) Cato ibid. : « neminem irriseris. »

(2) Cato ibid. : « beneficii accepti memor esto. »

(3) Cato Brev. Sent. : « blandus esto. »

(4) Ibid. : « pugna pro patria. »

(5) Idem Distich. I, 4 : « sperne repugnando tibi tu contrarius esse : Conveniet nulli, qui secum dissidet ipse. » In codice 1630, qui, inter alia opuscula, Catonis Græcam versionem a Planude factam continet, est ad Planudea hoc scholium adscriptum : μὴ, ὁ τῶν ἐπαινεῖς, αὔριον ψέγε, ἢ μὴ ἄλλα μὲν λέγε, ἄλλα δὲ πράττε· εἰ γὰρ μὴ συμφωνήσεις σαυτῷ, πῶς συμφωνήσεις ἑτέροις;

(6) Sic codex cum lacunula, locce ferme modo e Stobæo implenda : τὸ συμφέρον θηρῶ.

(7) Cato Brev. Sent. : « majori cede. »

φρένει. Δωροδόκει χρησίμως. Δίκαζε πράσεις (1).
Ἀπείλει μηδενί. Ἀπόντι μὴ μάχου. Νεώτερον δίκαζε (2). Μάθε τὸ μέλλον. Μὴ ἄρχου ἀδικεῖν· ἄρχου ἀδικεῖσθαι. Λύπην φυλάττου. Εὐφραίνε φίλους. Ἐπὶ νεκρῷ μὴ γέλα. Φίλοις χρῶ. Συμβούλευε ἀναιτίως. Ἐπαγγέλλου μηδενὶ τὸ παράπαν. Χρόνου φείδου· δαπανώμενος γὰρ ἐφ' ἃ μὴ δεῖ, ὀλίγος ἐστὶν ἐφ' ἃ δεῖ.

ΕΙΣ ΤΟΥΣ ΕΠΤΑ ΣΟΦΟΥΣ (3).

Ἑπτὰ Σοφῶν ἀΐοις ἐρεμηχέα δόγματα, κοῦρε,
Οἷσιν ἐνιθύνοις (4) οἴακα σῆς βιότης.
Πρῶτα Σόλων μὲν Μηδὲν ἄγαν φάτο Κεκροπίηθεν·
Δεύτερος αὖ Χίλων Γνῶθι σεαυτὸν ἔφη.
Λίνδιος αὖ Κλεόβουλος, ἐὺς πάις Εὐαγόρεω,
Μέτρον ἄριστον ἔφη ἔμμεναι ἀτρεκεώς.
Καιρὸν δ' Ῥῥάδιος κέλεται πάντεσσι δαῆναι
Πιτταχὸς ἐκ Λέσβου. Τῷ δ' ἐπὶ Κυψελίδης
Τὴν μελέτην Περίανδρος ἔφη πᾶν ἔμμεναι ἔργον.
Ἕκτος δ' αὖτε Βίας Τευταμίδης ἔφατο·
Οἱ πλεῖστοι θνητῶν σκολιοί, παῦροι δέ τε καλοί.
Ὕστατος αὖτε Θαλῆς εἶπεν ἀπηλεγέως·
Ἐγγὺς ἀγχίθυρος ναίει κακομήχανος ἄτη (5).

(1) Forsan, πράως.
(2) Rescribas, δίδασκε, quod habet Sosiades Stobæi.
(3) E cod. reg. 1630, p. 189, 2. Conferri potest hoc Epigramma cum alio de eodem argumento in Anal. t. III, 149.
(4) Cod. hic et infra, οἷς ἐνιθύνοις. Obvia erat emendatio.
(5) Deest versiculus.

ΑΛΛΩΣ (1).

Ἑπτὰ Σοφῶν ἀΐοις ἐρεμηχέα δόγματα, κοῦρε,
Οἷσιν ἐνιθύνοις οἴακα σῆς βιότης.

Σόλων Ἐξηκεστίδου Ἀθηναῖος· « Μηδὲν ἄγαν. » Χίλων Δαμαγήτου Λακεδαιμόνιος· « Γνῶθι σαυτόν. » Κλεόβουλος Εὐαγόρου Λίνδιος· « Πᾶν μέτρον (2) ἄριστον. » Πιτθακὸς Ὑρρᾶ Μιτυληναῖος· « Καιρὸν γνῶθι. » Περίανδρος Κυψέλλου Κορίνθιος· « Μελέτη τὸ πᾶν. » Βίας Τευτάμου Πριηνεύς· « Οἱ πλεῖστοι κακοί. » Θαλῆς Ἐξαμύλου Μιλήσιος· « Ἐγγύα, πάρα δ' » ἄτα. »

(1) E cod. 1630, pag. 191, 1. Lemma addidi. Alium sententiarum septem sapientum catalogum protuli ad Marin. p. 99. Cf. Schol. Luciani Phal. 1, 7.

(2) Joannes Mauropus 815: Ἄριστον εἶναι πᾶν μέτρον προειπόντες.... Σκόπει τὸ ῥητὸν, καὶ σύνες τί σοι λέγει· Ἐκ Πινδάρου γὰρ τοῦτο τοῦ σοφωτάτου. Offendit ad nomen Pindari Bustius, et petit: ἀλλὰ ποῦ κεῖται; Putavit forsan gnomen de *metro* re optima e Pindaro Mauropum protulisse, non advertens ultima hæc σύνες τί σοι λέγω esse Pindarica. Plato Men. 9: ὃν πύθων δὴ ξύνες ὅ τοι λέγω, ἔφη Πίνδαρος: ubi vide Buttmann. Demophilus p. 619: μέτρον ἄριστον, ἔφη τις τῶν σοφῶν.

Digitized by Google

ΕΝΝΕΑ ΣΟΦΩΝ

ΑΠΟΦΘΕΓΜΑΤΑ*

ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΤΟΝ ΜΑΚΕΔΟΝΑ.

Ἤρετο τὸν πρῶτον, πότερον αὐτῷ δοκοῦσιν πλείονες (1) εἶναι οἱ ζῶντες ἢ οἱ τεθνεῶτες. Ὁ δὲ ἔφη· « Ἀνάγκη τῶν ὄντων τοὺς ζῶντας πλείονας εἶναι. »

Τὸν δεύτερον, πότερον ἡ γῆ ἢ ἡ θάλασσα πλείονα ζῶα ἔχει; Ὁ δὲ εἶπεν· « Ἡ γῆ· καὶ γὰρ ἡ θάλασσα » ἐπὶ τῆς γῆς ἐστίν. »

Τὸν τρίτον ἤρετο· « Τί πανουργότερον τῶν ζώων; » Ὁ δὲ εἶπεν· « Ὁ μηδεὶς οἶδεν ἀνθρώπων. »

Τὸν τέταρτον ἤρετο, διὰ τί μάχεσθαι συνεβουλεύσαντο Σαμίῳ (2). Ὁ δὲ πρὸς αὐτὸν εἶπεν· « Ἵνα » ἢ καλῶς ζῇ, εἰ δὲ κακῶς, ἀποθάνῃ (3). »

Τὸν πέμπτον ἤρετο, πότερον πρότερα (4) ἐγένετο

* E codice 1630, p. 188, 2. Responsa sunt Brachmanum, seu Gymnosophistarum, ad Alexandrum Magnum. Conferendus est omnino, qui est hujus narrationis fons, Plutarchus Alex. c. 64. Valerius De rebus gestis Alexandri, III, 18, a Maio, cui tot præclara inventa literæ nostræ debent, nuper editus, conferendus est etiam, quum in quibusdam consentiat. Quas inter excerpta e lexicis et glossariis Vulcan. edidit, repetiitque post Epicteteum Enchiridium Berkel., Ἀποκρίσις φρονίμων, aliam eamque pejorem exhibent recensionem.

(1) Addidi πλείονες, duce Plutarcho.

(2) Forsitan leg. Σάμβῳ. Nam e Brachmanibus nonnulli Sambo, ut ab Alexandro deficeret, auctores fuerant: cf. Arrian. VI, 16. Sabbas a Plutarcho vocatur.

(3) Cod. κακῶς...καλῶς. Forsan etiam : ἵνα ἢ καλῶς ζῇ, εἰ δὲ μή, καλῶς ἀποθάνῃ. Cf. Plutarchus.

(4) Inserui πρότερα. Potuit et scribi τί πρότερον ἐγένετο, ut est in Laertii Thalete c. 36 : nam simili

νὺξ ἢ ἡμέρα; Ὁ δὲ τὴν νύκτα ἔφη, ἡμέραν μίαν. Διηπορεῖτο ὅν ὁ Ἀλέξανδρος· αἰσθανόμενος δὲ ὁ σοφὸς ἀπεφήνατο τῶν ἀπόρων ἐρωτημάτων (1) ἀπόρους εἶναι καὶ τὰς ἀποκρίσεις.

Τὸν ἕκτον ἤρετο, τί ἄν τις ποιῶν ὑπὸ ἀνθρώπων φιλητθείη; Ὁ δὲ εἶπεν, εἰ, κράτιστος ὤν, μηδενὶ φοβερὸς εἴη.

Τὸν ἕβδομον ἤρετο, τί ἄν τις ποιῶν φοβερὸς εἴη; Ὁ δὲ εἶπεν· « Ὃ μὴ δυνατὸν ἄνθρωπον ποιεῖν. »

Τὸν ὄγδοον ἤρετο, πότερον εἴη ἰσχυρότερον, θάνατος ἢ ζωή; Ὁ δὲ εἶπε· « Ζωή. »

Τὸν ἔνατον ἤρετο· « Πόσον χρόνον ζῆν ἄνθρωπον » ἐστὶ καλόν »; Ὁ δὲ εἶπεν· « Ἕως ὑπολάβῃ τὸ τε- » θνάναι τοῦ ζῆν κρεῖττον. »

quæstioni Thales jam antea simile fecerat responsum. Cf. Menag. ad Diog. Laert. Est et Thaletis dictum in cod. 1168, p. 151, 2 : ὁ αὐτὸς (Θάλης, sic) πρὸς τὸν πυθόμενον τί πρῶτον (leg. πρότερον) γεγέννηται νὺξ ἢ ἡμέρα, Ἡ νύξ, ἔφη, μᾶ ἡμέρα πρεσβύτερα.

(1) Zonaras IV, 14 : τῶν δὲ γυμνοσοφιστῶν τινας συλλαβὼν (Ἀλέξανδρος) καὶ ἐρωτήσεις αὐτοῖς ἀπόρους προθέμενος, ἐδωρήσατο, καὶ ἀφῆκεν.

Digitized by Google

ΓΝΩΜΑΙ

ΜΕΝΑΝΔΡΟΥ ΚΑΙ ΦΙΛΙΣΤΙΩΝΟΣ.*

Μένανδρος.

Πολλῶν ὁ καιρὸς γίνεται παραίτιος·
Ἂν γὰρ μέγιστα κομπάσῃς φρονῶν μέγα,
Οὐκ οἶδας ὡς πολλὰς τὰς (1) μεταβολὰς ἔχει·
Ὃ νῦν δίδωσιν, οὐ δίδωσιν αὔριον.

Μένανδρος (2).

Χρόνος γὰρ οὗτός ἐστιν (3) ἀνθρώποις ἀεί.
Τὸν ὃν παρόντα καιρὸν ἀποπλᾷν (4) ἢν ἀφῇς,
Οὐκ ἔστιν αὐτὸν προσλαβεῖν πάλιν ταχύ.

Φιλιστίων.

Ἐπάν σ' ὁ καιρὸς ἐμβάλῃ πολλοῖς κακοῖς,
Μὴ ἐκκακήσῃς (5) πάντα εὐθύμως φέρειν·
Πάλιν γὰρ ὄψει τῶν κακῶν περιτροπήν·
Ἀεὶ γὰρ, ὡς τροχὸς, ὁ χρόνος κυλίεται.

* E cod. reg. 1166, p. 307, 2.

(1) Nomen Philistionis, scilicet φιλ., ante οὐκ οἶδας codex exhibet. Sed tetrastichum ad eumdem auctorem pertinere sententiarum nexus evincit. Inserui πάς.

(2) Suppresso φιλ. nomine, Menandri fragmenta duo apponuntur continua : ita ipse statim codex, Philistione non interposito.

(3) Forsan, οὐκ ἴσος ἐστὶν : conf. pag. 148, 3.

(4) Cod. ἀπάνταν (sed compendio non nitido; ut de ultima syllaba valde dubitem) ἀφεῖς. Lectio quam feci nec mihi placet, præsertim ob ἀποπλᾷν, verbum suspectum. Forsan, ἀποπλῆναι ἀφεῖς.

(5) C. ἐκκακίσῃς : cf. p. 50, 15. In fine poterit reponi κυλίνδεται. De τροχῷ metaphora, vid. p. 87.

Μένανδρος.

Καιρὸς ὁ τυχὼν (1) ἐστὶν ἀνθρώποις ἀεί·
Πᾶσιν γὰρ οὐ πέφυκεν ἀνθρώποις ἴσως·
Κέρδη γὰρ ἄλλοις καὶ ἡδονὰς ἐρεύεται (2),
Ἄλλοις δὲ λύπας προσποιεῖ καὶ βλάβας.

Φιλιστίων.

Μίαν πρόνοιαν τῶν ἄνω καὶ τῶν κάτω
Θεὸν νόμιζε, καὶ σέβου παντὶ σθένει (3)·
Ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου,
Καὶ μὴ ἐρώτα, μηδὲ μανθάνειν θέλε·
Οὐ γὰρ θέλω σε μανθάνειν τί δὴ (4) Θεός.

Μένανδρος.

Λόγος κατάγει Ταρτάρου κατώτερον·
Λόγος δὲ αὖθις εἰς ὕψος ψυχὴν ἄγει.

Μένανδρος.

Ὁ πονηρὰ ποιῶν εὐθέως οὐκ ἤσθετο·
Τότ' οἶδεν ὃ πεποίηκεν, ὅτε (5) κολάζεται.

(1) Forsan, K. μὲν ὁ τ., vel K. γὰρ ὁ τ. Statim ἴσος malim.

(2) Cod. καὶ ἡ δωτὰς ἐρεύεται, quod reliqui, remedio nondum invento quod faciat satis. Sequens προσποιεῖ alii loco debetur, Rutgersii p. 363, Meinekii p. 241: Γυναῖκα ὁ διδάσκων γράμματα καλῶς Ἀσπίδι φοβερᾷ προστίζει φάρμακον. Codex 2720, προσποιεῖ, quod omnino in προσποιεῖ reformandum est, et sic conjecit Meinekius. Priorem versum valde corruptum sic emendaverim: Γυναῖκα φαύλην γράμμαθ' ὁ διδάσκων καλῶς, vel γράμματα διδ. κ.

(3) Cod. σθένει. Librarius omisit Philistionis nomen, quod addidi, praeeunte Comparatione Menandri et Philistionis p. 359. Vide Philemonem Clerici pag. 340, Meinekii p. 405, 423. Conf. et supra p. 120.

(4) Codex, οὐ γὰρ θέλωσι μ. τί δεῖ θ., sic omissis accentibus: nec σε nitidum est. Rufinus pag. 646: «nihil ergo de Deo quod non licet quaeras.»

(5) Cod. habet ἔθεται, et ὅταν, quod cum κολάζεται non pote-

Φιλιστίων.

Ὁ δυσσεβῶν τι, καὶ δοκῶν λαθεῖν Θεῷ,
Κολάζεθ' οὗτος (1) ὑπὸ ξυνειδότος θεοῦ.

Μένανδρος.

Ὁ μὴ κολασθεὶς τῷ νόμῳ, πράξας κακῶς,
Αὐτὸς ἀφ' ἑαυτοῦ τῷ νόμῳ (2) κολάζεται.

Φιλιστίων.

Εὐσχημονεῖν φρόντιζε, μὴ τῷ σχήματι
Τὸ σῶμα κοσμῶν, ἀλλὰ τῷ φρονήματι.

Μένανδρος.

Νίκα σιωπῶν, τὸν νόμον καὶ μάνθανε·
Περὶ τοῦ μαθεῖν (3) τῷ νόμῳ περιλαμβάνεις.

ram concoquere. Philostratus Epistola 70 : φεύγει καὶ θάλαττα, ὅταν ὑφ' ἡλίῳ ἐλαύνεται : codices Parisinus 1696 et Vaticanus 140, ἐλαύνηται, reponendum. Poetaster in Osanni Auctario pagina 33 : Καὶ γὰρ γλυκύτης ἀκμάζει τῶν χειλέων Αὐτῆς τὰ πρῶτα· κἂν δοκῇ σοι, πικρόν, Μέλι γλυκαῖνον οὖσα καθάπερ ἄλλο, Ἀλλ' ὕστερον φεῦ! περιτρέπει σοι πικρίαν. Scripsi δοκῇ pro vulgato δοκεῖ, et interpunxi nitidius. Monebo obiter respici Salomonis Prov. v, 3.

(1) C. κολάζεται. Cf. p. 153, 11.

(2) Pro νόμῳ, forsan λόγῳ, vel φόβῳ. Infra sic permutantur φόβος, λόγος et νόμος : v. n. sq. et p. 150.

(3) Rutgersiana Comparatio p. 361, et Clericus p. 132, Meinekiusque pag. 241, Menandri fragmentum exhibent, cum hoc conferendum : Μὴ πάχει πρῶτον, τὸν νόμον καὶ μάνθανε· Περὶ τὸ παθεῖν σοι, τῷ φόβῳ περιλαμβάνει. Hic forsan leg. : περὶ τὸ μαθεῖν σε, τῷ λόγῳ περιλαμβάνειν, infinitivo pro imperativo περιλάμβανε, quod est valde vulgatum. Plato Menex. c. 20, loco quem Gottleberus, quum corrigere vellet, corrupit : πατέρας δὲ ἡμῶν οἷς εἰσι καὶ μητέρας, εἰ χρὴ, παραμυθεῖσθαι. Intelligo παραμυθεῖσθαι in sensu imperandi, et verterim : « patres vero » nostrum, si quibus adhuc su- » persint, et matres consolator, si » quidem eos consolari oporteat. »

Φιλιστίων.

Νόμος (1) φυλαχθεὶς οὐδέν ἐστιν ἢ νόμος·
Ὁ μὴ φυλαχθεὶς καὶ νόμος καὶ δήμιος.

Μένανδρος.

Πόντου, γυναικὸς, κριμάτων (2), θηρὸς, πυρὸς,
Χειρότερός ἐστιν ὁ προδότης τῶν φίλων.

Φιλιστίων.

Ἂν, μὴ δυνάμενος, ἐθέλων δὲ (3), βλάψῃς φίλον,
Καὶ μὴ δυνάμενος καὶ θέλων πείσῃ κακά.

Μένανδρος.

Ὁ μὴ δικαίως (4) κατὰ φίλων ζητῶν κακὸν,
Αὐτὸς παθάσχει τοῦ κακοῦ τὴν ἔκβασιν.

(1) Codex, λόγος. Est νόμος in Compar. Rutgersiana pag. 361, ubi hoc distichum Menandro tribuitur, consentitque cod. 2720, pag. 2. Clericus pag. 130, quem Meinekius sequi forsan non debuit, scripsit νόμος ὁ φυλ.

(2) Cod. κρίματα vel κρίματι. Forsan, κρυμάτων. Mox forsan, ὁ προδότης ὢν τῶν φ.

(3) Forsan, Ἐὰν μὴ δ. θέλων δέ.

(4) Est in Compar. Rutgers. pag. 360, ubi ὁ γὰρ ἀδίκως καθ' ἑτέρου ζητ. κ., nec aliter codex 2720. Grotius ad metrum, ὁ γὰρ ἀδ. π καθ'. Cf. Meinek. pag. 78; Demophilus pag. 620. Scripsi ex Rutgersio παθάσχει pro πάθη, mala codicis lectione: et est παθάσχει in codice 2720. Præpositiones sæpissime sunt à librariis omissæ, quod non semel animadverti. Æschines Epist. I: Δήλοι δὲ ἀνόσουν λοιμώδη πνεῦ νόσον· τὰ μὲν πρόσωπα ὀπίμπλαντο λεύκης: codex Coislin. 249, ἐνεπίμπλαντο, recipiendum. Alciphro III, Ep. 55: πλοκάμους ἀπὸ τῆς κεφαλῆς μέχρι τέρτων αὐτῶν αἰωρῶν. Rescribendum e cod. 2720, p. 228, 1: ἀπ' ἄκρας τῆς κ. . . . . ἀπαιωρῶν. Eumathius Hysm. XI, pag. 421: συνέχει πύπνους, σφάλλει, λαίζεται: cod. 2897 plenius, καταλαίζεται. Heliodorus I, 15: ἐμὲ δὲ. . . . οὐκ ἔλαθεν αὐτοῦ τοῦ πρὸ τοῦ ἄστεως κρυπτόμενος: codex Venet. 409,

Φιλιστίων.

Ἄνθρωπος ὤν, μηδέποτε καθ' ἑτέρου κακὸν
Ἀδίκως φρονήσῃς (1)· ἡ Δίκη γὰρ πάνθ' ὁρᾷ.

Μένανδρος.

Ἐὰν (2) πονηρῶν γείτονος γείτων ἔσῃ,
Πάντως παθεῖν πονηρὸν ἢ μαθεῖν σε δεῖ.

Φιλιστίων.

Ἀγαθοῦ δὲ γείτονος ἐάν ποτε (3) γείτων ἔσῃ,
Ὡς προσδιδάσκει ἀγαθὰ καὶ προσλάμβανε (4).

παρακρυπτόμενος, verbum parum usitatum. Aristides Orat. sacr. IV, t. I, p. 577 : οἱ παρόντες ὑδέν πω τῶ ὀνείρατος πεπυσμένοι : codex 1040, προπεπυσμένοι.

(1) Codex, φρονίσης et πάντα. Vox φρονιμώδης (notetur id obiter) quam critici merito rejiciunt, si fuerit pari literæ η cum ι permutatione sanata, et, ut a φρόνημα derivata, scripta φρονημώδης, suum in lexicis poterit locum tueri. Sunt enim nonnulla adjectiva eo modo formata, verbi causa, αἱματολόγος, αἱμοβόρος, αἱμοπότης, αἱμοφόρητος, πρακτόπος, κομώδης, χαυλόδης, πλασμώδης. Scholiastes scilicet Philostrati, Her. p. 348, dixit πλασμώδη δήγησιν, quod in πλασματώδη δήγησιν vir doctiss. mutare jubet. Quæ adduxi exempla ejus impetum cohibere poterunt. Bastius prudentior fuit, cujus hanc habeo notulam ad locum Philostratei scholiastæ : « Not. vox πλασμώδης » quam lexicographi ignorant. » Πλασματώδης legitur in Aristæn. II, 18. Sic φάσμα, φασματώδης (Schol. Luciani t. VII, » pag. 1), non φασμώδης. Χάσμα, » χασμώδης· αἷμα, αἱμώδης et » αἱματώδης· βρόσμα, βρασματώδης· σφυγμὸς, σφυγμώδης et » σφυγματώδης (Fischerus, Indice » Æschin.)· δεῖμα, δειματώδης et » δειμώδης. Cf. Schneider. Lex. » Adde σοφισματώδης. Cf. Heder. » meum. »

(2) In Comparatione Rutgers. p. 361, conspirante codice 2720, hoc distichum et sequens uni Menandro tribuuntur, nec sine probabilitate. Conf. Clerici Menander p. 274. In Meinekiana editione hoc fragmentum frustra quæsivi.

(3) Cod. ἀγαθοῦ γείτ. ἂν ποτε. Rutgers., ut cod. 2720, ἐὰν ἀγαθοῦ γείτονος γείτων ἔσῃ.

(4) Cod. προσδ. ἀγαθὸν προσλ. Rutgers. ὡς προσδιδάσκεις τἀγαθὰ

Μένανδρος.

Αὐτὸς ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν (1) θέλε·
Μέμψῃ γὰρ ἄλλους, οὐχὶ μεμφθήσῃ δὲ σύ.

Φιλιστίων.

Δίκην φυλάσσου, κἂν δίκαιος ἐγκαλῇ·
Μετέρχεται τὸ δίκαιον εἰς πλεονεξίαν (2).

Μένανδρος.

α. Ἐὰν πένης ᾖς, εἶ δίκαιος (3) κἀγαθός·
β. Εἰμὶ δίκαιος. — α. Ἢ γὰρ οὐκ ἂν ᾖς πένης.

Φιλιστίων.

Πενία καθ' ἑαυτήν ἐστιν ἰσχυρὰ νόσος·
Ἔρωτα προσλαβοῦσα (4), δύο νόσους νοσεῖ.

καὶ πεσμανθάνεις. Codex 2720, ὡς προσδιδάσκεις τὰ ἀγαθὰ ἢ πεμανθάνεις. Lectionem mihi concinnavi probabilem.

(1) Cod. ἀδικεῖν, ut supra εὐχημοσύνη: et μέμψει, μεμφθήσῃ.

(2) Codex, μετέρχεται γὰρ τό. Quod hic superfluit, forsan alibi fuerit γὰρ addendum. Menander pag. 241 Mein.: Μέλλων τι πράττειν, μὴ πείπῃς μηδενί· Ἅπαντ' ἀνθρώπους μεταμέλειαν φέρει. Μόνη πωπὶ μεταμελείαν οὐ φέρει. Versus secundus laborat. Codex 2720: ἅπαντα ἀνθρώποισι μετ. Unde fecerim: Ἅπαντα γὰρ ἀνθρώποις μετ. Malim tamen, quum sit apud Rutgers. p. 363, Ἅπαντα μεταμέλειαν φέρει ἀνθρώποις, legere, Ἅπ. μετ. ἀνθρ. φέρει: quod et placuit Mein.

(3) Personas sic distinxi. Cod. δίκαιος εἰ, et ἢ γάρ. Mox forsan, εἰμί γε δίκαιος.

(4) Προσλαβοῦσα, mulier scilicet de qua in comœdia agebatur. Versus est inter monostichos 410: Πενία δὲ πῶς ἔχουσιν οὐ σμικρὰ νόσος.

ΠΑΡΑΙΝΕΣΙΣ ΜΕΝΑΝΔΡΟΥ *

ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

Ἀνδρῶν δικαίων ἔσο (1) εἰς σωτηρίαν.
Αὐτὸς πενόμενος εὐτυχοῦσι (2) μὴ φθόνει.
Ἀβουλία τὰ πολλὰ (3) βλάπτονται βροτοί.
Ἀρετῆς ἁπάσης σεμνὸς ἡγεῖται λόγος.
Ἄξεις ἀλύπως τὸν βίον χωρὶς γάμου.
Ἀνδρὸς δικαίου γίνεται τέλος καλόν (4).
Ἀνὴρ δίκαιός ἐστιν οὐκ ἀδικεῖν θέλων (5).
Ἀνάπαυσίς ἐστι τῶν κακῶν πάντων ὕπνος (6).
Ἅπασιν ἡμῖν ἡ συνείδησις θεός (7).

Βίος μὲν οὐδεὶς σκαιὸν ἔργον εἰσφέρει.
Βιοῦν ἀλύπως (8) θνητὸν ὄντ' οὐ ῥᾴδιον.

* Has sententias descripsi e cod. 1168, pag. 162, 2, seqq. Multo plures codex exhibet; sed eas tantum excerpsi quas ineditas esse putabam, vel quæ ab editis discrepabant.

(1) Forsan ἴθι pro ἔσο, vel ἔσο πᾶς: « ut salveris, unus sis ex justis hominibus. » Versus est christianus.

(2) Cod. πῆς εὐτυχ. Editus fuit inter Sent. monost. 509, sic: Αὐτὸς πενωθεὶς πῆς ἔχουσι μὴ φθ.

(3) Cod. ἀβ. γὰρ τὰ ω. Sententiæ monost. 161: Ἀβ. γὰρ πολ. Mea lectio præstare videtur.

(4) Cf. Sent. monost. Εἰς δίκαιον, ubi Βίῳ δικ. γίγνεται τ. κ....

(5) Cod. ἐθέλων. Cf. Menander Meinek. p. 335, vel Philemonis Fragm. β', inter Gnom.

(6) Edit. κακῶν ἀπραξία. Cf. Monost. 18.

(7) Cod. πρόπη θεός. Cf. Monost. Εἰς συνείδησιν, et p. 149, 3.

(8) Est inter Euripidea fragmenta incerta mihi ξϛ' versus similis: Οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον οὐδενί. Supra p. 69, Georgides: οὐκ ἔστιν εὑρεῖν τὸν βίον ἄλυπον ὑδενός. Quam sententiam ipsum esse Euripidis versum, male illato articulo corruptum, atque ὑδενὸς pro ὑδενὶ Euripidi dandum, puto.

Βραδὺς πρὸς ὀργὴν, ἐγκρατὴς φέρειν γενοῦ (1).

Γυναιξὶ πάσαις κόσμος ἡ σιγὴ πρέπει (2).
Γυναικὸς ὁ τρόπος κόσμος, οὐ τὰ χρυσία (3).
Γυνή σε κολακεύει τοὔνεκα βλάψαι μόνον (4).

Δίκαιος ἐὰν ᾖς, πανταχοῦ λαληθήσῃ (5).
Δοῦλος γεγενώς, ἄλλῳ σὺ (6) δουλεύειν φοβοῦ.
Δύσμορφος ἴσθι μᾶλλον ἢ κακὸς λόγῃς (7).

Εἰς τὰς μεταβολὰς δὲ (8) τῆς τύχης σκόπει.
Ἐλευθέρου γὰρ ἐστὶ (9) τἀληθῆ λέγειν.
Ἐν παντὶ δεῖ τρόπῳ τὸν ἄνδρα εὖ (10) φρονεῖν.
Εἰσὶν (11) καταφυγὴ πᾶσιν οἱ χρηστοὶ φίλοι.

(1) Editioni deest ultima vox, quam divinavit conjiciendo Meinekius pag. 314. Reperi γενοῦ et in codice 396, pag. 251.

(2) Est cum varietate inter Sententias monostichas Εἰς γυναῖκα. Libanius t. IV, pag. 145: σὺ δέ, εἶπον, εἰ μὴ ἐμὲ, ἀλλὰ κἂν τὸν σοφώτατον ποιητὴν αἰχύνθητι λέγοντα· « Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. » Ibi ad ποιητὴν glossator in codice 3017: σημείωσαι· Σοφοκλέα. Versus scilicet Sophocleus est ex Ajace 284, ubi Erfurdt. videndus. Democritus, in cod. 1168, p. 145, φησί· γυναικὶ πλεῖστον κόσμον ἡ σιωπὴ φέρει. Ejusdem sunt magis genuina verba apud Stob. tit. 74, 38: κοσμος ὀλιγομυθὴς γυναικὶ, καλὸν δὲ καὶ κόσμου λιπότης. Plura in hanc sententiam adtuli ad Nicetam p. 424: cf. et ad Sophocl. t. I, p. 339. Addam etiam Sirachidem XXVI, 14: δόσις Κυρίου γυνὴ σιγηρά.

(3) Confer Sent. monost. Εἰς γυναῖκα.

(4) Cf. p. 159. Cod. τοῦ ἕνεκα.

(5) Clausula politica. Forsan, Δ. ἐὰν ᾖς, σοῦ λόγος ἔσται πανταχοῦ.

(6) Addidi σύ. Cf. Menander Meinekii pag. 317, et Georgides supra p. 28.

(7) Cf. Meinekius p. 316.

(8) Est forma politicus. Forsan: Εἰς πᾶς δὲ μετ. σὺ τῆς τ. σκόπει.

(9) Vulgo, γὰρ ἀνδρὸς τἀληθῆ. Meinekius ἐστ. conjecit, quod habet codex.

(10) Codex, ἐν πα. τρόπῳ δεῖ. Offendo ad hiatum. Sed sunt et alibi hiatus duri.

(11) Codex, εἰσί. Sic p. 158, 7.

Ζήτει σεαυτῷ καλλιπεῖν (1) εὐδοξίαν.
Ζήτει ποιεῖν εὖ τοῖς καλῶς εἰργασμένοις.
Ζῶμεν ἀλογίστως προσδοκῶντες μὴ θανεῖν (2).

Ἢ μὴ πόει τὸ κρυπτὸν ἢ μόνος πόει (3).
Ἡ ἀργία (4) πέφυκεν ἀνθρώποις κακόν.
Ἡ γλῶσσά σου χαλινὸν ἐχέτω, ἢ εὐκόπως λάλει (5).

Θεὸν σέβου, κἂν πάντα πράξεις κατὰ τρόπον (6).
Θεὸς πέφυκεν ὅστις (7) οὐδὲν δρᾷ κακόν.
Θνητὸς γεγενὼς ἄνθρωπος μὴ φρόνει μέγα (8).
Θεοῦ γὰρ ἐκτὸς (9) οὐδεὶς εὐτυχεῖ βροτῶν.
Θανάτου μόνον οὐκ ἔστιν ἐπανόρθωμα (10).

Ἴσος ἴσθι (11) πᾶσι, κἂν ὑπερβάλλῃς τύχῃ.
Ἴσος ἴσθι πλουτῶν τοῖς τρόποις ὥσπερ πένης (12).
Ἰσχυε μέν, μὴ χρῶ δὲ συντόνως θράσει (13).

(1) Codex, καλλιπεῖν. Aldus: Ζήτ. σ. δόξαν ἐγκαταλιπεῖν. Malim hic, quod conjecit Meinekius, καταλιπεῖν.

(2) Edit. προσδοκοῦντες. Cod. μὴ προσδοκῶντες. Negationem transposui, monente Meinekio.

(3) Codex, κρύπτον. Hunc versum recepi ob varietatem notandam πόει, quum habeant editiones πόει.

(4) Cod. ἡ ἀργία γάρ.

(5) Sic codex. Forsan: Χαλινὸν ἐχέτω γλῶσσα· μὴ εὐκόπως λάλει.

(6) Vulgo, πράξεις ὀρθῶς.

(7) Vulgo ὅτι. Versum jam expediet Meinekius. Conferam Porphyrium ad Marc. p. 24: ὁ δὲ ἄξιος ἄνθρωπος Θεοῦ, Θεὸς ἂν εἴη. Rufinus p. 645: « homo Dei est » qui Deo dignus est »: ubi forsan legendum ad mentem Porphyrii; nam Porphyrius Sextum, Sextum Rufinus sequitur: « homo » Deus est, qui Deo dignus est. »

(8) Sic codex. Forsan, Θ. ἢ γεγ. μὴ πολυφρ.

(9) Vulgo, Θ. γ. χωρίς.

(10) Sic cod. Forsan, Θ. γὰρ ἐπανόρθωσις οὐκ ἔστιν μόνου.

(11) Cod. ἴσος ἴσοις. Cf. editæ Menandri Sent. singul. 257.

(12) Cod. τοῖς τρόποις πλουτῶν ὥσπερ ἦς. Forsan quoque, ὥσπερ πένης.

(13) Cod. συντόνως τῷ σῷ θράσει.

Ἱκέτην γέροντα καὶ πένητα μὴ παρίδῃς (1).
Ἰσχυε σοφίᾳ καὶ ἀρετῇ (2), χρόνῳ δὲ μή.
Ἰατρὸς ἀδόλεσχος ἐπὶ νόσῳ νόσος (3).

Καιρὸς γὰρ δεσποτεύων καὶ πᾶσι δύναμιν δίδει (4).
Καλόν γε γαστρὸς καὶ πιθυμίας (5) κρατεῖν.
Κρίνειν τὸ δίκαιον, μὴ (6) τὸ συμφέρον θέλε.
Καιρῷ σκόπει τὰ πράγματ', εἴγε νῦν ἔχεις (7).
Κόλαζε τὸν πονηρόν, ἄνπερ (8) δυνατὸν ᾖ.
Κακὸν φυτὸν πέφυκε (9) βίῳ γυνὴ κακή.
Καλὸν τὸ γηρᾷν, ἀλλ' ὑπεργηρᾷν (10) κακόν.
Καρπὸς ἀρετῆς δίκαιος εὔτακτος βίος (11).
Καιρῶν μεταβολὴν πάντοτε χρή σε σκοπεῖν (12).
Κακὸν μέγιστον ἐν κακοῖς ἀπληστία (13).

Λυπεῖ με (14) δοῦλος δεσπότην ὑπερφρονῶν.
Λιμὴν πλοίου ὅρμος, βίου δ' ἀλυπία (15).
Λύει δὲ λύπην παντὸς ἀνθρώπου λόγος.
Λόγος τις εὐχάριστος ἀπόδοσις καλή.

(1) Forsan, μὴ γέλα.
(2) Cod. καὶ ἀρετῇ.
(3) Cod. ἀδόλεχός ἐστιν ὅπὶ τῇ ν. Vide Meinekium p. 323.
(4) Sic codex corruptissime. Forsan : Καιρὸς κύριος ὢν καὶ π. δ. δίδοῖ : vel, Καιρὸς δὲ πᾶσι κύριος δύναμιν δίδοῖ : vel...
(5) Cod. καὶ ὁπιθυμίας.
(6) Cod. κρίνε τὸ δίκαιον καὶ μή. Cf. Brunck. ad Monost. 273.
(7) Cf. Sent. sing. 307 Meinekianæ.
(8) Cod. ἄν. Cf. ibid. 278.
(9) Cod. πέφυκεν ὢν. Cf. ibid. 304.
(10) Codex, γηρᾶν, τὸ δ' ὑπεργηρᾶν.
(11) Confer. Meinek. ad 298; Schæf. ad Monost. 24.
(12) Cod. πάντοτε δεῖ σκοπεῖν. Forsan, πανταχοῦ δεῖ σε σκ.
(13) Cod. ἀπλησίαν. Cf. Sent. sing. Men. 277.
(14) Addidi με. Cf. ibid. 323.
(15) Codex, Λ. τοῦ πλ. ὅρμ. τοῦ βίου δ'. Conf. ibid. 318, et Georgides supra p. 55.

Μηδέποτε πλούτει, θάνατον εὐλαβούμενος.
Μὴ μόνος ἐπίσταο (1), ἀλλὰ καὶ δοῦναι φίλοις.
Μακάριος ὅστις μὴ ἀπιστεῖν ἐπίσταται (2).
Μηδὲν κακὸν ἡγοῦ· πάντα καιρῷ γίνεται (3).
Μακάριος ὅστις εὐτυχεῖ γενναῖος ὤν.
Μέτρῳ δὲ πάντα μανθάνων δίκῃ ποιεῖ (4).
Μηδέποτε (5) καυχῶ τολθτον ἐν δόμοις ἔχων.
Μήτηρ ἁπάντων γαῖα, ἡ κοινὴ τροφός (6).

Νέμεσιν φυλάττου· μηδὲν ὑπέρογκον ποιεῖ (7).
Νέος ὢν ἐφόδιον εἰς τὸ (8) γῆρας κατατίθου.

Ξένους τρέφε· σὺ γὰρ ἔσῃ ξένος ποτέ (9).
Ξένων ἀκούειν, μὴ παραδεχθῇς ποτέ (10).
Ξένον τρέφε, καὶ φίλον κτήσῃ καλόν.

Ὅπλον μέγιστον ἐν βροτοῖς τὰ χρήματα.
Ὁ χρόνος ἐπιμελὴς γίνεται πάντων (11) κριτής.
Οὐκ ἔστιν ὅστις τὴν τύχην οὐ μέμφεται.
Ὁ λόγος ἰατρὸς τῶν κατὰ ψυχὴν σοφοῦ.
Ὀργίλος ἐν βίῳ οὐδεὶς εὐθυμήσειεν (12).

(1) Codex, ὀπίσαυ. Si locus sanus est, sententia erit similis Theognideæ 772: Τί σφιν χρήσιμον, μῦνος ἐπισάμενος: ubi confer quæ monui.

(2) Sic codex. Forsan, μακ. ὅστις οἶδε μὴ ἀπιστεῖν ἀεὶ, vel λίαν in fine.

(3) Cod. μηδ. κ. λογίζου· πάντα γὰρ καιρῷ γ.

(4) Cod. Μ. π. μ. δικαίως ποιεῖ.

(5) Cod. μήποτ.

(6) Cod. τροφὸς κοινή.

(7) Cf. Menandri Sent. 374.

(8) Addidi τό. Cf. ibid. 154.

(9) Codex, ἡ σὺ γὰρ ποτὲ ξένος ἔσῃ. Conf. ibid. 400.

(10) Sic codex. Sensus postulare videtur, ξένων ἀκούειν, ὡς σὺ παραδεχθῇς ποτέ.

(11) Cod. πάντων γίνεται.

(12) Sic codex. Si, pro Menandro, christianum, eumque recentiorem, poetam hic habemus,

Ὁ χρηστὸς, ὡς ἔοικε, καὶ χρηστοὺς ποιεῖ.

Πολλοῖς μὲν (1) ἀδίκοις ἡ τύχη παρέστηκεν.
Πολλοὺς κακῶς πράξαντας ὤρθωσεν (2) τύχη.
Πόλεις ὅλας ἠφάνισε διαβολὴ κακή (3).
Πολλοὺς ὁ πόλεμος δι' ὀλίγους ἀπώλεσε (4).
Πλούσιος ὑπάρχων, μὴ φρόνει ὑπὲρ μέτρον.
Πολλοὶ τραπεζῶν, οὐ φίλοι εἰσὶν φίλων.

Ῥαθυμία γε τὰ πόλλ' ἐλαττοῦσθαι ποιεῖ.

Σοφοῦ γὰρ ἀνδρὸς εὐλαβοῦ συμβουλίας (5).
Σωτηρίας σημεῖον ἥμερος τρόπος.
Συζῆν κακοῖσι μὴ σὺ (6) πειρῶ τὸ σύνολον.
Σύμβουλος ἀγαθῶν, μὴ κακῶν, εἶναι θέλε (7).

Τὴν ἐπιμέλειαν παντὸς ἡγοῦ κυρίαν (8).
Ταμεῖον ἀρετῆς ἐστι τὸ σωφρονεῖν καλῶς.
Τὸν εὖ ποιοῦνθ' (9) ἕκαστος ἡδέως ὁρᾷ.

Ὑφ' ἡδονῆς ὁ φρόνιμος (10) οὐχ ἁλίσκεται.

versus sic poterit cum falsa quantitate constitui : Ὀργίλος ἂν οὐδεὶς εὐθυμήσειεν βίῳ. Sed puto Menandrum scripsisse : Ὀργ. ἂν οὐδεὶς εὐτυχήσειεν βίῳ.

(1) Addidi μέν.

(2) Codex, ὤρθωσι.

(3) Lucianus De cal. c. 1 : ὑφ' ὧν (διαβολῶν) ἤδη καὶ οἶκοι ἀνάστατοι γεγόνασι καὶ πόλεις ἄρδην ἀπολώλασι. G. Lapitha ineditus 553 : Μὴ πρόσχε ψευδεμμοῖς καὶ διαβόλων λόγοις· Οἰκίας γὰρ ἀνέτρεψαν καὶ πόλεις οἱ ποιοῦσι.

(4) Cf. Menandri Sent. sing. 443.

(5) Cf. Sent. sing. Men. 476.

(6) Addidi σύ.

(7) Cf. ibid. pag. 338, 78. — Codex, συμβούλους.

(8) Cf. Sent. sing. Men. 494.

(9) Cod. ποιοῦντα. Cf. ibid. 501.

(10) Addidi ὁ. Cf. Meinek. ad. Sent. sing. 517.

Φιλίας δοκιμαστήριον ὁ χωρισμὸς φίλων (1).

Χρηστὴ γυνὴ κτῆμ' ἐστὶν ἀνδρὶ σώφρονι.
Χάριν χαρίζου καθ' ὅσον ἰσχύειν δοκεῖς (2).
Χρόνος δίκαιον ἄνδρα δεικνύει μόνος (3).

Ψυχῆς ἀρχαίας οὐδὲν ἐστὶ γλυκύτερον.

Ὡς ἡδὺ τῷ σωθέντι μεμνῆσθαι πόνων (4).
Ὦ Ζεῦ, τὸ πάντων κρεῖττόν ἐστι νοῦν ἔχειν.

ΑΠΟ ΤΩΝ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ ΓΝΩΜΙΚΩΝ *

ΤΟΥ ΜΕΝΑΝΔΡΟΥ,

ΠΕΡΙ ΓΥΝΑΙΚΩΝ.

Βίον (5) καλὸν ζῆς, ἂν γυναῖκα μὴ ἔχῃς.
Γυνὴ δὲ (6) κολακεύει σε τοῦ λαβεῖν χάριν.
Γυνὴ δ' ὅλως τι συμφέρον οὐ βουλεύεται (7).
Δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας (8).

(1) Codex, χωρισμὸς φίλων δοκ. φιλίας. Cf. ibid. 537.
(2) Cf. ibid. p. 339, 110.
(3) Cf. Monost. in Gnomicis 592 mihi, Brunckio 591.
(4) Virgilius : « forsan et hæc » olim meminisse juvabit. »
* E codice 1630, pag. 212, 2. Plures sunt in codice versus; sed eos omittere satius duxi, qui jam erant editi, exceptis paucis, quos repetere non prorsus inutile visum est.
(5) Cf. Men. Sent. sing. 78; Stob. tit. 68, 20.
(6) Inserui δέ. Cf. pag. 154.
(7) Codex, βούλεται, suprascripto βουλεύεται. Cf. Sent. sing. Men. 106.
(8) Est Eurip. Iph.T. 1006. Cf.

Ἐκ τῶν γυναικῶν ὄλλυται κόσμος ἅπας (1).
Θάλασσα, καὶ πῦρ, καὶ γυνή, κακὸν τρίτον (2).
Ἴσον (3) πέφυκεν ἀσπίδος κακὴ γυνή.
Ὅπου γυναῖκες εἰσὶ, πάντ' εἰσὶν κακά (4).
Ῥᾷον βίον ζήσεις, γυναικὸς ἂν ἀπέχῃ (5).
Τρισάθλιος γυναικὶ πιστεύων ἀνήρ (6).
Χειμὼν μέγιστος οἰκίας κακὴ γυνή (7).

Sent. sing. 130. Potuit tamen hic versus et in Menandri fabula legi. Comici nonnunquam notos tragicorum versus vel aliorum rei suæ accommodant.

(1) Cf. Sent. sing. 181, ubi κ. μέγας. Forsan κ. ὅλ. ὅλος, vel κ. ἅπας ἀπόλλυται.

(2) Cf. ibid. 231. Cod. 1168, p. 165, 2, τρίτον κακόν.

(3) Cf. ibid. 261.

(4) Cf. ibid. p. 338, 57.

(5) Codex, ῥάων ϛ. ζῆς εἰ γυν. ἀπέχῃ. Idem codex, p. 190, eumdem versiculum eo quo scripsi modo exhibet, nisi quod in fine sit ἀπέχῃς. Cf. Sent. sing. 468.

(6) Addidi ἀνήρ, et, notulam sequutus marginalem docti anonymi, pro codicis lectione πιστεύειν, scripsi πιστεύων.

(7) Cf. Sent. sing. Men. 540.

ΣΤΙΧΟΙ
ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.*

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΠΡΩΤΑΣΕΚΡΗΤΙΣ.

Ἀρχὴ Θεὸν πρώτισθα καλῶς εἰδέναι.
Βαπτίσματος χάριν δὲ λαβεῖν ἀξίως.
Γνῶσιν ἔχων, σπούδαζε καὶ γνώμην ἔχειν.
Δράγματα πικρὰ δραγμάτων ἁμαρτίας.
Ἔθλιψας αὐτὸν, θλίψιν ἄλλῳ περσφέρων.
Ζητοῦντι πέσχες, καὶ διδοὺς προσλαμβάνεις.
Ἤθρισας ὄλβον, σκορπίσας ὄλβον βίῳ.
Θάνατον ἐξέφυγεν ὁ ζῶν ἐν λόγῳ.
Ἰθυντικὰς ὅδευσον εἰς Θεὸν τρίβους.
Κρίσιν ὑπεξέδραμεν αὐτὸν ὁ κρίνων.
Λοιβὴ δακρύων εἰς Θεὸν σπονδὰς φέρει.
Μακρὰν κακῶν ἴσθασο, καλῶν πλησίον.

* E cod. 1630, pag. 162, 2. Addidi lemma. Nescio quis fuerit poetaster ille protosecretarius, forsitan Leo Barda, cujus sunt in eodem codice versus in secundum Christi adventum, quos ad calcem hujus tomi, si locus supererit, cum panculis aliis apponam. Artificii illius versuum alphabetico initiorum ordine componendorum nonnulla exstant exempla, verbi causa: Hymni in Bacchum et Apollinem Anthologiæ inserti; Joannis Geometræ Hymnus in Virginem; Gregorii Nazianzeni monosticha moralia t. II, p. 186; Ignatii monosticha in Bandinii Catalogo t. I, p. 516, et in Fasciculo rerum Græcarum ecclesiasticarum p. 127; Inscriptio quam repetii inter notas ad Planudis Metamorphoses p. 600; Symeonis *alphabeta* duo ab Allatio edita in Diatriba de Symeonibus, pag. 132; Anonymi Hymnus in Trinitatem a F. Morello editus a. 1611. Sic gallice lusit Sylvanus Marechalus in poematiolo cui titulus: *Alphabet moral à l'usage des grands enfans.*

Νέος παλαιοῖς, ὢν νέοις γέρων ἔσο.
Ξηρὰν συκῆν ἔμαθες ἐξ ἀκαρπίας.
Ὁπὸν γλυκὺν πρόπεμψον εἰς ἔργων κλάδους.
Πράξει λόγον στείλε· μὴ φώνει κτύπους·
Ῥοῆς ἀτάκτου ῥεῦμα τίς παρασράμῃ;
Σοφὸν τὸ καλόν, κ᾽ σοφός τις γνοὺς τόδε.
Τρέχων ἐπίσχες, κ᾽ βαδίζων αὖ τρέχε.
Ἄθλον λόγων ἔκφευγε, μακρὰ μὴ λέγων.
Φωτὸς στερεῖται πᾶς μετασχὼν τοῦ σκότους.
Χαίρειν λύπαις ἔξεστιν οὐχ ἡτταμένῳ.
Ψαλμὸς ψυχῆς ἵστησι παλμὸν καὶ κλόνον.
Ὦ παρακούσας, τῆς Ἐδὲμ πῶς ἐξέβης;

ΕΤΕΡΟΙ.*

Ἄνω θεωρῶν τὰ κάτω περιφρόνει.
Βίον μερίζων βιοτεύοις ἐμφρόνως.
Γνῶσιν ἀληθῶς ἡ Θεοῦ γνῶσις φρέει.
Δρᾶμα λογίζου κ᾽ σκιὰν βίου δρόμον.
Ἐν ἀρεταῖς, ἄνθρωπε, μὴ μέγα φρόνει.
Ζωῆς τὸ κέρδος ὢν Χριστῷ ζῆσαι τάχος.
Ἦθος, λόγον ῥύθμιζε, πρὸς δὲ κ᾽ τρόπον.
Θεοῦ φόβον κέκτησο πρακτέοις πᾶσιν.
Ἴδιον οὐδὲν, οὐ μόνιμον ὢν βίῳ.
Καιρὸν παραθεὶς, ζημιωθήσῃ τάχα.
Λέγων, σιωπῶν, χαλινὸν πᾶσιν τίθει.
Μίσει τὸ πλουτεῖν ἐξ ἀδικίας ῥέον.
Νυκτὸς σκιὰν ἔκφευγε κ᾽ πλάνην βίου.
Ξένον ξενίσας, τῷ Θεῷ γένῃ ξένος.

* Cod. ibid., auctore non significato, qui idem videtur esse atque præcedentium.

Οὐ πρὸς καλῶ σοι τοῖς κακοῖς σπουδὴν ἔχειν,
Πρὸς ἀγαθοῦ δὲ τοῖς καλοῖς ἀεὶ βλέπειν.
Ῥῆμα πονηρὸν ἐκ στόματος μὴ πρόῃ.
Σοφὸν παρασχεῖν ἐκ σοφῶν λόγων κρότον.
Τοῖς ἀνεφίκτοις μὴ βαλεῖν χεῖρα σκόπει.
Ὑψοῖς σεαυτὸν ἐν ταπεινώσει τρέχων.
Φίλος φίλοις φαίνοιο πρᾶτ'ων, οὐ λέγων.
Χάριν ἱλαρὰν, μὴ στυγνὴν δόσιν δίδου.
Ψέγεις, ἐπαινῶν οὐκ ἀληθῶς ὃν θέλεις.
Ὦ, τίς ἀκούσας οὐκ ὀνήσεται τάδε;

ΕΤΕΡΟΙ.*

Ἀρχὴν ἁπάντων τὸν Θεοῦ κτῆσαι φόβον.
Βέβαιον οὐδὲν τῶν παρόντων ἐν βίῳ.
Γνῶθι σεαυτὸν (1) ἡ ταπεινά μοι φρόνει.
Δῶρον Θεοῦ μέγιστον εὐχαριστία (2).
Εὔχου τὰ συμφέροντα, μηδ' ὅσα θέλεις.
Ζωὴν μεταδίωκε τὴν νοουμένην.
Ἦλθες, παρῆλθες (3), τῶν κάτω περιφρόνει.
Θάνατον ἐν νῷ καθ' ἑκάστην προσδόκα.
Ἰνδαλμα, φάσμα, ἡ σκιᾶς ὄναρ, βίος.
Καλὸν σιωπᾶν, τοῦ λαλεῖν ἃ μὴ δέον (4).
Λόγοις τρυφᾶν θέλησον ἢ βρώσει, πόσει.
Μηδὲν τιμήσῃς τῶν ψόγῳ πεπλησμένων.
Νοὸς φυλακὴν ἐσαεὶ τηρεῖν θέλε.
Ξένῳ σεαυτὸν τῆς ῥοπῆς τῶν πραγμάτων.

* Ex eodem cod. pag. 46, 2. Addidi ἕτεροι.

(1) Cod. σαυτήν.

(2) Cod. εὐχαιριστία, mox θέλε.

(3) Cf. Democrat. p. 632.

(4) Sic in monostichis inter Gnomicos: Κρεῖττον σιωπᾶν ἢ λαλεῖν ἃ μὴ πρέπει. Et hic fors. κρεῖττον.

Ὅρα τὸν ἀσλάθμητον ἄσλατον βίον.
Πόσοι παρῆλθον εἰς φθορὰν τὴν ὀνθάδε (1);
Ῥοῆς καθάπερ ἐξεχύθησαν ὕδωρ.
Στῆθι πρὸς ἐχθροὺς ἀνδρικῶς νοουμένους·
Τοὺς δ' αὖ ὁρατοὺς ἀγαπᾶν μᾶλλον θέλε.
Ὕμνους ὑφαίνειν ὀκ ψυχῆς Θεῷ πόθει.
Φάνηθι πᾶσιν, ὡς ἔχεις ἤθη τρόπων.
Χαρὰν ἀδιάλειπτον ὀν πᾶσιν ἔχε.
Ψυχῆς τὸ κέρδος, ἂν βίῳ παρατρέχῃς.
Ὦ, τίς ἱκανὸς ἱστορεῖν τὴν ζημίαν;

(1) Forsan, τῶν ὀνθάδε : scilicet πόσοι τῶν ὀνθάδε; « quot ex illis qui » hic degunt? »

ΜΕΛΕΤΗ
ΛΙΒΑΝΙΟΥ.*

Οἴμοι τοῦ πάθους! οἴμοι τῆς συμφορᾶς! Πῶς ὑποίσω; πῶς οὐ καὶ τὴν ψυχὴν ἀπερεύξομαι; Πένης ἐκ πλουσίου γεγένημαι, ὁ πάλαι περιβεβλημένος ἐσμὸν χρημάτων οὐχὶ βραχύν, ἁπάντων ἄρτι γυμνός, οὐδὲ γοῦν σλατῆρός μοι περιλειφθέντος ἑνός. Τὸν πάντα δ' ὄλβον, ὅς μοι χρόνῳ καὶ κόπῳ καλῶς συνελθόντοιν συνείλεκτο, ἦμαρ ἕν μ' ἀφείλετο. Ὦ πόσαι με νύκτες οὐδ' ἄκροις ὀφθαλμοῖς τοῦ ὕπνου παραγευόμενον ἔγνωσαν! ὦ πόσας ἑκάσλης ἡμέρας ἀνέτλην πόνους! Πόσοις κρυμοῖς διέρρωγόσι περσεπάλαισα ῥάκεσι! Περσμαρτυρεῖ μοι τῷ λόγῳ κὴ τείβων οὗτοσὶ ὃν περίκειμαι. Ὦ πόσας ἡμέρας ἀπόσιτος διαγέγονα! εἰ δ' ἔσλιν ὅτε μοι καὶ τερφῆς ἐδέησε μετασχεῖν, ἄρτος ἦν αὕτη, καὶ οὗτος μέλας τε ἀκριβῶς κὴ κατεσκληκώς, οὐ τῶν λίθων οὐδὲν, ἢ βραχύ, διεννοχώς· πόμα δὲ, ἀλλὰ κὴ τοῦτο ὕδωρ, ὅ μοι τὸ φρέαρ ἀνίησιν ἄφθονον, ὥπερ ἥδιον ἐχρώμην αὐτὸς ἢ τοῖς εὐώδεσι καὶ καλλίσλοις τῶν οἴνων ἕτεροι· ἰχθύων δὲ ἢ κρεωδαισίας (1) τοσοῦτον ἀπεῖχον, ὥσλ' εἴ ποτέ μοι καταδαρθάνοντι τὸ φανταστικὸν, οἷα συμβαίνειν εἴωθε,

* Descripsi e codice regio 2720, pag. 95, 2, recentissimo quidem, at non malo.

(1) Cod. κραιωδισίας. Nota vocalium αι et ι synchysis, quam toties attigi, ut loca affecta sanarem vel tentarem. Lucianus Phal. alt. 10: πύτων γὰρ οὐκ οἶδα εἴ τι μεῖζον, εἰ σωφρονεῖτε, ἢ ἀναγκαιότερον ἡγήσασθαι ἄν: cod. 3010, ἡγήσασθαι, quod ad veram, puto, lectionem ducit, ἡγήσαιθε.

φλεγμαίνουσαν τοιούτοις ἐδέσμασιν ἀνεπλάσατο τράπεζαν, ἡμιθνὴς ἦν τῇ λύπῃ, καί τι τῶν ἀθεμίτων ὤμην δρᾷν, ἕως, διϋπνισθεὶς ὑπόπλεως ταραχῆς, ὅπερ ἦν κατεμάνθανον· οὕτως ἥδοντος κατεξανιστάμην παντός· οὕτω πρὸς τὴν φύσιν ἀπεμαχόμην, καὶ ταύτῃ τῆς νίκης ὑπεξανιστάμην ὡς ἥκιστα. Ἄλλους μὲν εἶχον συμπόσια, πανηγύρεις, ἐκκλησίας, θέατρα, ὅθεν οὐδενὸς εὐπορῆσαι πάρεστιν ὀβολοῦ, μᾶλλον μὲν οὖν καὶ τῶν ὄντων ἀποβαλεῖν συχνά· ἐμὲ δὲ τὸ δωμάτιον τοῖς ἔργοις σχολάζοντα· ὅτου χάριν ταῦθ' ὑφιστάμενον (1) καὶ τί μηχανώμενον; ἐφ' ᾧτέ μοι τὰ ποθεινότατα χρήματα ἐπιδοῦναι καὶ ἀδροτέρων ἀπολαῦσαι τῶν βαλαντίων. Εὖ γὰρ ἤδειν ὡς, εἴ γέ τις τῷ φθάσαντι πλούτῳ καταβραχὺ προσίθησιν ἕτερον (2), καὶ δρῴη τοῦτο μὴ διαλείπων, ἐπηυξηκὼς ἔσται τὴν περιουσίαν εἰς πολυπλάσιον, ὃν τρόπον καὶ ποταμὸν ἐκ σταγόνων, ἄλλοθεν ἄλλης συνεισρεούσης, ἔξεστιν ὁρᾷν συνιστάμενον. Ποσάκις ταῖς νεφέλαις ἐμεμψάμην; ποσάκις ταύταις λοίδορον ἀφῆκα φωνὴν, ὅτι μὴ καὶ νῦν, ὥσπερ ἀμέλει τοῖς Κορινθίοις ποτὲ, πολὺν ἐπώμβρησαν τὸν χρυσὸν, ὡς ἔχειν ἀμοιγὶ τὴν ἔφεσιν

(1) Cod. ταῦτ' ὑφις.: mox καὶ π sine interrogatione.

(2) Schol. ad marginem: Ἡσίοδος· «Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρὸν καταθεῖο Καὶ θαμὰ τοῦθ' ἡ ἕρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.» Hunc Hesiodi locum, ex Opp. 359, respicit alius avarus Libanii t. IV, p. 828: ἀνοήσας δὲ ὅμως ποτὲ τὸ λεγόμενον ὡς ὁ σμικρὸν ἐπὶ σμικρῷ καταθεὶς καὶ τοῦτο τὸ μικρὸν (leg. σμικρὸν) μέγα ποιεῖ, καρπεῖν ὤμην δεῖν. Conferendus Basilius Hom. mor. pag. 32: τοῖς γοῦν ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέλειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν, πολλαὶ γίνεται πολλαχόθεν προσθῆκαι πεφύκασι· τὸ γὰρ καὶ σμικρὸν ἐπὶ σμικρῷ καταπίθεται οὐ μᾶλλον εἰς ἀργυρίου προσθήκην ἢ καὶ εἰς πίνακοῦν ἐπιστήμην ὀρθῶς ἔχειν τῷ πεπυκνωμένῳ προσθήκη.

ἀποστλῆσαί μου; καὶ δυεῖν θάτερον πυχόμην γενέσθαι, ἢ κἀμὲ τοῖς τότε ξυντετάχθαι βεστοῖς, ἢ γοῦν ταῦτα συμβῆναι καὶ νῦν. Ποσάκις πρὸς τὴν Τύχην διείλεγμαι, μονονουχὶ κατ' ὀφθαλμοὺς ἐντυγχάνων αὐτῇ, « Μέχει τίνος ἀποσιφήσῃ »; λέγων· « μέχει τίνος » πειόψει; ἵλεώ ποτε πρὸς ἡμᾶς ἐπίβλεψον ὄμ- » ματι· οἰκτειρόν με ταλαιπωρούμενον. Πολλοί σοι » θησαυροὶ κεκρύφαται κατὰ γῆς· ἐξαπίνης ἡμᾶς » πλουσίους ἀπέργασαι· ἂν ᾖ βουλομένῃ σοι (1), τὸ » πρησισιάμενον (2) οὐδὲ ἕν. » Ταῦτα μὲν πρὸς αὐτήν· ἀλλ' ἦδον, τὸ τῆς παροιμίας, ἐπὶ κωφῷ (3)· ἀλλ' αἰγιαλοῖς ἐδόκουν προσομιλεῖν, ἢ νεκρῷ πρὸς ὃς διαλέγεσθαι (4). Ἐπεὶ οὔτε τῶν νεφελῶν, οὔτε τῆς Τύχης ἀπωνάμην οὐδέν, αὐτὸς ἐμαυτῷ τὸν τῶν χρημάτων πόρον ἐξεύρισκον, οὐδὲν ἀνιεὶς ὅσα τοῖς χρηματίζεσθαι βυλομένοις συμβάλλεται. Ὅθεν ἂν εἴ τις ἐπιβάλλων ὁπωσδήποτέ μοι χρυσίον φέρων ἐπέδωκε, πῶς ἂν εἴποις; τοῦτον ἡδέως ἑώρων καὶ ψυχῆς ἀναπολαβεῖν ἔνδον ἤθελον μονονού. Πρησήει πρησαιτῶν, καὶ πρὸς μεταδόσεις πρησεκαλεῖτο; ἐγὼ δὲ τοσοῦτον ἀπεῖχον τοῦ πρὸς τὰς αἰτήσεις ἐπικλᾶσθαι, ὥστε καὶ διαλοιδορεῖσθαί οἱ, καὶ δριμὺ καὶ τιτανῶδες ἀνατενίζειν. Εἰ δ' ἀφιλάνθρωπόν με, γλίσχρον τε καὶ κυμινοπρίστην, καὶ τὰ τοιαῦτα τῶν ὀνομάτων ἀποκαλέσειε,

(1) Glossa in cod.: ἀπικῶς, ἤγουν εἰ ἐθελήσει. Voluit, opinor, scribere, εἰ ἐθελήσεις.

(2) Glossa: ἤγουν, ἐμποδίζον.

(3) Dixit Aristænet. I, 28: παρὰ κωφὸν ᾄδειν, ubi vide interpretes, coll. Schotto ad Suidæ Adagia VIII, 92. Vicinum adagium fuit, κωφῷ ὁμιλεῖ: cf. infra in Appendice catalogus proverbiorum de rebus impossibilibus.

(4) Plutarchi Proverbia infra in App.: αἰγιαλῷ λαλεῖς· λίθῳ διαλέγου.

τούτοις αὐτὸς μᾶλλον ἢ τοῖς ἀντιθέτοις ἐγανυύμην ὀνόμασιν. Οὐχ ὅτω τις πρὸς τὰς εὐφημίας, ὡς ἐγὼ πρὸς ταῦτα ἡδέως ἐτύγχανον διακείμενος, τοιαῦτ' ἀκούειν καὶ τὰ τούτων ἔτι χείρω μαχρῷ μᾶλλον αἱρούμενος ἢ γοῦν ὀβολὸν τῶν ἐμῶν πρεσθέσθαι χειρῶν. Ἀλλ' ἐγὼ μὲν οὕτως· οἵ γε μὴν (1) ἀνειμένως βιῶντες καὶ χλιδῇ χαίροντες ἀπ' ἐναντίας ἐμοὶ καὶ, τὸ ὅλον εἰπεῖν, ἀσώτως τὴν σφῶν αὐτῶν ἐκδαπανῶντες ζωὴν, ἐπαινέτου μου τετυχήκασι πώποτε; πολλοῦ γε κὴ δεῖ. Πῶς γὰρ ἔμελλον, ὅπου γε καὶ πρὸς τὴν ὄψιν ἀηδῶς διεκείμην αὐτήν; Εἰ γὰρ ἔστιν ὅτε τινὶ, συμβὰν οὕτω, καὶ περιτύχοιμι, ἢ ἑτέραν ἐτραπόμην εὐθὺς, ἢ ἑτέρωσέ ποι τοὺς ὀφθαλμοὺς ἔτρεπον· εἰ δὲ καὶ τῆς θέας ἀνασχοίμην ποτὲ, βαβαὶ ἡλίκον ἑώρων! γαῦρον καὶ σοβαρὸν ἀτενίζοντά τινα, τὰς ὀφρῦς ἀνεσπακότα, χρυσοπάστους (2) περικείμενον ἐσθῆτας, ζώνην καὶ τὸν τῆς Ἀφροδίτης πολλῷ τῷ μέσῳ (3) κεστὸν ὑπερβάλλουσαν, χρυσῷ περιῤῥεόμενον πάντοθεν, ὡς μηδ' ἀτενίζειν ἐξεῖναι τούτοις ἀσκαρδαμυκτὶ περιουσίᾳ στιλπνότητος, ὃν τρόπον οὐδ' ἡλίῳ τὰς ὄψεις ἀνέδην ἐπιβάλλειν ἰσχύομεν· τῷδ' ἐκ ψυχῆς ἀπηχθανόμην « ὁμῶς » ἀΐδαο πύλῃσι (4). » Τί γὰρ ἔδει τοσαύτης πολυτελείας, ἐξὸν εὐώνοις περιβλήμασι τὴν χρείαν ἀπο-

(1) Est hic locus lacunosus. Hiant sententiæ.

(2) Cod. χρυσοπάστους, et inferius στιλπνότητος.

(3) Nempe, πολλῷ τῷ διαφόρῳ. Jo. Chrysost. Eclog. p. 446 : τῆς μὲν γὰρ δούλης καὶ τῆς δεσποίνης οὐδὲν τὸ μέσον, τῆς δὲ ψυχῆς καὶ τῆς σαρκὸς πολὺ τὸ διάφορον. Athenagor. Apol. p. 38 Rech. : δεικνύουσιν ἕτερον μὲν τὴν ὕλην, ἄλλο δὲ τὸν Θεὸν, καὶ τὸ διὰ μέσου πολύ. Vide interpretes ad Aristænetum II, Epistola 12, pag. 686, et Monkii notam ad Euripidis Alcestin 937.

(4) Glossa: Ὁμηρικόν. Vide Il. IX, 312.

πληρῶν; Ἀλλ' οὕτω μὲν αὐτὸς βιοὺς, οὕτω δ' ἀποστόργως ἔχων τῶν παρὰ πολὺ τοῖς ἐμοῖς τρόποις μὴ συμβαινόντων, εἰς ἓν ἀγείρας τὸν πολυτάλαντον ἐκεῖνον χρυσὸν, μηδενὸς ὁρῶντος, μηδενὸς συγγινώσκοντος, καταπιστεύω τῇ γῇ, ἅτε τὴν τῶν κιβωτίων οὐκ ἀποχρῶσαν ἡγησάμενος φυλακὴν, προσέτι κ᾽ τῇ τῶν γειτόνων διδασκάλῳ χρώμενος συμφορᾷ, οἷς οὐ πρὸ πολλοῦ φῶρες ἐπιόντες νυκτὸς κιβωτίοις αὐτῶν (1) ἅπαντα τὸν ὄλβον ὑφείλοντο, εὐπόρους μὲν ἐξ ἀπόρων ἑαυτοὺς ἀποφήναντες, ἐκείνους δὲ πενίας εἰς ἔσχατον περιστήσαντες. Τοῦτο δὴ δεδιὼς, ὀν μυχῷ γῆς κατορύττω τὰ χρήματα, συγκατορύξας ἐμαυτὸν τρόπον ἕτερον. Οὔτε γὰρ εἰς ἀγρὸν ἐμβάλλων, οὔτε οἴκοι καθήμενος, οὐ τρυφὴν περιφερόμενος, τὸν νοῦν ἀφίστων αὐτῶν· ὠνειροπόλουν νύκτωρ αὐτά· συνεχῶς ἐφιστάμην τῷ τόπῳ· περιήθρουν, περιεσκόπουν μή πού τι καὶ συνηνέχθη τῶν ἀβουλήτων. Ἀλλὰ γὰρ (οἴμοι τῶν ἐπεισφρησάντων δεινῶν!) πῶς εἴπω; πῶς διεξέλθω; ἐπέχεταί μοι τὸ φθέγμα, καὶ πρηνδᾷ τοῦ λόγου τὸ δάκρυον. Ἕωθεν ἀνιστὰς, κἂν τῷ τόπῳ γενόμενος, εἰωθὸς ὄν (βαβαί! πῶς οὐχ ἡ ψυχή μοι τοῦ τῶν ὀδόντων ἕρκους ἀφίπταται;), τὸν μὲν βοθύνον ἀνορωρυγμένον ὁρῶ, τὰ χρήματα δὲ οὐδαμοῦ. Ὡς δὲ εἶδον, ὡς κατενόησα, ὥσπερ ἠχῷ βροντῆς παταχθεὶς, ἐνεὸς (2) ἐγεγόνειν· τὴν τῆς Γοργόνος, εἶπεν ἄν τις ἰδὼν, οὕτω μετεστοιχειῶσαί με τὴν κεφαλήν. Ὡς δὲ μόλις ἀνενεγκὼν ἡσθόμην οἷ κακοῦ γέγονα, οἰμωγὰς προσετίθουν ταῖς οἰμωγαῖς, ἀφειδῶς τῶν τῆς κεφαλῆς καὶ πώγωνος ἐσπαρατόμην τειχῶν. Ὦ

(1) Forsan, κιβ. αὐτῆς αὐτῶν. (2) Glossa: ἤγουν ἐμβρόντητος.

πόσα τοῦ βαράθρου κατέπασα δάκρυα! πόσοις σίναγμοῖς ἐχρησάμην! Ἔπεισί μοι θαυμάζειν ὅπως οὐκ ἀφῆκα καὶ τὴν ψυχήν· οὐ γὰρ ἀδάμαντος εἶχον φύσιν, οὔτε μὴν σιδήρου τὴν ψυχὴν ἀπεσφυρηλάτημαι, ἀπαθῶς ἐνέγκαι τοσαύτην, ὦ γῆ καὶ ἥλιε, συμφορέν. Τίς ὁ ταῦτά με δράσας; τίνι τὸ συμβὰν ἐπιγράψομαι; Εἴθε ποῖ γῆς ἔσιν (1) ὁ κάκιστ' ἀπολούμενος ἐπυθόμην, κ᾽ πυθόμενος κατέσχον, κ᾽ κατασχὼν κυνὸς δίκην τοῖς ὀδοῦσιν ἐσπάραξα, καὶ σπαράξας πρὸς βίαν ἀπορρῆξαι τὴν ψυχὴν παρεσκεύασα! Τάχ᾽ ἂν οὕτω, κἂν ᾖ τῆς ἀξίας ἐλάττων (2), δίκην ἀπέτισε. Ποῦ μοι τὸ Πυθικὸν χρηστήριον νῦν, ὡς τοῦ πρόκειμένου πέρι σαφῶς χρησμῳδήσειεν; Ἀλλ᾽ ἴσως κἀκεῖνο λαβυρινθώδεις ἀνῆκε (3) καὶ λοξοὺς τοὺς χρησμούς, ἥπερ ἔθος αὐτῷ. Μάντεις μετακαλέσομαι, καὶ τἀληθὲς πυθοίμην αὐτῶν· ἀλλ᾽ (οἴμοι!) κἀκεῖνοί με, πρίν τι καὶ λέξαι, μισθοὺς εἰσπράξονται· ἐγὼ δὲ πόθεν αὐτοὺς καταθήσομαι; ὐκ τῶν περιλειφθέντων χρημάτων; ἀλλ᾽ ἀπολώλασιν ἅπαντα. Τίς γένωμαι; ποῖ τράπωμαι; Θανεῖν ἢ περιεῖναι βέλτιον ἥγημαι (4)· τὸ πᾶσιν ἀπευκτὸν, ἐμοὶ καταθύμιον· ποθῶ συναπολέσθαι τοῖς χρήμασιν. Ὧν γὰρ παρόντων ἡδύ μοι τὸ ζῆν, πῶς οἷόν τε, μὴ παρόντων, περι-

(1) Puto scripsisse Libanium ποῦ γῆς ἔστι. Nihil frequentius adverbiorum ποῦ, ποῖ, πῆ, permutatione, ipsorum, puto, nonnunquam auctorum indiligentia, sæpissime librariorum. In Dion. Hal. de Lysia c. 1, quum esset recte editum, πίνι τι κρείττων καὶ πῆ καταδέστερος, nuper vir doctus πῖ nescio unde edidit, annotans varietatem πῆ, a se in codice repertam, nihil mutationis sententiæ inferre: quod ipsi miror excidisse.

(2) Codex, ἐλάττω.

(3) Forsan ἂν ἀνῆκε, et mox πυθοίμην ἄν.

(4) Forsan, ἡγοῦμαι.

εἶναι βούλεσθαι; Οὐ τὴν φύσιν ἀναμενῶ τὸ τέλος ἐπάξουσαν· ἀλλὰ κἄν, ταύτην φθάσας, τὴν τελευτὴν ἐπίτομον θήσομαι, ἀγχόνῃ χρησάμενος ἢ κώνειον πεπωκώς. Ἢ βυλόμενός τις ἀνακόψαι με τῆς ὁρμῆς τὸ τῆς ληθεδόνος (πηγὴ δὲ αὕτη) ὕδωρ μοι κομισάτω (1) πιεῖν, ᾧ τοσοῦτον, ὡς φασιν, ἰσχύος περίεστιν, ὡς ἀμνησίαν τοῖς πεπωκόσιν ἐργάζεσθαι.

(1) Verba πηγὴ δὲ αὕτη scholium esse videntur, quod e margine vel interlineari spatio in textum irrepsit. Hoc incommodo non pauca laborare veterum loca notum est. Libanius tom. II, p. 597: βλαβεραὶ μὲν οὖν πᾶσι πόλεσιν αἱ πύτων εἴσοδοι· βλαβεραὶ δὲ καὶ αἱ τῶν οὐκ ἀφικνουμένων ὄψεσι, καὶ τὴν Δία γε, καὶ μειζόνως· ᾧ γὰρ οὐκ ἀφικνοῦνται (πῦπ δέ ἐστι μέγιθος χήματος), πύτῳ καὶ τὸ μηδενὸς ἀπυχεῖν ἔχουσι. Videntur inclusa verba glossema esse rhetoricum, quo vis hyperbolæ significatur.

ΕΚ ΤΟΥ ΛΟΓΟΥ

ΤΟΥ ΦΑΣΚΟΝΤΟΣ

ΟΤΙ ΕΚ ΤΩΝ ΕΠΙΝΟΙΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΑΛΕΞΑΝΔΡΟΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΑ ΤΡΟΠΑΙΑ ΙΣΤΑ ΚΑΙ ΤΑΣ ΠΟΛΕΙΣ ΕΛΑΜΒΑΝΕ.*

Ἀρισοτέλης δὲ, διὰ τὸν Φιλίππου Ἀλέξανδρον, τῶν Ἀθηνῶν τὴν Μακεδονίαν ἀνταλλαξάμενος, νόμους τε τῷ βασιλεῖ ὑπέθετο, καθ' οὓς ἐκεῖνον ἐδέησε ζῆν, φιλοσοφίᾳ τε τὸ τῆς ψυχῆς ἦθος διορθωσάμενος, καὶ μένοντι κατὰ χώραν συνῆν καὶ στρατευομένῳ συναπεδήμησε, νῦν μὲν τὸν Εὐφράτην διαπεραιουμένῳ (1) κατὰ τῶν Πάρθων, νῦν δὲ ἐκεῖθεν διὰ τῆς Αἰγύπτου ἐλαύνοντι (2) ἵνα χειρώσηται τὸν Ἰνδόν. Καὶ ὁ Μακεδὼν, ἐφ' ἑκάστης ἡμέρας τροπαίων αὐτῷ ἐγειρομένων, τῷ Ἀριστοτέλει συνεῖναι μᾶλλον ἢ ἐκείνοις ἐκαλλωπίζετο, κἀκείνοις δὲ συνήδετο ὅτι κατὰ λόγον αὐτῷ προσεγίνετο τὸ νικᾶν. Αἱ γὰρ εἰς τοὺς πολέμους τάξεις, καὶ τὰ κατὰ τῶν ἀντιμαχούντων μηχανήματα, ἐκ τῶν Ἀριστοτέλους ἐπινοιῶν αὐτῷ συνειλόχατο (3). Οἵ τε οὖν λόχοι αὐτῷ ἐν μέτρῳ, καὶ αἱ φάλαγγες νῦν

* Descripsi e codice Parisino 396, pag. 427. In opusculorum indice, quæ codice continentur, titulus sic est conceptus: ἐκ τοῦ λόγου τοῦ ἀποδεικτικοῦ, τοῦ φάσκοντος ὅτι ἐκ τῶν ἐπινοιῶν τοῦ Ἀριστοτέλους τὰ μηχανήματα καὶ τὰς νίκας ἐποίει καὶ τὰς πόλεις ἐλάμβανεν ὁ τῶν ἡδωνῶν (leg. Μακεδόνων: improprium foret Ἡδωνῶν) βασιλεὺς Ἀλέξανδρος.

(1) Cod. διαπριουμένῳ.

(2) Cod. ἐλαύνοντα.

(3) E noto perfecto εἴλοχα, εἰλοχὼς, licentiam sibi sumsit fingendi tempus inauditum συνειλόχατο, pro συνείλεκτο, auctor tacticæ artis quam grammaticæ peritior.

μὲν δίσλομοι, νῦν δὲ ἀντίσλομοι, καὶ αὖθις ἀμφίσλομοι· τό τε πλῆθος, ἄλλοτε μὲν κατὰ τετράγωνον σχῆμα συνείλεκτο, καὶ αὖθις, δεῆσαν, κατὰ πρέμνηκες ἢ ἑτερόμηκες· ἀντέσλεπλό τε θᾶτλον ἢ λόγχς ἢ φάλαγξ (1), ἧπερ ἐβούλετο, ὡς τὸν μὲν οὐραγὸν λοχαγὸν γενέσθαι, τὸν δὲ λοχαγὸν εἰς οὐραγὸν ἀπιέναι· τοῦ δὲ λόχου τὸ μὲν ἐζύγει, τὸ δὲ ἐσλοίχει· τὸ μὲν πλάτος ἐζύγει, τὸ δὲ βάθος ἐσλοίχει (2). Ἐκεῖ μὲν γὰρ πρωτοσλάτης παρὰ πρωτοσλάτου, ἐνταῦθα δὲ πρωτοσλάτης παρὰ δευτεραστλάτου. Ἦν δὲ τῶν μὲν ἄλλων κρείττων ὁ λοχαγός, τούτου δὲ ὁ φαλαγάρχης, ὃν ἡμεῖς, τὴν λέξιν μεθαρμοσάμενοι, σλρατοπεδάρχην κατονομάζομεν, μεθ' ὃν ὁ οὐραγός, καὶ αὖθις ὁ δευτεραστλάτης· μεθ' οὓς ὁ ἡμιλοχίτης, ὃν δή τινες ὀνωμοτίαν (3) κικλήσκουσιν. Εἰ γάρ που ἐδέησε διχοτομῆσαι τὸν λόχον καὶ ἀντιστρέψαι τὴν διχοτομίαν, ὁ ἡμιλοχίτης τὸν τοῦ λοχαγοῦ τόπον ἐπλήρου. Ἐπεὶ δὲ ἐβούλετο ὁ τοῦ Φιλίππου (4) νῦν μὲν πολλαπλασίους τοὺς λόχους τοῖς πολεμίοις καταφαίνεσθαι, νῦν δὲ πολλοστημορίους, ἵνα δι' ὀλείνων μὲν φοβήσας ἀποσοβήσειε, διὰ τοῦτο (5) δὲ ἀπατήσας ἐφελκύσειεν, ἐτεριγώνιζεν ἐνταῦθα τὸ στράτευμα, καὶ, εἰ μὲν εἰς πλῆθος ἤθελε φαίνεσθαι, κατὰ τὴν βάσιν ἐτίθει τοὺς λοχαγούς, εἰ δὲ ἐλάττους

(1) Codex, φάλαξ.

(2) Multi de tacticis illis vocibus possunt consuli et veteres recentioresque scriptores. Indicabo unum nunc Jos. Scaliger., *Discours de la milice romaine.*

(3) Codex, ὀνωμοτίαν. Est ergo huic scriptori ἡ ὀνωμοσία, unde ὁ ὀνωμοτίας, idem ac aliis δημοιρία, nempe τὸ τοῦ λόχου ἥμισυ. Conf. Blancardi nota ad Arriani Tactica pag. 20.

(4) Codex, τῷ τοῦ φ.

(5) Forsan διὰ τούτων.

τῶν ὑπαρχόντων, τὴν κορυφὴν προσλιθεὶς, τὸ βάθος ὑπέκλεπτεν. Ἐντεῦθεν αὐτοῦ (1) τὰ μεγάλα ἐκείνῳ προσεγεγένεισαν κατορθώματα. Ἀριστοτέλης δὲ καὶ τὴν πᾶσαν αὐτοῦ διήρει δύναμιν εἰς ἱππικήν τε καὶ πεζικήν. Καὶ τοῦ πεζοῦ τὸ μὲν ψιλὸν ἐτίθετο λίθοις μᾶλλον ἢ τοξεύμασι, τῷ δὲ θώρακας καὶ κνημίδας ἐνήρμοζε (2), τῷ δὲ κοῦφα ἐδίδου πελτάρια· ὡς δὲ καὶ τοῦ ἱππικοῦ τὸ μὲν ἀγχέμαχον ἦν ξίφεσι μᾶλλον ἢ δόρεσιν ἢ ταῖς ἐκείνου σαρίσσαις (ἡ δὲ σάρισσα (3) Μακεδονικὸν ὅπλον, ἐκτεταμένον ἔχον τὸν ῥύραχα (4) καὶ πρόμηκες τὸ σιδήριον), τὸ δὲ ἠκόντιζεν ἢ ἐτόξευε πόρρωθεν· ἐτόξευε δὲ οὐ, κατὰ τὸν Ὁμήρου τοξότην, προσάγων τῷ μαζῷ τὴν νευρὰν (5), ἀλλὰ κατὰ τὸ μέτωπον ἕλκον πρὸς αὐτὸ τὸ δεξιὸν οὖς (6), οὐδ' ὡς ὁ Τεῦκρος ὑπὸ τὴν τοῦ Αἴαντος ἀσπίδα κρυπτόμενος (7), ἀλλὰ καὶ διῶκον καὶ φεύγων καὶ βεβηκός. Καὶ τί δ' ἂν τὰ πλείω λέγοιμι, ὧν Ἀριστοτέλης μὲν ἐπενόησεν, ἔργα δὲ δέδειχεν ὁ Ἀλέξανδρος;

(1) Pro αὐτοῦ, forsan οὖν.

(2) Videntur deesse nonnulla.

(3) De sarissa Macedonica ad Plan. Met. p. 536.

(4) De ῥύραχι ibid. p. 685.

(5) Hom. Il. Δ, 123 : Νευρὴν μὲν μαζῷ πίλασεν.

(6) Ovid. Met. II, 311 : « Et » *dextra* libratum fulmen *ab aure* » Misit » : vide quæ adtuli ad Planudeam versionem pag. 60. Guarinus Past. Fido IV, 2 : « *Fin* » *dall' orecchia al ferro Tese* » *l'arco possente.* » Eadem imagine utitur Jo. Secundus Bas. XV : « Adducto puer Idalius *post tem-* » *pora nervo.* »

(7) Hom. Il. Θ, 267. — Cod. masculina habet participia, προσάγων. . . . . ἕλκων. . . . . βεβηκώς : quæ mutavi; pendent enim a τὸ δέ.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΨΕΛΛΟΥ

ΚΑΙ ΥΠΕΡΤΙΜΟΥ

ΠΟΝΗΜΑ ΙΑΤΡΙΚΟΝ ΑΡΙΣΤΟΝ ΔΙ' ΙΑΜΒΩΝ.*

Ἰατρικῶν ἄκουε συντόμως ὅρων
Νοσημάτων ὁμοῦ τε καὶ συμπτωμάτων.

Ἄφθα διπλοῦν πέφυκεν ἕλκος παιδίοις·
Ἡ μὲν γάρ ἐστιν εὐϊάτος, λευκόχρους,
5 Ἡ δ' ὑπέρυθρος, παιδίων ἀναιρέτις.

Γυμνάσιον, κίνησις εὐτονωτάτη,
Ἀναπνοῆς ἄμειψις, ἰσχὺς σωμάτων.
Ἡ μέν τις ἐστὶ τρίψις εὐτονωτάτη,
Δεσμοῦσα σάρκας τὰς λελυμένας πλέον·
10 Ἡ δ' εὔλυτος, λύουσα τὰς ἐσφιγμένας·
Μέση τις ἄλλη τῶν ἐναντιωτάτων (1).

* E codice Paris. 1630, antiquius numeris signato 2216 et 3502. Hoc Pselli opus verbo memorat Fabricius Bibl. Gr. t. x, pag. 68. Quum infra v. 243 incipiat βιβλίον δεύτερον φεογνωστικὸν, deest hic inscriptio parilis. In Bibliotheca Græca, t. xi, p. 567, repetitus fuit index ejus codicis a St. Lemonio olim descriptus, sed in multis valde indiligenter. Sit pro exemplo locus de Pselli opusculo : Θεοφίλου ἰατροσοφιστοῦ περὶ διαχωρημάτων πόνημα ἰατρικὸν δι' ἰάμβων· τοῦ σοφωτάτου Ψέλλου ὑπερτίμου χαριεπωμὸς πχερὸς κατ' ἦχον εἰς τὴν ὑπραγίαν Θεοπίκον. Sed Theophili opus in codice p. 22, 1, est prosa oratione scriptum; non Pselli est χαριεπωμὸς, cod. p. 50, 1, sed Joannis Geometræ. In ipso indice qui codici præfixus est, legi quod legere et Lemonius potuit : Θεοφ. ἰ. π. διαχωρημάτων· τῦ σοφ. ψελλῦ ὑ ὑπερτ. πόν. ἰατρ. ἄειστον δι' ἰάμβων· χαριεπωμὸς πχερὸς. . . .

(1) Codex, sic, cum varietate ἐναστωτάτη. Præstat quod recepi; cf. v. 28.

Περὶ κόπου. Τριτός τις ἐστὶν ὁ κόπος τῶν σωμάτων·
Ὁ μὲν περιτῶν ἔκγονος καὶ δριμέων,
Ἄλλος δὲ νεύρων καὶ μυῶν σφοδρὰ τάσις·
15 Καὶ φλεγμονώδης ὁ τρίτος κεκλημένος
Ὡς φλέγμα καὶ πύρωσιν ἡμῖν εἰσάγων.

Περὶ σωμάτων. Ἡ σωμάτων στένωσις ἡ θρυλλουμένη
Ἐμφραξις ἢ πύκνωσις ἐστὶ τῶν πόρων.

Περὶ ἀέρος. Ἀρειστος ἀὴρ λεπτὸς, εὔπνους τὴν φύσιν.

20 Ἄνοσμον ὕδωρ, τοῦτ' ἄριστον τὴν φύσιν,
Ἄποιον, εὔχρουν, συντόμως διαῤῥέον.

Περὶ λουτροῦ. Λουτρῶν τὸ θερμὸν ἀσφαλέστατον φρόνει,
Λύον, μαλάσσον, ὕπνον ἡδὺν εἰσάγον,
Παρῴτιον μάλιστα τῆς εὐσαρκίας,
25 Τοὺς ἐγκρατῶς βιοῦντας ὠφελοῦν πλέον.

Οὗτος χαρακτὴρ ἀκριβοῦς εὐκρασίας·
Σύμμετρός ἐστιν εὐμέλεια σωμάτων,
Φύσις μέσως ἔχουσα τῶν ἐναντίων,
Τῶν ποιοτήτων ἠπιωτέρα κρᾶσις,
30 Πρὸς τὰς ἐνεργείας τε τὰς τοῦ συνθέτου
Εὖ πως ἔχουσα τὴν καλὴν συμμετρίαν.
Ἐναντία τούτων δὲ δύσκρατος φύσις.

Περὶ κεφαλῆς. Μικρὰ κεφαλὴ δεσμὸς ἐστενωμένος
Σφίγγων τὸν ἐγκέφαλον, εἰπεῖν δὲ, πνίγων.
35 Ἡ δὲ πλέον πλασθεῖσα τῆς συμμετρίας,

Εἰ μὲν πέλει γένημα ῥώμης ἐμφύτου,
Ἐπαινετὴ πέφυκεν εὖ πεπλασμένη·
Εἰ δ' ἔστιν ὕλη τῆς περιττῆς οὐσίας,
Δύσχρηστον αὐτὴν ταῖς ἐνεργείαις νόει·
Εἰ δ' αὖ μέσως ἔχουσα, χρηστὴ τὴν φύσιν.
Εὔκρατον ἐγκέφαλον ὧδε θηράσαις·
Σύμμετρος ἐστὶ ταῖς ἐνεργείαις ὅλαις,
Πλάττει τὸ σῶμα παγκάλως καὶ ποικίλως,
Ἐν τῷ (1) βρέφει δείκνυσιν ἄνθην τῆς κόμης
Χρειὰν πυρρὰν ἔχουσαν ἠλαττωμένην,
Τοῖς παισὶν ὑπόξανθον (2), εἶτα τοῖς μέσοις
Τὸ ξανθὸν ἐκφύουσαν ἠκριβωμένως (3).

Περὶ χρειῶν κόμης.

Σημεῖα ταῦτα γαστρὸς ἐξηραμμένης,
Ταχεῖα δίψα, σύντομον πλήρωμά τε,
Ἐδεσμάτων ὄρεξις ἐξηραμμένων·
Τῆς δ' αὖ διύγρου ταῦτα συντόμῳ λόγῳ,
Τὸ μήτε διψῆν, μήτε τὴν πόσιν στέργειν·
Θερμῆς δὲ ταῦτα, πέψις (4) ἀκριβεστέρα,
Ὄρεξις ἥττων, δίψα τοῦ πότου πλέον·
Ψυχρᾶς δὲ ταῦτα, πέψις ἀσθενεστέρα,
Ὄρεξις εὐαίσθητος, ἡδονὴ ψύχους.

Σημεῖα γαστρός.

Τοῦ πνεύμονος δὲ ταῦτα σημεῖα φέρει·
Πνεύμων ἄεισμος, εὐφυῶς ἀναπνέων,
Τὴν ἕξιν ἀπέριττος, εὖ ὕλης ἔχων,

Περὶ πνεύμονος.

(1) Initium est novi capituli in codice. Distinctio tollenda videbatur.

(2) Codex, ὑπόξανθος.

(3) Ultima syllaba in codice est ης, sed deleta.

(4) Codex, σκέψις. Cf. statim v. 55. Modo codex, σίγειν.

60 Εἰλικρινοῦς μάλιστα φωνῆς ἐργάτης.

Περὶ καρδίας.

Τῆς καρδίας δὲ τὰς κράσεις οὕτω μάθοις.
Ἀναπνοῆς ὄγκωσις ἢ σφυγμοῦ τάχος,
Εὐτολμία δὲ (1), πρὸς τὰ δεινὰ θρασύτης,
Δασύς τε θώραξ, στέρνα λάσια πλέον (2),
65 Γνωριστικὰ πέφυκε θερμῆς καρδίας·
Σφυγμοὶ δὲ μικροὶ, καὶ φόβοι καὶ δειλίαι,
Στέρνων ψίλωσις, τὴν ψυχρὰν δηλοῦσί σοι·
Ξηρὰν δὲ γνωρίσειεν ἡ σκληρὰ φύσις,
Σφυγμὸς μὲν οὐχ ἕτοιμος, ἄγριος δέ γε·
70 Ὑγρὰν δὲ γνωρίζουσιν ἦθος ὀργίλον,
Σφυγμοὶ μαλακοὶ, συμπαθεστέρα φύσις.

Περὶ τῶν ἐντέρων.

Θερμὸν μὲν ἦπαρ γνωριοῦσιν αἱ φλέβες
Τὴν εὐρύτητα δαψιλῆ κεκτημέναι,
Ξανθὴ χολὴ τὰ τρῶτα, τῆς δ' ἀκμῆς μέσης
75 Μέλαινα, θερμότης τε πολλὴ σωμάτων.

(1) Malim, π. Frequens illarum vocularum synchysis.

(2) Polemo Physiogn. p. 192: στέρνα δὲ αὐτὰ καθ' ἑαυτὰ πεπειχωμένα θριξὶ δασείαις θερμοβούλους καὶ εὐψύχους ἄνδρας σημαίνει. Interpres Latinus: « pectora autem in medio sterni hirsuta habentes &c. » Non intellexit verba αὐτὰ καθ' ἑαυτὰ, quæ significant « ipsa per se », id est, sola. Quum dixisset Polemo ventrem et sternum, si pilosa sint valde, levem hominem, inconstantem ac debilem indicare, jam significat quid pectus denotet, quum solum, absque ventre scilicet, pilis sit instructum. Simile Adamantii præceptum sternum et alias partes opponentis pag. 420: στέρνα δὲ αὐτὰ καθ' ἑαυτὰ πεπειχωμένα θριξὶν ἀμφιλαφέσι θερμοβούλους καὶ διψύχους λέγει. Et hic pariter cespitavit interpres vertens: « sterna autem » circumquaque dense hirsuta. » Pro διψύχους velim εὐψύχους. Gallicus interpres διψύχους de iis intelligit, « qui ont, comme l'on dit, » deux cordes tendues à leur arc » comme les gens doubles »; quod est contortum valde nec sic græce dici poterit.

Ψυχρὰν δέ σοι δείκνυσι φλέγματος φύσιν, περὶ φλέγματος.
Φλεβῶν τε πολλὴ σπεγνότης ἐν τῷ βάθει,
Τειχῶν ψίλωσις, ψυχρὸν αἷμα τὸ πλέον·
Ξηρᾶς δὲ εἰσι σύμβολα ξηραὶ φλέβες,
80 Ὑγρᾶς δὲ, τούτων μαλακωτέρα φύσις.

Ὄρχεις δὲ θερμοὺς δείκνυσι περθυμία
Πυκνῆς ὀχείας, καὶ τειχῶν ἡ δασύτης (1)·
Μήτηρ δέ ἐσθιν ἥδε πως τῶν ἀρρένων·
Ψυχρὰ δὲ κρᾶσις δεικνύει τἀναντία.
85 Καὶ τῆς μὲν ὑγρᾶς κράσεως γνώρισμά τι,
Τῶν σπερμάτων τὸ πλῆθος ὑγρότης θ' ἅμα·
Ξηρὰ δὲ κρᾶσις ἠτλόνως τούτων ἔχει.

Αὕτη πέφυκε λαχάνων ἡ ποιότης. περὶ λαχάνων.
Ὑγρὰν ψυχράν τε τὴν θειδακίνην νόει,
90 Γεννῶσαν ἡδὺν ὕπνον, εὔτροφον φύσει,
Αὔξουσαν αἷμα καὶ τρέφουσαν ἡδέως.
Ἔχει δὲ ταύτας καὶ φύσις τῶν ἰντύβων
Τὰς ποιότητας, ἀλλ' ὅμως τεθραυσμένας.
Ἡ μαλάχη ψύχει μὲν, ἀλλ' ἐλατλόνως,
95 Ὑγρὰν δὲ ποιεῖ τὸ πλέον τὴν γαστέρα,
Ὑπακτική τε τῆς περιττῆς γαστέρος.
Ῥύπλει τὸ τεῦτλον, σκκενοῖ τὴν γαστέρα,
Δάκνει σπόμαχον, ἥπαρ εὐρύνει πλέον.
Κράμβη δίσεφθος δεσμός ἐστι γαστέρος·

(1) In partibus quibusdam peculiariter, si Polemoni est habenda fides, qui, pag. 192, ὅσοι δὲ, ait, ὀσφύας καὶ μηρούς, τῶν ἄλλων χωρὶς μελῶν, πολύτριχας ἔχουσι, λάγνοι ἄνδρες εἰσί, consentiente Adamantio p. 419. Hic quidem addit et eos esse ἀσελγεῖς, quibus venter et pectus villosa sunt; sed de lectione potest dubitari.

100 Ἡ δ' αὖ μόνεφθος, ἁλσὶν ἐμμεμιγμένη,
Ὑπακτικὴ πέφυκε τῶν ἐγκειμένων.
Ἡ δ' ἀτεράφαξις, πεσσίδι καὶ τὸ βλίτον,
Ὑγερὰ μὲν ἄμφω καὶ λύοντα γαστέρα,
Ἀλλ' εὔτερφον τὸ σῶμα δεικνύοντά πως.
105 Ἀτερακτυλὶς, κόλυμβος (1), ἠκανθωμένα,
Τέρφιμα καὶ σύμμετρα γαστρὸς τῇ χράσει·
Ἡ κινάρα δὲ δυσστόμαχος τυγχάνει.
Οὐρητικὰ σέλινα, σμύρνιον, σίον.
Κάρδαμον ἠδ' ὠκιμον, ἀλλὰ καὶ νάπυ,
110 Ἅπαντα θερμὰ τυγχάνει καὶ δριμέα,
Δύσπεπτα, δυσστόμαχα, πολεισίδχυμά τε.
Ἡ δ' ἀκαλύφη, καὶ κνίδη καλουμένη,
Λεπτή τίς ἐστιν, σκκενοῖ τὴν γαστέρα.
Τὸ δ' αὖ γε γογγύλιον ἐμφύτως σίλφον,
115 Ἄριστον, εὐστόμαχον εἰς ἀποτέρψις,
Εὔσιτον, εὐόρεκτον, οὐ σάρκας τρέφον.
Ἐκφρακτικὴ κάππαρις, ἡδίστη πολέον,
Ὀξεῖ μιγεῖσα φλεγμάτων ἀναιρέτις.
Ὄρα δὲ καινὴν φύσεως ποικιλίαν·
120 Βλίτοι (2), μαλάχαι, τεῦτλα καὶ θριδακίναι,
Ὑγρὰ μέν εἰσι τοῦ φυτοῦ τὴν οὐσίαν,
Ξηρὸς δὲ τούτοις ἀσπάραγος τυγχάνει·
Ἡ δ' αὖ ῥαφανὶς, γογγύλη τε καὶ νάπυ,
Τὸ κάρδαμον, πύρεθρον, ἡ κράμβη πολέον,
125 Τὸ μὲν φυτὸν φέρουσιν ἐξηραμμένον,

(1) Ne dubites quin legendum sit σκόλυμος. Jungit Galenus, De alim. II, p. 332, has duas plantas in aculeatorum leguminum recensione. Mox codex, σίληνα, mendo in ea voce solenni : conf. Geopon. XII, 23.

(2) Sic codex.

Ἔχουσι δ' ἀσπάραγον ὑγρὸν τὴν φύσιν.
Ἡ γογγύλη δὲ, βυνιὰς κεκλημένη,
Τρόφιμος, εἰ δίσεφθος· εἰ δὲ πολλάκις
Γεύσαιο ταύτης, δυσστόμαχος πλέον.
Ὀρεκτικὴ πέφυκεν ἡ βολβοῦ φύσις
Τὴν γαστέρα ῥύπτουσα καὶ τονοῦσά πως,
Τρόφιμος, εἰς ἔρωτας εὐφυεστέρα,
Γεννητική τε πνευμάτων καὶ σπερμάτων.
Πράσα τε καὶ σκόρδα, τὰ κρόμμυά τε,
Πάντα δριμύτει καὶ τέμνει καὶ λεπτύνει.
Ἄποιον ὕδνον (1) καὶ καταψύχον πλέον.
Οἱ δ' αὖ μύκητες (2) φλεγματώδεις τὴν φύσιν·
Οἱ δ' ἀμανῖται, τοῦτό πως ἐλαττόνως.
Τῶν ὀσπρείων δ' αὖ τὴν φακῆν ἀποτρέπου· Περὶ ὀσπρίων.
Μελάγχολος πέφυκε, δεσμὸς γαστέρος.
Κοῦφοι κύαμοι καὶ φυσώδεις τὴν φύσιν.
Ὁ δ' ἐρέβινθος ῥυπτικός τε τυγχάνει,
Καὶ σπέρμα γεννᾷ, καὶ λίθους διαθρύπτει.
Τὰ θέρμια δύσπεπτα. Τῆλις ἡ πόα
Θερμὴ πέφυκε, πεπτρέπει τὴν γαστέρα.
Ὁ δ' αὖ φάσουλος καὶ τρόφιμος τυγχάνει
Κενωτικός τε τῶν περιττῶν ἐκτόπως.
Ἡ κολόκυνθα (3) καὶ λύει τὴν γαστέρα, Περὶ κολοκύνθης καὶ πεπόνων καὶ ἀμπέλου καὶ τοιούτων ὀπωρῶν.
Ψύξιν τε γεννᾷ καὶ καθυγραίνει πλέον.
Πέπων κακοστόμαχος ἠττόνως τρέφων.
Ὁ σίκυος δύσπεπτος, ὑγρὸς τὴν φύσιν.

(1) Codex, ἄποιον ὕδνον. Vide Galen. De alim. II, pag. 335, ne de correctione dubites.

(2) Codex, μύκης. De fungis et tuberibus inter legumina recensitis vide Notit. Mss. tom. XI, 2, pag. 222.

(3) In lemmate marginali scripsi ὀπωρῶν, quum sit tantum ὁ in codice.

Σῦκον, σταφυλαὶ, καὶ τρέφουσιν ἠρέμα,
Ἠπίόν τε δυσστόμαχα, πλεισπόχυμά τε·
Τῆς δὲ σταφυλῆς εὐχυμώτερον σῦκον,
155 Νεφροὺς καθαίρει καὶ κενοῖ τὴν γαστέρα·
Αἱ δ' ἰσχάδες σύμπαντα (1) πρὸς τοὐναντίον,
Ὠμοὺς χυμοὺς τίκτουσι, πληροῦσιν φύσης (2).
Τῶν δὲ σταφυλῶν ἡ ἀσταφὶς (3) βελτίων.
Τὰ συκάμινα ψυχροποιὰ μετρίως·
160 Τίκτουσι δ' ὑγρότητα πολλὴν ὀν βάθει.
Ἡ δ' αὖ γε διπλῆ τῆς κεράσου ποιότης
Διπλοῦς ὁμοίως τοὺς χυμοὺς παρεισάγει·
Ἡ γὰρ γλυκεῖα τῆς ὀπώρας ποιότης
Βλάπτει στόμαχον, σκκενοῖ δὲ γαστέρα,
165 Ἡ δὲ στύφουσα, τῷ στύφειν τὴν γαστέρα,
Φθείρει στόμαχον· οὐχ ὕπεισιν οὐδόλως (4).
Ὁ κωνικὸς στρόβιλος εὔχυμος φύσει.
Μῆλον γλυκάζον καὶ τρόφιμον τυγχάνει,
Καὶ θερμόν ἐστι μᾶλλον ἐξωπτημένον.
170 Κυδώνιον δὲ ῥωστικὸν μὲν τυγχάνει,
Ἐφεκτικὸν δὲ ἐστι τῆς γαστρὸς πλέον.
Ῥοιὰ ψύχει. Μέσπιλα τὸ πλέον στύφει.
Φοῖνιξ τονοῖ στόμαχον ἐστεγνωμένος·
Ἐφεκτικὸς δὲ ἐστι γαστρὸς σκτόπως.
175 Τῶν δ' αὖ γ' ἐλαιῶν τάσδε τὰς γνώσεις ἔχε·

(1) Est varietas, σύμπασαι.

(2) Cod. φύσις et φύσης.

(3) Nota in margine : γρ. ἡ ταφὶς σοι. Et sunt in margine e regione hujus loci reliquiæ versiculi, textui inserendi, sed nescio qua sede : Καὶ τῶν ὁ γνῶθι κράσεις αὐτίκα : nitida sunt tantum καὶ, γνῶθι, κράσεις. Forsan, Καὶ τῶν ὀπωρῶν γνῶθι κράσεις αὐτίκα, et ponendus versus ante, Ἡ κολόκυνθα.

(4) Sic codex. Manifestum est periisse nonnulla.

Ἡ δρυπετὴς (1) ἄπεπτος, ἄλγος γαστέρος·
Ἁλμὰς, κολυμβὰς, εὔορεκτοι (2) τὴν φύσιν.
Τῶν δ' αὖ καρύων τὰς διαιρέσεις μάθε·
Τὰ λεπτὰ πλείω τὴν τροφὴν δίδωσί σοι,
Μείζω δ' ἔλαττον, τοῖς μικροῖς ἀντιστρόφως.
Ἀμύγδαλον δὲ τμητικώτατον πάνυ.
Τὸ πιστάκιον ἧπαρ ἐκτρέφει φύσει.
Τὰ σπεικὰ (3) δύσπεπτα, δυσστόμαχά τε.
Δαμασκηνὰ κινοῦσι γαστέρος φύσιν.
Δύσπεπτός ἐστι τῶν κεράσων ἡ φύσις.
Τὸ κίτρον μὲν δύσπεπτον, ἡ σὰρξ δὲ τρέφει.
Τρόφιμος ὁ βάλανος εὐσάρκῳ φύσει·
Δεῖται δὲ (4) δεινῶς γαστέρος πυκνοῦ.
Τὸ κάστανόν θ' ὅμοιον, ἀλλ' ἐλαττόνως.

Πτηνῶν δὲ σαρκὰς καὶ τετραπόδων ὄρα. περὶ πτηνῶν.
Πτηνῶν ὁ πέρδιξ εὐστόμαχος τυγχάνει,
Εὔπεπτος, ἡδὺς, καὶ τρόφιμος ἐκτόπως.
Οἱ δ' ἀτταγῆνες καὶ περιστεραὶ νέαι,
Εὔπεπτα πάντα καὶ πολὺ σαρκοτρόφα.
Κίχλα δὲ καὶ κότυφος, ἠδὲ πυργίτης,
Τὰ πάνθ' ὅμοια τοῖς προπειθμημένοις,
Σκληρὰν δ' ἔχει τὴν σάρκα τῶν ἄλλων πολύ.
Νήττης τε, φάττης ἡ φύσις καὶ τρυγόνος
Σκληρά τε καὶ δύσπεπτος, ἰνώδης πολύ.
Ὁ χὴν, ὁ ταὼς, τῶν γεράνων ἡ φύσις,
Δύσπεπτα· πολὺ τρόφιμα δείκνυνται φύσει.

(1) Sic codex.
(2) Vocis finis obscurior est: εὐόρεκτος legi potest.
(3) Cod. συεικά. Conf. Galen. De alim. II, p. 328.
(4) Addidi δέ.

Ἅπαν τρόφιμόν ἐστιν ὑέιον κρέας,
Γλίσχρον δὲ κ̓ δύσπεπτον, ἡδὺ δ' ἐκτόπως.
Κακοστόμαχον τὸ πρόβατον τυγχάνει·
205 Μᾶλλον δὲ δυσστόμαχον αἴγειον κρέας·
Τὸ δὲ τράγειον θερμοκοιλίοις δίδου.
Μελάγχολον βοῦς κ̓ λαγὼς κ̓ δορκάδες.

περὶ τυροῦ. Ἅπας τυρὸς δύσπεπτος, ἐκτρέφων λίθους·
Ὁ πρόσφατος δὲ, συμμέτρως ἁλῶν ἔχων,
210 Μαλακὸς, ἡδὺς κ̓ τρόφιμος τυγχάνει.

Ἰχθὺς ἅπας πέφυκεν ὑγρὸς καὶ ψύχων·
Ὁ δ' αὖ πετραῖος εὐχυμώτερος φύσει.
Πέτραι πελαγῶν κρείττονες πρὸς ἰχθύας,
Καὶ τῶν πελαγῶν οἱ ποταμοὶ χειρόνως
215 Τοὺς ἰχθύας τρέφουσι τοὺς ποταμίους·
Ἰχθὺς δὲ λίμναις ἐμμόνως τεθραμμένος
Ἄπεπτος, ὑγρὸς, δυσστόμαχος τὴν φύσιν.
Ὀστρακόδερμα πάντα συμπεπεμμένα
Γεννῶσι πικρὸν χυμὸν ἐν τοῖς ἐντέροις·
220 Βλάπτει δ' ἔλαττον ἡ φύσις τῶν ὀστρέων.
Κίχλαι (1) δὲ κ̓ σωλῆνες, ἡδὲ πορφύραι,
Κήρυξ δὲ κ̓ σπόνδυλος, ἡδὲ κοχλίαι,
Καὶ δικτικὸς πάχυρος, ἀστακὸς πλέον,
Καρίδες ἢ κάραβος ἢ καὶ καρκῖνοι,
225 Δύσπεπτα πάντα, δυσστόμαχα τὴν φύσιν.
Ἀνόστεως δὲ τευθὶς (2) ἡδὲ σηπία

(1) Cod. κῆλαι et κίχλαι.

(2) Codex, πφὴς. Menda id genus, e pronunciatione πῦ υ orta, attigi ad Nicetam p. 309. Lexicon in Bekkeri Anecdotis, pag. 362: αἴθοι, τῆς καθθείσης γῆς τὸ καταλειπόμενον. Puto scribendum, αἴθον, τῆς καυθείσης. Bek-

Ἁλυκὸν ἐκτρέφουσι χυμὸν ἐν βάθει·
Ὅμοια τούτοις καὶ λίβατος καὶ βάτος.
Ἡ δὲ τρυγὼν εὔπεπτον ἔχει τὴν φύσιν·
230 Φώκη δὲ καὶ φάλαινα καὶ θύννη (1) πλέον.
Δελφίς τε καὶ ζύγαινα γαστέρα θλίβει,
Ἀσυμμέτρως ἔχοντα σαρκικοῦ πάχους.

Οἴνων δὲ τήνδε τὴν διαίρεσιν νόει. περὶ οἴνων.
Ἐρυθρὸς οἶνος χυμὸν οὐ καλὸν τρέφει·
235 Ὁ δὲ γλυκὺς τρόφιμος, ἀλλ' ὅμως βλάβη
Τῆς γαστρός ἐστιν, ἐκλύων ταύτην φύσει·
Δυσανάδοτος, εὐστόμαχος (2) ὁ σίφων.
Οἶνος δ' ἄειστος κιρρὸς ἐστι τὴν χρόαν.

Ὕπνου τὸ χρῆμα χρῆμα τῇ φύσει μέγα. περὶ ὕπνου.
240 Πέτλει τὰ σῖτα, ζωπυρεῖ τὴν γαστέρα,
Κόπους, ὀδύνας καὶ πόνους ἀμαλθύνει,
Ὀρθοῖ λογισμὸν πολλάκις τετραμμένον.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ ΠΡΟΓΝΩΣΤΙΚΟΝ.

Νοσημάτων σημεῖα ταῦτ' ὀλεθρίων·
Ὄψις νεκρώδης, ὄμμα κοῖλον δακρύον,
245 Σφυγμῶν μικρὰ κίνησις ἀντωθουμένη,
Κλίσις καταῤῥέουσα τῆς κλίνης κάτω,
Ὀξεῖα ῥὶς, ἄπνοος ὄψις ὀμμάτων,
Φεύγειν τὰ λαμπρὰ, ψηλαφᾶν τοῖς δακτύλοις.
Εὐσφυξία δὲ καὶ φρενῶν ἑτοιμότης,

kerus: « an καυθείσης? » De restitutione dubitare non debuit vir doctissimus.

(1) Sic codex.
(2) Sic cod. Forsan, ἀστόμαχος vel δυστόμαχος.

250 Τἀναντία τε (1) τῶν διηθρευμένων,
Σωτηρίας σημεῖα τῆς τοῦ κειμένου.
. . . . . .
. . . . . .
Νοσήματός (2) σοι γνωριοῦσι τὸν χρόνον
255 Καὶ τὴν λύσιν μάλιστα τούτων (3) καὶ κρίσιν.
Τῶν ἡμερῶν πέφυκεν ἐν νόσῳ κρίσις·
Ἀλλ' αἱ μὲν εἰσάγουσιν ἀκριβῆ λύσιν,
Αἱ δὲ πλέον φέρουσιν εἰς τἀναντία.
Ἡ τεσσαρακαιδεκάτη δὲ τούτων ἐν μέσῳ·
260 Πρώτη δ' ἀρίστη τῶν ἁπασῶν ἑβδόμη,
Καὶ δὴ μετ' αὐτὴν αὖθις ἡ δισεβδόμη·
Τίθει μετ' αὐτὴν ἐνάτην καὶ δεκάτην
Καὶ δισδεκάτην, καὶ μετ' αὐτὰς πλησίον
Πέμπτην· ἀρίθμει δ' ἑβδόμην πρὸς δεκάτην (4),
265 Αὖθις τετάρτην καὶ τρίτην κατωτέρω,
Ὀκτωκαιδεκάτην τε τούτων πλησίον,
Ἕκτην τ' ἐν ἀρχαῖς, ὀγδόην καὶ δεκάτην·
Δωδεκάτην τε (5) καὶ πρὸς ἓξ τὴν δεκάτην,
Καὶ τὴν δεκάτην ἡμέραν πρὸς ἐνέα,
270 Κακὰς γίνωσκε, παντελῶς ὀλεθρίας.
Τῆς κρίσεως πρόγνωσις αὕτη τυγχάνει·
Τῆς εἰσβολῆς πρόσληψις ἡ (6) πρὸ τῆς τρίτης,
Διὰ τρίτης κίνησις ἀκριβεστάτη,
Ἡ τῶν περιττῶν πέψις, ὕρων, πλυσμάτων·

(1) Cod. δέ. Cf. p. 178, n. 1.
(2) Desunt in codice versus duo, spatio relicto puro.
(3) Forsan πύπου.
(4) Præstabit δεκάτη.
(5) Forsan δέ. Cum Galeno non consentit, quem cf. De criticis diebus 1, p. 427. Galenus enim non malos ac funestos omnino dies illos esse ait, sed in iis οὐ λύεσθαι νόσημα ἀθρόως, &c.
(6) Cod. ἤ. Malim προλήψις.

275 Τούτων μὲν οὖν μέλλουσαν εὑρήσεις κρίσιν·
Αὖθις δὲ τούτοις τήν γε νῦν τελουμένην,
Εἰ δυσφρονοῦντα τὸν νοσοῦντα προσβλέποις (1),
Ἀλγοῦντα τὸν τράχηλον ἢ τετραμμένον,
Αἱμορροοῦντα καὶ σπεφοῦμενον κάτω.
280 Καὶ ῥὶς δ' ἐρυθρὰ καὶ κένωσις δακρύων,
Καὶ μαρμαρυγῆς ἀθρόα φαντασία,
Σημεῖα πάντα κρίσεως τελουμένης.

Σφυγμῶν γένη γίνωσκε τῶν πρώτων δέκα·
Ταχύν, βραδύν, σύμμετρον ὡς πρὸς τὸν χρόνον.
285 Οὗτος ἀριθμός ἐστι τῶν κινουμένων.
Ταχὺς μὲν οὖν πέφυκεν, ὃς (2) βραχεῖ χρόνῳ
Διάστασιν δίεισι πλείω τοῦ χρόνου·
Βραδὺς δὲ, ὃς, μακρῷ χρόνῳ τρέχων,
Ἐλάττονας δίεισι τὰς διαστάσεις·
290 Ὁ σύμμετρος δ' ἔστηκεν εἰς ἄμφω μέσος.
Τὸ δεύτερον δὲ τῶν σφυγμῶν γένος τόδε.
Τρεῖς εἰσι πᾶσαι τῷ λόγῳ διαστάσεις·
Μῆκος, πλάτος, βάθος τε, σωμάτων λόγοι.
Ὡς κοῖλον οὖν τι σῶμα τὴν ἀρτηρίαν
295 Αἱ τρεῖς ἔχουσι τοῦ λόγου διαστάσεις.
Σκόπει γὰρ αὐτὸς ἐμφρόνως τοῖς δακτύλοις
Τὸ μῆκος αὐτὸ καὶ βάθος καὶ τὸ πλάτος·
Εἰ δὲ πλέον τὸ μῆκός ἐστι τοῦ μέτρου,
Μακρὸν καλεῖ κίνημα τοῦ σφυγμοῦ τόδε·
300 Εἰ δ' αὖ γε πλεῖον φωράσειας τὸ πλάτος,
Πλατὺν διδάσκει σφυγμὸν ἀκριβεῖ λόγῳ·
Εἰ δὲ πρὸς ὕψος ἅλλεται σφύζον πλέον,

(1) Codex, προσβλέποις. (2) Codex, ὡς.

Ὑψηλὸν εἰπὲ τὸν κινούμενον φύσει.
Τἀναντία δὲ τῶν περάτων τυγχάνει
305 Τἀναντία πέρατα τῶν ἐναντίων,
Μικρὸς, σλενὸς, ταπεινὸς, ὡς πρὸς τὰ τεία.
Τείτον γένος πέφυκε τῶν σφυγμῶν πάλιν,
Ὅπερ πέφυκε τοῦ πόνου ζυγοσλάτης
Κλῆσις δὲ τοῦτο, σφοδρότης, ἀμυδρότης,
310 Καί τις μεταξὺ τῶν τόνων συμμετεία.
Σφοδρὸς μὲν οὖν πέφυκεν ὁ πολήτλων βία
Τοὺς τῶν ἰητρῶν (1) δακτύλους συνημμένους·
Ὁ δ' αὖ γε πολήτλων τὴν ἀφὴν παρειμένως
Ἀμυδρὸς ἐσλι περσφυῶς κεκλημένος·
315 Σύμμετερος, ὃς πέφυκε τοῖν δυοῖν μέσος.
Τὸ δεικνύον δὲ σύσλασις (2) τῆς οὐσίας
Τοῦ σώματος κάλλισλα τῆς ἀρτηείας,
Ἢ μαλθακὸν πέφυκεν, ἢ τούτων μέσον.
Εἰ σκληρόν ἐσλι, σκληρὸς ὁ σφυγμὸς πέλει,
320 Εἰ μαλακὸν, μαλακὸς ὠνομασμένος,
Εἰ σύμμετρον, σύμμετρος· οὐκ ἄλλως δ' ἔχει.
Γένος δὲ πέμπλον τῇ παρεκχύσει νόει
Τοῦ σώματος, βέλτισλε, τῆς ἀρτηείας·
Ἡ κοιλότης (3) γὰρ ἢ μένει πολυρεσλάτη,
325 Ἣν ἔγχυλον λέγουσι κοὐ σεσαγμένην,
Ἢ τῶν ἰατρῶν τοὺς κρίνοντας δακτύλους
Κενεμβατοῦντας ταῖς ἀφαῖς δείκνυσί πως.
Ἀλλ' εἰ μέν ἐσλιν ἔγχυλος, πολήρη κάλει,

(1) Scripsit, puto, Psellus ἰατρῶν.

(2) Possit legi σύσασιν. Sed est gravius malum; scilicet perierunt versus unus et alter, quibus quartum pulsuum genus sibi nunc esse tractandum Psellus monebat, et τὸ σκληρὸν opponebat τῷ μαλθακῷ.

(3) Codex, κοιλότης.

Εἰ δ' ἔστιν ὥσπερ πομφόλυξ, κένην λέγε,
330 Τὸν δ' ἐν μέσῳ, σύμμετρον, οὕτω γὰρ δέον,
Τὸν δ' αὖ γε δεικνύοντα τὴν τῆς καρδίας
Ἔνθερμον ὀσίωσιν ἕκτον μοι κάλει·
Ἢ γὰρ ψυχρὸς πέφυκεν, ἢ θερμὸς πλέον,
Ἢ ποιοτήτων συμμέτρως δυοῖν ἔχων.
335 Ὁ πυκνὸς ἠδ' ἀραιὸς ἕβδομον γένος·
Κινουμένης γὰρ ὧδε τῆς ἀρτηρίας
Διπλῆν κίνησιν ἐξ ἐναντιωτάτων,
Διστὰς ἀνάγκη τὰς τάσεις πεφυκέναι·
Διασταλεῖσα κ' γὰρ ἴσχει πως στάσιν,
340 Καὶ συσταλεῖσα δευτέραν ἡσυχίαν·
Ἀλλ', εἰ μὲν ἐμμείνειεν ἐν βραχεῖ χρόνῳ,
Σφυγμὸν κατειργάσατο πυκνὸν ἐκτόπως·
Εἰ δ' ἠρεμήσει τὸ πλέον τοῦ συμμέτρου,
Ἀραιός ἐστιν ὁ σφυγμὸς κεκλημένος.
345 Τὴν πυκνότητα τὴν ἀραιότητά τε
Μέσος διϊστᾷ σύμμετρος κεκλημένος.
Ὁ ῥυθμὸς αὖθις ἄλλο δείκνυσιν (1) γένος·
Ἔστι δὲ ῥυθμὸς πρὸς χρόνον χρόνου κρίσις·
Χρόνος δὲ διστὸς ἐστι τῶν κινουμένων.
350 Τῶν ἡσυχαζόντων δὲ τούτων τὴν κρίσιν
Ῥυθμὸν κατωνόμασαν εὔρυθμοι λόγοι·
Ὁ συγκρίνων δὲ τὰς στάσεις ἀρτηρίας
Πρὸς τὰς κινήσεις, ἢ στάσεις πρὸς τὰς τάσεις,
Ἢ τὰς κινήσεις πρὸς κινήσεις ἐμμέτρως (2),
355 Γένος πέφυκε ῥυθμικὸν κεκλημένον.
Τοῦ δ' αὖ γε ῥυθμοῦ τὴν διαίρεσιν λάβε.
Τέμνουσι κ' γὰρ τοῦτον ἀκριβεῖς λόγοι

(1) Codex, δίκωσι. (2) Codex, ἐκμέτρως, ut videtur.

Πρὸς μὲν τὸ χρεῖττον εἶδος εἰς εὐρυθμίαν,
Πρὸς δ' αὖ τὸ χεῖρον αὖθις εἰς ἀρυθμίαν.
Εὔρυθμον ὃν ἄρυθμόν τ' (1), ὄγδοον γένος.
Ἔνατον ἄλλο δυσκολώτερον γένος,
Εἰς τοὺς ὁμαλοὺς, εἴς τε τοὺς ἀνωμάλους
Σφυγμοὺς πεπονθὸς τὴν τομὴν ἐκ τῆς τέχνης.
Ἀμφω δ' ἀνεύρεις ἀκριβώσας τὴν τέχνην
Μιᾷ κινήσει καὶ πολλαῖς ἀρτηρίαις.
Ὁμαλὸς ὃν πέφυκεν ἐν πολλοῖς τόνος,
Ὃς τὰς κινήσεις τοῦ τόνου καὶ τοῦ τάχους,
Ἁπλῶς τε πάντων τῶν γενῶν ἐν τῷ μέρει,
Ἴσας φυλάττει μηδαμοῦ τετραμμένας·
Ἀνώμαλος δὲ ἐστιν ἐξ ἐναντίου,
Ὁ μὴ φυλάττων τάξιν ἐν κινουμένοις·
Οὗπερ γένους (2) πέφυκεν ἐκλελεγμένος
Εἶτ' αὖθις ἄλλος, ὃν παρεμπίπτοντά πως
Οἱ τῆς τέχνης λέγουσι προσφυεῖ λόγῳ.
Ὁ μὲν γὰρ ἐστι προσδοκωμένου τόνου
Ἔλλειψις ἀπρόπτωτος ὡς πρὸς τὴν φύσιν·
Ὁ δ' ἄλλος ἐστὶν, εἰ παρεμπέσοι μέσος,
Ἀπροσδόκητος καὶ παρὰ τῆς ἡσυχίας·
Αἱ δὲ κινήσεις ὥσπερ ἐκ τῶν κλιμάκων
Πᾶσαι καταῤῥέουσιν εἰς τοὐναντίον·
Τοῦτον μυωρίζοντα (3) τὸν σφυγμὸν καλεῖ.
Αὕτη μέν ἐστι τῶν ἀνωμάλων φύσις;
Σφυγμῶν πολλῶν σύστημα τυγχάνουσά πως·
Ἄλλη δέ τις πέφυκε ποικιλωτέρα,
Σφυγμὸν τὸν αὐτὸν δεικνύουσα ποικίλως·

(1) Codex, ἄρυθμον.
(2) Codex, γένος.
(3) Codex, μειουρ. et eadem manu υ super ει.

Τέμνει γὰρ οὕτως τὴν διάστασιν λόγης.
Θᾶ σφυγμὸν ὁρμήσαντα συντομωτέρως,
Ἔπειθ' ὑφέντα τᾶ τόνᾳ καὶ τᾶ τάχᾳς,
Καὶ συστάλέντα πρὸς τὸ τέρμα τᾶ δρόμᾳ,
390 Ἢ καὶ διαλλάξαντα πρὸς τἐναντίον,
Αὖθις δέ μοι ποίκιλλε ταῦτα τῷ λόγῳ.
Ἡ γὰρ κίνησις ἡ παρεξηλλαγμένη
Ἄτμητός ἐστιν, ἢ πάλιν τετμημένη,
Καὶ τὴν τετμημένην δὲ τῷ λόγῳ τέμνε·
395 Ἢ γὰρ πάλιν πρόεισιν, ἢ τετραμμένη
Παλινδρομεῖ πως ὥσπερ ἀντωθᾳμένη (1).
Ἀλλ', εἰ μὲν ὡς ἄτμητος ἴσχει τὸν δρόμον
Τῆς ὠκύτητος καὶ βραδυτῆτος μέσως,
Ἀνισοταχής ἐστιν ὠνομασμένη·
400 Εἰ δ' ἠρεμοίη καὶ πάλιν διατρέχοι (2)
Ἐκ βραδυτῆτος εἰς ταχύτητα πλέον,
Ἡ κλῆσις αὐτῷ δορκαλίζων τυγχάνει·
Παλινδρομῶν δὲ δίκροτος πέφυκέ πως.
Σφυγμῶν δὲ κλῆσίς ἐστι ποικιλωτέρα·
405 Ἡ κυματώδης, ἡ κατὰ σκώληκά τε,
Μύρμηκος ἄλλην κλῆσιν ἠμφιεσμένη,
Παλμῶδες ἄλλο μυριόκλονον γένος,
Ὁ δὲ κλονώδης, αὖθις ἄλλος ἐμπείων,
Ὧν δύσκολός τις ἡ φύσις καὶ ποικίλη,
410 Καὶ πρὸς τὰ μέτρα δυσκολωτέρα πλέον.
Δέκατον ἄλλο καὶ τελευταῖον γένος,
Ἀνωμάλᾳ γέννημα τᾶ λελεγμένου,
Οὗ τὸν μὲν εἴποις τὸν σφυγμὸν τεταγμένον (3),

(1) Codex, ἀντιθ.
(2) Cod. ἠρεμοίη.... διατρέχοι.
(3) Codex, παμένον, quod correxi. Nota est permutatio

Τὸν ἄλλον αὖ ἄτακτον ἀκριβεῖ λόγῳ·
415 Ὁ μὲν γὰρ ἴσος πανταχῇ, τεταγμένος,
Ὁ παντελῶς δ' ἄνισος ἠριθμημένος
Ἄτακτός ἐστι περισφῶς κεκλημένος,
Ἀνωμάλῳ (1) δ' ἄτακτος ἡ ταυτὸν πέλει·
Ὁ γὰρ φυλάττων τάξιν εἰς ἀνωμάλης
420 Τεταγμένος πέφυκεν ἀντεστραμμένως.
Καὶ τῶν μὲν ἄλλων ὠνομασμένων ἄνω
Μέσος τίς ἐστι σύμμετρος κεκλημένος·
Τῶν ὁμαλῶν δὲ τῶν τε μὴν ἀνωμάλων,
Καὶ τῶν ἀτάκτων τῶν τε μὴν τεταγμένων,
425 Σφυγμός τις ἡ πέφυκεν ἡδόλως μέσος.

Περὶ διαχορημένου.

Ὀτλεύεταί τις (2) πρὸς τὸ μέλλον τῆς νόσου
Οὐ σφυγμικοῖς χρώμασιν, ἀλλὰ κ̓ κόπρις,
Καὶ ποιότησι πτυσμάτων πολυχρόοις·
Οὔρων τε σημειώσις ἀρκεῖ πολλάκις
430 Δεῖξαι τὸ μέλλον, ὡς ὁ Πύθιος τείπης.
Ἡ μὲν γὰρ ὑπόπυρρος ἐν χρόᾳ κόπρος
Τὴν σύστασιν δείκνυται μαλακωτάτην·
Καὶ μὴ λίαν δύσοσμος κ̓ σεσημμένη (3)
Σημεῖον ἐστὶν ἀσθενήσης γαστέρος·
435 Τῆς κρείττονος δ' αὖ ἕξεως γνώρισμά τι (4).
Πυρρὰν δὲ δεινῶς σκκενωθεῖσαν κόπρον
Νόσου χολώδους σύμβολον σαφῶς ἔχε·

temporum quorumdam in verbis πίνω et πάσσω: vide quæ monui in Notit. Mss. tom. XI, part. II, p. 63, coll. Proclo in Platonis Parmenidem, I, pag. 38.

(1) Codex, ἀνωμάλως.

(2) Schol. μαντεύεταί τις.

(3) Cod. δύσοσμον καὶ σεσημμένην, cum varietate δύσοδμον. Infra 1153, κάκοσμον est sine varietate scriptum.

(4) Deest nonnihil.

Χλωρὰ δὲ κόπρος τὴν ἰώδη δεικνύει,
Ἡ δ' αὖ (1) μέλαινα τὴν μέλαιναν εἰκότως,
440 Ψύξιν πελιδνὴ (2) κ᾽ νέκρωσιν τοῦ βάθους
Ἡ λιπαρὰ σύντηξιν (3), ἡ γλίσχρος πλέον.

Ἐντεῦθεν οὖρων ἄρξομαι γνωρισμάτων. περὶ οὔρων.
Ἄρισον οὖρον σύμμετρον τῇ συστάσει,
Λευκὴν ὁμαλὴν τὴν ὑπόστασιν φέρον,
445 Συνημμένην μάλιστα, μὴ κεκομμένην,
Τὸ χρῶμα πυῤῥὸν, ὑπόπυῤῥον ἐξ ἴσου,
Ξανθοῦ τε λάμπον ἀκριβῶς στιλβηδόνι.
Τῶν χρωμάτων δὲ τυγχανόντων (4) ποικίλων,
Πρῶτον τὸ λευκὸν, εἶθ' ὕπωχρον τυγχάνει·
450 Μέσον δὲ τούτων, χρωμάτων πολὺ πλάτος·
Τὸ πρῶτον ὃ γράφουσιν εἰκότως γάλα,
Μορφὴν ἔχον γάλακτος ἠκριβωμένως·
Τὸ δεύτερον δὲ γλαυκὸν ἐστι τὴν φύσιν·
Τὸ χαροπὸν δ' ἔπειτα τοῦ γλαυκοῦ κάτω
455 Μαλοῖς καμήλων πρασφυῶς εἰκασμένον,
Ἢ πρασφυές πως τοῖς ὀνυχίταις λίθοις·
Ἔπειθ' ὕπωχρον ὡς.....δεδεγμένον (5),
Τὴν ὁμόβραστον (6) εἰκονίζον χυμένην·
Βαφέν τε μᾶλλον (7) ὠχρὸν ἐστι τὴν χρόαν.
460 Τὸ δ' ὑπόπυῤῥον Κελτικοῖς χρυσοῖς ἴσον,
Τὸ δ' αὖ γε πυῤῥὸν ἀκριβῶς βεβαμμένον,

(1) Codex, ἧς αὖ.
(2) Cod. πελιδνήν. Galenus De urin. t. IV, p. 412 : τὸ δὲ πελιδνὸν (οὖρον) ψύξιν καὶ νέκρωσιν ἐμφαίνει τῆς δυνάμεως.
(3) Codex, σύντηξις.
(4) Codex, τυγχάνον τῶν.
(5) Sic cod. cum lacuna. Desunt syllabæ duæ. Puto scribendum δεδιγμένον.
(6) Sic codex.
(7) Codex, βαφέντος μᾶλλον.

Εὐρίζον (1) ὄντως εἰκονίζον χρυσίον·
Κνίκῳ μὲν ὑπόξανθον ἐμφερὲς πέλει,
Τὸ ξανθὸν αὖθις εἰκονισμένον κρόκῳ·
465 Τὸ δ' ὑπέρυθρον φοινικοῦν πέφυκέ πως
Ἐξ ἰχορώδους (2) αἵματος βεβαμμένον·
Τὸ δ' αὖ ἐρυθρὸν αἵματος φαίνει χρόαν·
Τὸ δ' οἰνόχρουν τε πορφυρίζον αἵματι·
Τὸ κυανοῦν δ' ἔοικε τῷ σεσημμένῳ·
470 Μίξις τὸ φαιὸν (3) χρωμάτων ἐναντίων·
Τὸ χλωρὸν ὥσπερ ἡ ποάζουσα χλόη·
Τὸ δ' αὖ πελιδνὸν ὡς μόλυβδος τυγχάνει·
Ἐφ' οἵσπερ ἐστὶ τοῦ μέλανος ἡ χρόα.
Τοῦ σώματος δὲ τριπλεκοῦς πεφυκότος
475 Ἐκ πνευμάτων, ὑγρῶν τε καὶ στερεμνίων,
Πάλιν τριφυὴς τῶν στεγανῶν οὐσία
Ἐκ πιμελῶν, σαρκῶν τε καὶ τῶν ὀστέων,
Ἀφ' ὧν ἑκάστων ἡ σμύχουσα θερμότης
Οὖρον καθιστᾷ σύντομον καὶ ποικίλον·
480 Ἐκ πιμελῆς γὰρ ἂν βάθει τετηγμένης
Ὅμοιον ὡς (4) ἔλαιον οὖρον ἐκτρέχει.
Αἱ ποικίλαι δὲ συστάσεις τε καὶ χρόαι
Καὶ ποικίλας ἔχουσι κλήσεις εἰκότως.

(1) De εὐρίζῳ χρυσίῳ vide not. ad Aristæn. p. 310.

(2) Forsitan corrigenda mala scriptura: cf. 1048. Herod. Epimer. p. 55, de voce ἰχώρ: κλίνεται ἰχῶρος. Permutantur passim ω et ο. G. Pisides De vanit. 260: Μή πως, ὁμοφρονοῦσα τῷ συνεργάτῃ Θυμῷ, παρέξει τὸν διφρστάτην λόγον, Μέσον δὲ πῦον εὐρεθῇ πεφυρμένον Ὄχημα λαμπρὸν ἐκ Θεοῦ πεπηγμένον: cod. 1630, p. 165, bene, παρέξῃ et πύτων. Ibid. 90: Τὸ πῦ βίου θέατρον αἰχμῆς γέμων: cod. bene, γέμον.

(3) Herod. Epimer. p. 163: φαιὸς, ὁ λευκομέλας. Cf. G. Merula ad Mart. 1, 97.

(4) Cod. εἰς, et supra, eadem manu, ὡς.

Τὸ πρῶτον ἐστὶ περσφυῶς ἐλαιόχρων,
485 Ἐλαιοφανὲς δεύτερον κεκλημένον,
Τὸ τρίτον εἰς ἔλαιον ἠκριβωμένον.
Εἰ χρῶμα δ' εἰσδέξεται συγκεκαυμένον,
Σπασμὸν περδηλοῖ καὶ τελευτὴν αὐτίκα·
Εἰ δ' ἐκ νεφρῶν πρέεισιν, ἀθρόον τρέχει.
490 Τὸ δ' αὖ πέταλον καὶ πίτυρον καὶ κρίμνον
Ὑποστάσεις λέγουσι τῶν στερεμνίων·
Τὸ μὲν γάρ ἐστιν ὡς λεπίης δεδειγμένον,
Πόδαγρόν (1) ἐστιν οὐσίας παχυτέρας.
Τὸ δ' αὖ γε κρίμνον ὡς τὸ σῶμα τοῦ σίτου
495 Ἐν τῷ μύλωνι συντριβέντος τῇ μύλῃ·
Σύντηξίς ἐστι τοῦτο τῶν στερεμνίων.
Σκόπει δ' ὅμως τὸ χρῶμα τοῦδε τοῦ κρίμνου·
Λευκὸν γὰρ ὂν πέφυκεν ἐκ τῶν ὀστέων·
Εἰ δ' αὖ ἐρυθρὸν, αἵματος διεῤῥύη.
500 Οὖρον δὲ τὴν κάκοσμον ὄσφρησιν νόει.
Οὖρον κάκοσμον καὶ δακνῶδες ἐν νόσοις
Σεσημμένην δείκνυσιν (2).....
Αὖθις δὲ λευκὸν ἐκρυὲν τετραμμένοις,
Ἔλυσε τούτοις τὴν σκοτισθεῖσαν φρένα.
505 Ἐν πυρετοῖς δὲ περδραμὸν τοῖς ὀξέσι
Μέλαν, δυσῶδες, θάνατον περμηνύει,
Εἰ μὴ περῆλθε κύστεως κακουμένης.
Αἱ δ' ὀρθώδεις χυμάτων ὑποστάσεις
Ἐκ σαρκικῆς ῥέουσι πάντως οὐσίας.

(1) Forsan leg. πίτυρον.

(2) Sic cod. cum lacuna. Sententia similis fuit Galeni De urinis p. 413 : τὸ δυσῶδες οὖρον τὴν σῆψιν δηλοῖ καὶ τῆς φύσεως νέκρωσιν. Inde suspicor Pselli fuisse verba, στο. δείκνυσιν ἐν βάθει φύσιν, vel στο. δείκνυσι καὶ νεκρὰν φύσιν.

510 Οὔρου δὲ τριτῆς τυχαούσης οὐσίας
(Τὸ μὲν γὰρ ἐστι χρῶμα, δεύτερον χῦμα,
Ὑπόστασις δὲ καὶ τελευταῖον· τρίτου (1),
Ἢ, μᾶλλον εἰπεῖν, τοῦ παρεγκεκραμένου,
Τριτίη πέφυκε κλῆσις ἁρμοττουσά πως
515 Πρὸς τὴν θέσιν κάλλιστα καὶ τὸ χωρίον·
Ὑπόστασις γὰρ ἡ κάτω τεθειμένη·
Τὸ δ' αὖ μεταξὺ χύματος περιστλέον
Καλοῦσιν αἰώρημα περσφυεῖ λόγῳ·
Τὸ τὴν ἄνω χώραν δὲ περσφυῶς ἔχον
520 Νέφος καλοῦσιν, οἱ δὲ πολλοὶ νεφέλην),
Οὔρου δὲ τριτῆς τυχαούσης οὐσίας,
Οὐ πάντα πασὶ μίγνυται φύρδην ἅμα.
Λεπτὸν γὰρ οὖρον τὴν φύσιν καὶ λευκόχρουν
Ἄπεπτον οὐ δέξαιτο μίξιν εἰκότως
525 Τοῦ νεφοειδοῦς σώματος τῆς οὐσίας·
Πῶς γὰρ συνέλθοι πέψις εἰς ἀπεψίαν;
Κἂν πυρρόν ἐστι, κἂν ὠχρόν, κἂν ξανθόχρουν,
Μένει δὲ λεπτὸν, οὐ κραθεὶν τῷ νέφει.

Κείσθω δὲ ταῦτα μέχρι μοι τοῦ μετρίου.
530 Πολλὴ γὰρ ἐστι μίξεων ποικιλία,
Ἐμοὶ δὲ γνώμη καὶ σκοπὸς τῶν ἐμμέτρων,
Μὴ πάντα πάντως συλλαβεῖν τὰ τῆς τέχνης,
Μικρὰν τεχεῖν (2) ὄρεξιν ἀνδράσιν φίλοις

(1) Codex, πλευπαῖον τρίτον.

(2) Ni desit versiculus, syntaxis est subobscurior. Subaudio ὥστε, scilicet ὥστε πικεῖν ὄρεξιν. Cod. ἀνδράσι: sic 811, 1132, πιπνθόσι: 994, ἀλγύνουσι. Vel in his poetastris metrum juvandum est, quum menda librariis tribui posse videntur. G. Pisides De vanit. 19, Ὑψούμενος δὲ δυσυχεῖ, μεταρσος: vel sine cod. corrigendum μεταρσίως, sublata virgula, favetque

Γραμματικοῖς, ῥήτορσι καὶ φιλοσόφοις
535 Τῆς τῶν ἰατρῶν ἀκριβεστάτης τέχνης,
Ὅπως, ποθοῦντες τὰς χάριτας τοῦ μέτρου,
Σὺν τῷ μέτρῳ λάβωσι καὶ τὰ τῆς τέχνης.
Ἀρκοῦντες οὖν δὴ ταῦτα τῶν οὕρων ὅρει.

Περὶ πυρετῶν.

Τῶν πυρετῶν δὲ γνῶσιν ἐντεῦθεν λάβε.
540 Ὅρος πέφυκε πυρετοῦ τῆς οὐσίας,
Παρατραπεῖσα θερμότης τῶν σωμάτων
Ἐκ καρδίας ῥέουσα ταῖς ἀρτηρίαις,
Καὶ πρὸς τὸ πᾶν χυθεῖσα σώματος πέρας,
Καὶ τὰς ἐνεργοὺς δυνάμεις τε καὶ φύσεις
545 Σαφῶς καταβλάπτουσα τῇ δεινῇ ῥέσει.
Ἡ θερμότης δὲ ποιότης δεδειγμένη
Τὸ μᾶλλον εἰσδέξαιτο καὶ τοὐναντίον.
Ὡς οὐσίας δὲ τοῦ πυρετοῦ (1).....
Διαιρέσεις διδοῦμεν ἀκριβῶς δύο·
550 Διαφορὰς μάλιστα ταύτας ῥητέον.
Ἄλλη μέν ἐστιν οὐσιώδης τῷ λόγῳ,
Ἐπουσιώδης ἀκριβῶς ἡ δευτέρα.
Τοῦ σώματος δὲ τριπλεκοῦς πεφυκότος (2)
Ἐκ πνευμάτων, ὑγρῶν τε καὶ στερεμνίων,
555 Ὁ μὲν τίς ἐστι πυρετὸς τῶν πνευμάτων,
Ὑγρῶν τις ἄλλος, ἄλλος αὖ στερεμνίων (3).
Πρῶτον δὲ πάντων σκεπτέον τῷ τεχνίτῃ
Τὴν τῆς ὕλης ὕπαρξιν, ἥτις τυγχάνει·
Ψυχρά τίς ἐστι, καὶ παχεῖα τὴν φύσιν,

correctioni codex 1630, pag. 163.
(1) Sic codex. Forsan, ὡς οὐσ. δὲ πυρετοῦ δεδειγμένης.
(2) Confer versum 474.
(3) Finem versus, ος αὖ στερεμνίων, addidi.

560 Ἢ (1) ποιότητας τὰς ἐναντίας ἔχει;
Ἔπειτα τοῦτο δευτέρως τηρητέον·
Ἄσηπτός ἐστιν, ἢ πάλιν σεσημμένη (2);
Εἶτ' αὖθις ἄλλο μᾶλλον ἀκριβωτέον·
Ἐκτὸς πέφυκε τῶν φλεβῶν ἢ θερμότης (3),
565 Ἢ φλεψὶ χρῷτο μᾶλλον οἰκητηρίοις;
Οὐ πάντα γὰρ πάντα δρῶσι τῇ φύσει.
Ἔχει δ' ἔκτον τε τὸν κατάλληλον λόγον·
Τὸ περιφιλὲς γὰρ αἷμα καὶ τηροῦν φύσιν,
Ἄσηπτον ὄν, πλεῖστον δὲ, καὶ φλεβῶν ἔσω,
570 Πληθωρικὴν δράσειε σώματος φύσιν.
Εἰ πυρετῶν ἄτμητον ὂν ζέσει γένος,
Ἐντυγχάνει δὲ τῇ φύσει σεσημμένον,
Ὕλης σαπείσης πυρετός σοι δεικνύει·
Εἰ δ' εἰς ἓν ἐκρεύσειε σώματος μέρος,
575 Σαπὲν μὲν, ἐργάσαιτο τὰς ἀποστάσεις
Ἃς φασιν ἀπόστημα τεχνικοὶ λόγοι·
Εἰ δ' οὐ σαπῇ (4), βλάστημα φοινικοῦν φύσει.
Τὸν αὐτὸν ἕξει καὶ χολὴ τούτοις τρόπον·
Εἰ μὲν γὰρ εἰς ἅπασαν οὐσίαν δράμοι
580 Εἰλικρινὴς, ἄσηπτος, ἔκτερον δράσει·
Σαπεῖσα δ' ἐργάσαιτο καύσων' ἐν βάθει·

(1) Codex, ἢ. Habet ἢ v. 571.
(2) Cod. σεσημμένος cum η superscripto.
(3) Addidi ἢ θερμότης.
(4) C. σαπῇ: cf. 640; et 1157, ubi cod. εἰ ῥαγῇ. Vitium solenne, e pronunciatione ortum. Lucianus Demon. 66: πόῦ; οὐκ αἰσχρὸν ὀρνέοις καὶ κυσὶ βορὰν τρεπθῆναι πλικούτου ἀνδρὸς σῶμα; rescrib. τρεπθῆναι, quod habet c. 3010. Porphyrius ad Marcell. § 16: τιμήσεις μὲν ἄριστα τὸν Θεὸν, ὅταν τῷ Θεῷ τὴν σαυτῆς διάνοιαν ὁμοιώσεις: rescrib. ὁμοιώσῃς, etsi illa scriptura secure vir d. fuerit usus. Jo. Moschus Prato 27: ἕως ἂν θελήσῃ σε ὁ Θεὸς εἶναι ἐν τῇ ζωῇ ταύτῃ: vel in Joanne Moscho θελήσῃ legendum pnto.

Ἐκτὸς δὲ τυγχάνουσα τῶν φλεβῶν πάλιν
Τριταῖον ἐργάσαιτο τὸν κεκομμένον·
Εἰ δ' ἐγχυθείη σώματος πρὸς ἓν μέρος,
585 Ἕρπητα μὲν πλάσειεν, οὐ σεσημμένη (1),
Σεσημμένη δ', ἕρπητα βιβρώσκοντά πως.
Χυμὸς δ' ὁ δεινὸς καὶ μελάγχρως τὴν φύσιν,
Εἰ πᾶν συνέξει, σῆψιν οὐ δεδεγμένος,
Μέλανα (2) ποιήσειεν ἵκτερον φύσει,
590 Σεσημμένος δὲ, τὴν τεταρταίαν ζέσιν
Ἄτμητον ἐντὸς, εἰ δὲ μὴ, τετμημένην.
Εἰ δ' αὖ ἐπεισφρήσειεν (3) εἰς ἓν χωρίον,
Σκίῤῥον μὲν ἐργάσαιτο μὴ σεσημμένος·
Σεσημμένου δὲ πολλὰ τεχθῇ (4) θηρία,
595 Γάγγραινα, φαγέδαινα, πολλοὶ καρκῖνοι.
Τοῦ φλέγματος δὲ πολλαπλοῦ πεφυκότος
(Τὸ μὲν γὰρ ὡς ὕαλος αὐτὸς τυγχάνει,
Τὸ δ' ἁλυκὸν πέφυκεν, ὀξῶδες τρίτον,
Τὸ δὲ γλυκείας ποιότητός ἐστί πως),
600 Ὅπερ πέφυκεν ὡς ὕαλος τὴν φύσιν (5)·
Τὸ δ' αὐτό σοι δράσειεν ὀξῶδες γένος,
Τὸ δ' ἁλυκόν τι πυρετοὺς καθ' ἡμέραν,
Ἀμφημερινοὺς παρόξυνσιν κεκλημένους·
Τὸ δὲ γλυκὺ πρασινές ἐστι τῇ φύσει.
605 Γνωρισμάτων δὲ πυρετῶν ἐφημέρων

(1) Codex, σεσημμένην, et sic statim. Habet supra ἐγχυθείη.

(2) Codex, μίλαινα.

(3) Codex, ἐπεισφρύσειεν. Etiam confunduntur η et υ, quod non semel animadverti. Lucianus Phal. I, 11: ὁ μὲν οἰμώξεται καὶ βοήσεται, ἀλήκτοις παῖς ὀδύναις ἐχόμενος: cod. 3010, ἀλύκτοις, quod placet. Fabula Æsopica pag. 369 Corayi: Λύπη μοι πολὺ ὑπάρχει διὰ τοῦτο: velim πολλή.

(4) Forsan πόλλ' ἐπέχθη.

(5) Sic codex. Est lacuna.

Ἡ γνῶσις αὕτη· πέψις οὔρων αὐτίκα,
Τὸ θερμὸν ἡδύ, τοῦ νοσοῦντος ἡ φύσις
Οὐ δυσφόρως φέρουσα τὴν ἀῤῥωστίαν,
Ἀρτηριῶν κίνησις οὐ τονουμένη·
610 Θυμοὶ δὲ τούτων αἴτιοι καὶ φρεντίδες,
Ἀγρυπνία τε καὶ κόπος καὶ ξηρότης,
Ἔγκαυσις, ἢ σύντασις (1), ἠδ' ἀσιτία.
Τῆς σήψεως δὲ πυρετοὺς τοὺς ὀκτώνους
Ἐξεικονίζει ξηρότης καὶ θερμότης,
615 Δεινή, δριμεῖα, καὶ καπνώδης ἐσχάτως,
Μικροῦ κατεσθίουσα καὶ τοὺς δακτύλους,
Οὔρων ἔπειτα συμφυὴς ἀπεψία.
Τῶν δὲ τριταίων κήρυκές σοι μυρίοι·
Ῥῖγος κλονῶδες, δίψος ἀκριβῶς φλέγον,
620 Ζέσις πυρίπνους, εἶτά πως ἠτιωμένη,
Ἱδρὼς ἕτοιμος, εἰ ποτῷ χρήσαιό μοι,
Γαστρὸς τάραξις καὶ χολῆς ἀποβλύσεις,
Ὡρῶν δυοκαίδεκα τῇ ῥέσει χρόνος.
Σημεῖα δ' ἄλλα τοῦ τεταρταίου τρόμου·
625 Ψύξις τὸ πρῶτον, ἀσθενής τε θερμότης,
Οὖρόν τε λεπτὸν, ὑδατῶδες, λευκόχρων,
Σφυγμοί τ' ἀραιοὶ καὶ μέγιστοι πολλάκις.
Ὁ δ' αὖ βαρύνων τὴν φύσιν καθ' ἡμέραν
Ἀμφημερινός ἐστιν ἠκριβωμένος,
630 Οὗ πρῶτόν ἐστιν ἀκριβὲς γνώρισμά τι,
Ψύξις δυσεκθέρμαντος, οὐ πολλὴ ῥέσις,
Αὖθις κένωσις φλέγματος παχυτάτου,
Χροιά τις ὠχρόλευκος, οὔρων λεπτότης,
Ἐρυθρότης τε πολλάκις καὶ παχύτης.

(1) Sic codex, cum varietate σύντηξις.

Ὁ δ' ἠπίαλος (1) συνθέτως κεκλημένος
Ἀμφημερινῷ σύζυγός πως τυγχάνει,
Ἐξ ὑαλώδους πνεύματος τεταγμένος,
Οὗ μὴ σαπέντος, ἐνσπαρέντος δ' εἰς ἅπαν,
Ῥίγους ἀνεκθέρμαντον ἀνθήσει φύσιν·
Ἐξ ἡμισείας δ' εἰ σαπῇ τῇ διπλόῃ,
Καὶ διπλόην ἔφυγεν ἀρρωστημάτων.
Ὧ μὲν γὰρ οὐ σέσηπεν ἐμβάλλει (2) ῥῖγος,
Ὧ δ' ἑτέρᾳπη δράσειε θερμότητά πως.
Οἱ μὴ τετμημένοι δὲ τοῖς τετμημένοις
Ὁμοιοτήτων τυγχάνουσι πλειόνων.
Μία γὰρ αὐτοῖς φύσεως ἀνισότης,
Τὸ μὴ τελευτᾶν εἰς ἀθέρμαντον τέλος.
Καύσου δὲ συμπτώματα ταῦτα τυγχάνει·
Δῆξις στομάχου, δίψα συντεταμένη,
Μέλαινα γλῶσσα, τερσφυὴς ἀγρυπνία,
Παρεκτεροπή τε τοῦ φρονοῦντος πολλάκις.
Τῶν ἑκτικῶν δὲ τοὺς φθάσαντας ὀν τέλει
Εἰς τὸν μαρασμὸν ὧδε θηράσαιό μοι·
Πολλαὶ γὰρ αὐτοὺς δεικνύουσιν εἰκόνες·
Τὰ πρῶτα
Ξηραὶ (3)
Ξηρὸν μέτωπον, κ᾽ μύσις τῶν βλεφάρων,
Σφυγμοί τε πυκνοὶ, δέρματός τε ξηρότης,

(1) Codex, ἠπίαλος, aspere.
(2) Cod. ἐμβάλει. An ἐμβαλεῖ?
(3) Sic codex, deficientibus duobus versibus ferme integris. Lacunam, quoad sensum, implebit Galenus De differ. febr. I, pag. 327: ὁ μὲν δὴ συνεμπίπτων τῷ μαρασμῷ πυρετὸς ἑκτικὸς ἐπιμόνος ἐστι καὶ χειροήθης γνωσθῆναι· πρὶν μὲν γὰρ ἅψασθαι τῶν τε σφυγμῶν καὶ τῆς θερμασίας, ὀφθαλμοὺς κοιλοὺς ἀμέτρως θιάσῃ, καθάπερ ἐν βόθροις ποιν ἐγκειμένους, ἐξ ἀπωλείας ἁπάσης αὐτῶν τῆς ὑγιοῦς οὐσίας. . . καὶ λῆμαι κατ' αὐτοὺς ἐμφαίνονται ξηραὶ καί τις αὐχμώδης διάθεσις. . .

Καὶ ζωτικοῦ σπέρησις ἄνθους σωμάτων (1).
660 Ἀμφημερινὸς δ' εἰ τριταίῳ συνδράμοι,
Ἄτμητος, ὡς ἔοικε, τῷ τετμημένῳ,
Ἡμιτριταίου συμπλάσειεν οὐσίαν.
Οὗτος δὲ διπλοῦς ἐστιν, ἢ κατὰ κρᾶσιν,
Ἢ τοῖς πέρασι τῶν δυοῖν μεμιγμένος.
665 Ἀλλ' εἰ μὲν ἴσοι συνδράμωσιν οἱ δύο,
Φύκην ἀπειργάσαντο τὴν καλουμένην,
Μέσως ἔχουσαν μίξεώς (2) τε καὶ κλόνου·
Τοῦ δρασικωτέρου δὲ τῶν συγκειμένων,
Ἴδοις ἐναργεῖς καὶ πλέον τὰς δυνάμεις.

670 Πάθη δὲ λοιμοῦ δεινά πως καὶ ποικίλα.
Παρεκτεσπαὶ νοῦ καὶ χολῆς ἀποβλύσεις,
Τῶν ὑποχονδρίων τάσεις τε καὶ πόνοι,
Ψύξις, ἱδρῶτες, καὶ διάῤῥοια πλέον,
Οὖρον χολῶδες, θώραχος σφοδρὰ ζέσις,
675 Δίψα δριμεῖα, γλῶσσα συμπεφρυγμένη.

Τῆς συγκοπῆς δ' αὖ αἴτια ταῦτα φύνει·
Ἀγρυπνίαν, κένωσιν, ἄλγημα τρύχον.

Σύντηξίς ἐστι τῆς καθ' ἡμᾶς οὐσίας
Φθορὰ τοῦδηλος γαστρόθεν κενουμένη,
680 Ὀρέξεως ἔκπτωσις ἐκ διτοῦ πάθους (3),
Χυμῶν πονηρῶν, κράσεώς τε δυσκράτου.

Ὁ βούλιμος δὲ παντελὴς ἀσιτία·

(1) Est varietas αἱμάτων.
(2) Forsan ψύξεως.
(3) Codex, τρόπου, cum varietate πάθους, quam elegi.

Ἡ δ' αὖ κυνώδης τῆς ὀρέξεως τάσις
Ἐκ φλέγματος μέν ἐςιν ὀξώδους φύσει·
685 Τοῦ δ' ἐσθίειν πέφυκε πῦρ ἀπληςίας.

Ἡ ναυτία πέφυκε γαςέρος κλύδων,
Χυμῶν πονηρῶν ὧδε συμπεπλεγμένων.

Τὸν λυγμὸν ἡ κένωσις αὔξει γαςέρος,
Ἢ μᾶλλον ἡ πλήρωσις ἀντεςραμμένως.

690 Τοῦ λειποθυμεῖν (1) ἡ κένωσις αἰτία,
Καὶ πῦρ φλογίζον ἐμφύλως τὴν καρδίαν.

Ἄλγος κεφαλῆς, φλεγμονὴ τῶν ἐγκάτων,
Παρατερπή τε τῶν φρενῶν τεταμένη.

Ἐκ ξηρότητος τὴν φαλάκρωσιν φέρει·
695 Τὰ τοῦ γένους τίθει δὲ πλὴν τῶν σχημάτων,
Ἀλωπεκίτας, ὀφεωνύμους τύπους (2).

Ἡ πιτυρώδης τῆς κεφαλῆς οὐσία
Χολῆς δριμείας, αἵματος μελαγχόλου,
Καὶ φλεγμάτων αὖ ἁλμυρῶν γέννημά τι (3).

700 Ἀχὼρ κεφαλῆς δέρματος γλίσχρον πάθος,

(1) Codex, τὸ λυποθυμεῖν. Soni parilitas in causa sæpe fuit cur ει et υ confusa fuerint a librariis. Hermetis libellus De herbarum decoctione in ipso statim initio valde corruptus est; poterit tamen aliquatenus juvari, si, pro ὅμως γοῦν ἐπιθόμην, legatur ὅμ. γ. ἐπυθόμην: dixerat enim Hermes, ἐπρώτα περὶ ὧν ἐθέλεις. Horum temporum similem confusionem vide ad Eunap. pag. 579.

(2) Hæc non esse integra puto.

(3) Codex, γεννημάτων.

Τιτρῶν τὸ δέρμα, τοῖς μελιτῶν κηρίοις
Ἐοικὸς (1) εἰς τύπωσιν ἀκριβεστάτην·
Γεννᾷ δὲ τοῦτο φλέγμα νιτρῶδες μόνον.

Ὅταν ἴδῃς βλάστημα πυῤῥὸν, στρογγύλον,
705 Ἑλκῶδες, ὑπόσκληρον, ἀλγύνον φύσιν,
Σῦκον τὸ βλαστὸν ὡς φερώνυμον καλεῖ.

Ἄλγος κεφαλῆς, δύσφορον σύμπτωμά τι·
Γεννᾷ δὲ τοῦτο δύσκρατός τις ποιότης
Χυμῶν τε πλῆθος, καὶ δυοῖν συζυγία,
710 Ἔγκαυσις αὖθις, ψύξις, ἀλλὰ καὶ μέθη,
Ἡ θερμότης, μᾶλλον δὲ πληγὴ καιρία·
Ἡ ξηρότης δ' ἔλαττον ἀλγύνει κάρην.
Ἀνώδυνον δὲ τὴν ὑγρὰν γίνωσκέ μοι.
Τῶν αἰτίων δὲ τὰς ἀδήλους οὐσίας
715 Καὶ δέρμα δηλοῖ καὶ βολὴ τῶν ὀμμάτων.
Πάθος κεφαλῆς τὴν κεφαλαίαν νόει,
Τὴν ἡμικρανίαν τε τοιοῦτον φρόνει (2)·
Παραίτιοι γὰρ ἐμμόνων ἀλγημάτων,
Ἡ μὲν τὸ πᾶν πλήτουσα δεινῶς κρανίον,
720 Ἡ δ' ἐκ μέρους τύπτουσα πληγαῖς καιρίαις.
Αὔξει δὲ τούτων τῶν παθῶν τὴν οὐσίαν
Οἶνος πολὺς, κραυγή τε καὶ σφοδρὸς ψόφος,
Καὶ λαμπρότητες φωτοειδεῖς πολλάκις.
Ἄλλοις μὲν ἔνδον τῆς κεφαλῆς ἡ πάθη·

(1) Cod. ἐοικώς. Nonnus c. 7: ὁ καλούμενος ἀχὼρ ἐν τῷ δέρματι τῆς κεφαλῆς γίνεται, λεπτοῦς πάνυ τρήμασιν τῷ δέρματι καταπτρῶν. Bernardus legit, τὸ δέρμα τι. Sed particula τι prorsus inutilis est. Legendum τὸ δέρμα. Dativus δέρματι ortus est e depravata articuli scriptura, τῷ pro τό.

(2) Vide Nonnum c. 16.

725 Ἀλγοῦσι τούτοις αἱ βάσεις τῶν δηγμάτων (1)·
Οἷς δ' ἐκτός ἐστι τοῦ πάθους ἡ σφοδρότης,
Τούτοις δυσαλθὲς γίνεται τὸ κραυίον.

Ἡ δὲ φρενῖτις (2) φλεγμονὴ κεκρυμμένη
Μήνιγας ἐκκαίουσα τοὺς πεπλεγμένους (3)
730 Ἢ καὶ τὸν ἐγκέφαλον ἀῤῥήτῳ πάθει.
Γεννᾷ δὲ ταύτην αἷμα πλεῖστον πολλάκις,
Χολή τε δίχρους, ἢ μέλαινα τὸ πλέον,
Μετατραπείσης ὧδε τῆς ξανθοχρόου.
Καὶ τῶν φρενῶν δὲ τῷ πάθει βεβλημένων,
735 Πέπονθεν ἐγκέφαλος ὡσαύτως ἄνω·
Ἐκ τῶν ἄνω γὰρ τῆς κάρας ἀκροσίλεγων
Νεύρων κάτεισιν εἰς φρένας συζυγία,
Δι' ὧν κεκοινώνηκε τοῦ σφοδροῦ πάθους
Ἡ τῆς κεφαλῆς συμπαθής πως οὐσία.
740 Δηλοῖ δὲ ταύτην συμφυὴς ἀγρυπνία
Λήθη τε πάντων, ὄμμα πλῆθον αἱμάτων,
Γλῶσσα τραχεῖα, καὶ βοὴ πεφυρμένη,
Καὶ ψηλάφησις δακτύλων ἄνευ λόγου,
Ἀναπνοῆς κίνησις ἠραιωμένη,
745 Σφυγμοί τ' ἀμυδροὶ καὶ μικροὶ, σκληροὶ (4) πλέον.

Τὴν ἐρυσιπέλατον ἔμφυτον φλόγα
Οὐδ' ἐγκέφαλος ἐκδιδάσκει πολλάκις·
Καὶ γνωείσαις ἄδηλον οἷς ὁρᾷς πάθος,
Ἄλγει κεφαλῆς, λαμπρότητων ἔμφασει (5),

(1) Codex sic, cum varietate vel glossa suprascripta, ὀδόντων.
(2) Vide Nonnum, c. 25.
(3) Forsan πεφλεγμένους.
(4) Codex, σκληροί.
(5) Codex, ἐμφάσεις.

750 Ὑγρῷ προσώπῳ καὶ ψυχρῷ δεδειγμένον (1).

Λογικοῦ πάθημα λήθαργον φέρει,
Ἐκ φλέγματος γέννησιν οὐσίαν τ' ἔχον (2).
Ληθαργικὰ δὲ ταῦτα σημεῖα φέρει,
Ὕπνον πολύν, χάσμην τε, πνεύματος τάσιν,
755 Τὴν τῶν περιτίων ἐκκένωσιν ποικίλην,
Σφυγμοὺς κλονώδεις, καὶ τρόμους τῶν σωμάτων.

Ἡ κατοχὴ πάθος τι δεινὸν τῇ φύσει,
Πλήρωσις οὖσα τῶν φρενῶν τοῦ χωρίου,
Νέκρωσις αὐτόχρημα τοῦ πεπονθότος·
760 Κεῖται γὰρ οὗτος ὕπτιος τεταμένος,
Ἔχων τε τὸ βλέφαρον ἠνεῳγμένον,
Μὴ σκαρδαμύτιειν ὥσπερ ἐκπεπληγμένον (3),
Σφύζον ἀμυδρῶς, ἀσθενῶς, παρειμένως.
Ἐστι δὲ τοῖς πάσχουσι διπλοῦς τις λόγος·
765 Ἢ φλέγματος γὰρ ἰσχύσαντος τὸ πλέον,
Ἢ τῆς χολῆς, πέπονθε τούτοις ἡ φύσις.
Διαιρέσεις δ' ἴσχουσα (4) πρὸς τὴν φρενίτιν
Καὶ τὸν βαρὺν λήθαργον· εἰ γὰρ καὶ μέσως
Ἔχουσιν ἄμφω, πλὴν διαιροῦνται πάλιν.
770 Ἄλλοι δέ φασι μὴ διπλοῦν τὴν οὐσίαν,
Ἁπλῆν δ' ὑπάρχειν τοῦ λελεγμένου πάθους·
Ἥπερ γὰρ ὕλη τὰς ὀπισθίους πύλας,
Ἃς κοιλίας λέγουσι τεχνικοὶ λόγοι,
Φράττουσα πυκνῶς τῆς ὑπερθύρου κάρας,

(1) Codex, διδειγμένων. Scripsi διδειγμένον, scilicet πάθος.
(2) Codex, οὐσίαν ἔχον.
(3) Sic codex. Labat syntaxis. Forsan σκαρδαμύττον.
(4) Sic cod. forsan lacunosus.

775 Τὴν κατοχὴν ἤνεγκεν οὐ ψευδωνύμως.
Ὁ γὰρ πεπονθὼς καὶ κατασχεθεὶς ἄφνω,
Ὡς ἦν κρατηθεὶς σχήματός τε καὶ τύπου,
Μένει κατ' αὐτὸ (1), μὴ λυθέντος τοῦ πάθους.

Τάφος δὲ μνήμης δύσκρατός τις ὑγρότης·
780 Μωρώσεως δὲ καὶ κάρου καὶ ψυχρότης (2),
Τῶν ἐγκεφάλου κοιλιῶν πεφραγμένων.
Ἡ δὲ σκότωσις καὶ δίνη καλουμένη
Στροφή τίς ἐστι τῆς κεφαλῆς πνευμάτων
Καὶ κοιλιῶν σύντριμμα τῶν ἐμπροσθίων.

785 Τὴν ἐπιληψίαν δὲ τοιαύτην μάθε.
Τοῦ σώματος πέφυκεν ἀθρόον κλόνος,
Σπασμὸς, πάθους σύμπλωμα δεινὸν ἐκτόπως,
Τὰς κρείττονας βλάπτουσα (3) πάσας δυνάμεις.
Διττὴν δὲ τούτου τοῦ πάθους τὴν οὐσίαν
790 Ἰατρικοὶ λέγουσιν ἔντεχνοι λόγοι,
Ἢ φλέγμα δεινὸν, ἢ χολὴν μελαντέραν
Τὸν ἐγκέφαλον, τὰς ἐν αὐτῷ κοιλίας,
Πιλοῦσαν ἢ φράττουσαν ἐμφύτῳ βάρει.
Θώραξ τε πάσχων, πολλάκις καὶ κοιλία,
795 Καὶ χεὶρ κακῶς ἔχουσα, καὶ μήτρα πολέον,
Κύτος τε γαστρὸς, χεῖρες αὖθις καὶ πόδες,
Καὶ δάκτυλός τις ἢ μέρος τῶν δακτύλων,
Τὸ δεινὸν εἰργάσαντο τοῦ κακοῦ πάθους,
Ψυχρὰς ἀναβλύσαντος αὔρας ἐκ βάθους
800 Καὶ τὴν κάρραν πολήξαντος (4) ἰώδει βέλει.

(1) Codex, αὐτοῦ.
(2) Sic cod. Locus corruptus.
(3) Forsan βλάπτον ἁπάσας.
(4) Codex, πλήξαντες.

Γνώσῃ δὲ τοῦτο καὶ προγνώσῃ πανσόφως,
Δυσθυμίαν ἄγνωστον εἴς τινα βλέπων
Ψυχῆς τε δεινὴν ἀπεραιρέτως τάσιν,
Ὠχρὸν πρόσωπον, γλῶτταν νηίας ἄνευ,
805 Ὕπνον ταράκτην, συμφορὰς ὀνειράτων.
Κἂν μὴ πρὸς αὐτὰ φαρμάκοις χρήσαιό μοι,
Ἴδοις ἂν αὐτὴν τὴν σκότωσιν αὐτίκα.

Μελάγχολον δὲ καὶ μανιῶδες πάθος
Παρατρεπὴ πέφυκε πυρετοῦ δίχα,
810 Ἢ τῆς κεφαλῆς συμπαθῶς κλονουμένης,
Ἢ συμπαθούσης τοῖς πεπονθόσιν τόποις·
Ἢ τοῦ στομάχου τῷ πάθει βεβλημένου,
Τῶν ὑποχονδρίων τε συμπεπονθότων,
Ἀνερρύη κάτωθεν αὖρα πικρίας
815 Τὸν ἐγκέφαλον συνθολοῦσα ποικίλως.
Σημεῖα τούτῳ, δειλία, δυσθυμία,
Γέλως ἄτακτος, εἶτα πένθος ἀθρόον,
Ἀπεψία, κίνησις ὀξυρεγμίας,
Προγνώσεως οἴησις, ἔμφοβος τρόμος,
820 Πάθη πολυστένακτα, μισανθρωπία,
Ἐνθουσιασμός, συμφορῶν ἀνατλᾶσα (1).

Δεινὸν πάθος πέφυκεν ὁ πυριγαλίων,
Ὃν ἐφιάλτην (2) ὠνόμασαν οἱ πάλαι.

(1) Sic codex. Forsan ἀναπλάσεις.

(2) Cod. αἰφιάλτην. Permutantur de more ι et αι. Sic 595, cod. φαγαίδινα : 1269, φλυκτινοειδές. Illa synchysis corrupisse videtur Synesii medici locum. Animadvertit Synesius pag. 16, in febre diaria ex solis calore orta ægrorum caput corpore ipso esse calidius, διὰ τὸ εἰσὶ τινὶ φλογὸς πῦ ἡλίου εἰς τὸν ἐγκέφαλον αὐτῶν : lego,

Ἐφάλλεται γὰρ ἐξ ἀπέπλου γαστέρος
825 Εἰς τὴν κεφαλὴν οἷα καπνώδης φύσις.
Νυκτὸς δὲ μᾶλλον γίνεταί πως ἡ πάθη.
Καὶ συμπεσόντος ἐξαπίνης τοῦ πάθους
Ναρκῶν ὁ πάσχων δείκνυται νάρκην ξένην·
Νοῶν γὰρ ὡς πέπονθεν, οὐ σθένει λέγειν,
830 Ἀλλ' οἴεται μὲν κἀ κινεῖσθαι κἀ λέγειν,
Μένει δὲ ναρκῶν τῇ κλίνῃ βεβλημένος·
Δοκεῖ δὲ καὶ βάρος αγμα δύσφορον φέρειν,
Φαντάζεται δὲ τοῦτο πολλάκις βλέπειν,
Ὁρᾷ δὲ μηδὲν ὧν δοκεῖ σάφ' εἰδέναι.
835 Κἂν μή τις ἰάσαιτο τοῦτον φαρμάκῳ,
Δεινῇ πεσεῖται συμφορᾷ νοσήματος.

Μελάγχολόν τι πρᾶγμα λυκανθρωπία·
Ἔστι γὰρ αὐτόχρημα μισανθρωπία.
Καὶ γνωρίσεις ἄνθρωπον εἰσπεπλωκότα,
840 Ὁρῶν περιτρέχοντα νυκτὸς τοὺς τάφους,
Ὠχρὸν, κατηφῆ, ξηρὸν, ἠμελημένον.

Τὴν ἀποπληξίαν δὲ χείρονα φρόνει
Παθῶν ἁπάντων, ὡς νεκρῶσαν αὐτίκα.
Ἔμφραξις αὕτη κἀ πίλησις ἀθρόα
845 Τῶν ἐγκεφάλου κοιλιῶν τῶν μειζόνων,
Ὧν ἐμφραγεισῶν πᾶσα σώματος φύσις
Αἰσθήσεως ἄμοιρός ἐστιν αὐτίκα.
Μέρους (1) δ' ὂν αὐτῷ τὴν πάθην δεδεγμένου,
Ἐξ ἡμισείας τοῖς παθοῦσιν ἡ βλάβη.

διὰ τὴ εἰσέναι τὴ φλογὸς, vel τὴ τῆς φλόγος.

(1) Cod. μέρος. Loquitur Psellus de paraplegia.

850 Τοῦ δ' αὖ γε νώτου τὸ βλάβος πεπονθότος,
Τὰ τοῦ προσώπου συμβλαβήσεται κάτω.

Ὁ δ' ἐγκέφαλος τὴν κάκωσιν οὗ πάθοι (1),
Μυῶν ῥαχιτῶν συνταθέντων ἀθρόον
Τετανικὸν πάθημα τὴν τάσιν λέγε.
855 Ψυχροῦ χυμοῦ γέννημα δ' ἔστιν ἡ πάθη.
Ἀλλ' εἰ μὲν εἰς τοὔμπροσθεν ἔστιν ἡ τάσις,
Ἐμπρόσθιον λέγουσι τὴν βλάβην τόνον,
Ὀπίσθιον δ' αὖ, εἴπερ ἦν ὀπισθία·
Ἰσόῤῥοπος γὰρ εἴπερ ἐστὶν ἡ βλάβη,
860 Ἀσύνθετος τέτανος ἐστὶν ἡ νόσος.

Τρόμον κατεργάσαιτο κὴ ψυχρὰ πόσις,
Καὶ γῆρας αὐτό, κὴ ψυχρὰ δυσκρασία,
Χυμός τε γλίσχρος, κὴ φόβος, κὴ ψυχρότης.

Ἡ μὲν τάραξις ὑγρότης τῶν ὀμμάτων
865 Καὶ θερμότης σύμμικτος ἔκ τινος πάθους
Ἔξωθεν εἰσρέοντος εἰς τὴν οὐσίαν·
Ὀφθαλμία γὰρ ἡ τάραξις τυγχάνει.
Κήμων (2) δὲ ἐστὶ τῶν βλεφάρων ἡ τάσις,
Ὡς μὴ καλύπτειν τοὺς κύκλους τῶν ὀμμάτων.
870 Τὸ τῶν φλεβῶν δὲ ῥῆγμα τοῦ προσκειμένου (3)

(1) Puto legendum εἰ πάθοι, versumque ad apoplexiæ descriptionem pertinere, altero, quo sententia absolvebatur, nunc deperdito.

(2) Est, ut videtur, Psello κήμων quod alii κήμωσιν dicunt. Cangius in Glossario κημῶνα affert pro κυμῷ ex anonymo de urinis: ἐὰν ἔχῃ κλόκιον μέλανον, ἡ νόσος αἰτιατός ἐστιν· ἀπὸ μελαγχολικοῦ κημῶνος ἦλθεν ἡ νόσος. Puto legendum κυμῶνος et πλόκιον.

(3) Vide p. 212, n. 3.

Πέφυκεν ὑπόσφαγμα (1), πληγῶν ὂν τόκος.
Τὸ δ' ἐμφύσημα τῶν βλεφάρων οὐσίας
Ὄγκωσίς ἐστιν· ἡ δὲ ψωροφθαλμία
Κνησμός τις ἡδὺς ἂν νίτρων καὶ φλεγμάτων·
875 Ἡ σκληροφθαλμία δὲ δυσκινησία,
Ὑγρασίας (2) ἄνευθεν αὐτῶν ὀφθαλμῶν·
Ἡ ξηροφθαλμία δὲ κνησμώδης πόνος (3).
Τὸ δ' ἀκτρόπιον ὄγκος ἐστὶ σαρκίου,
Ἐπηρεάζον τοῦ βλεφάρου τὴν φύσιν.
880 Τὸ δὲ τράχωμα τοῦ βλεφάρου τραχύτης·
Σύκωσις, ἡ (4) σύντασις αὐτοῦ τοῦ πάθους·
Τύφλωσις, ἡ μάλισθα τοῦ κακοῦ τάσις.
Χαλάζιον δὲ ἐστιν ὑγροῦ τις τάσις
Ἐν τῷ βλεφάρῳ συμπαγέντος ἀθρόον·
885 Ἡ δὲ κριθὴ, πρόμηκες ἂν ταρσῷ πάθος.
Τὸ τῶν τριχῶν ψίλωμα τῶν βλεφαρίδων
Μίλφωσιν ὠνόμασαν ἔντεχνοι λόγοι.
Ἐγκανθίς (5) ἐστι κανθὸς ἐξωγκωμένος·
Ῥυὰς δέ γ' ἡ μείωσις αὐτῶν τυγχάνει.
890 Πρόπτωσις, ἐξόγκωσις ἔκ τινος πάθους
Τοῦ ῥαγοειδοῦς ὑμένος κεκλημένου·
Πλὴν τὴν μικρὰν μὲν μυοκέφαλον λέγε,

(1) Manus recentior correxit ὑπόσφιγμα, quæ varietas occurrit et in Nonni codd. c. 48.

(2) Codex, ὑγρασίας. Nonnus c. 50 : ἡ μὲν σκληροφθαλμία ξηρότης καὶ δυσκινησία ἐστὶ τοῦ ὀφθαλμοῦ, μετὰ πόνου καὶ ἐρεύθους, χωρὶς ὑγρασίας.

(3) Nonnus ibid. : ἡ δὲ ξηροφθαλμία κνισμῶα ἐστι χωρὶς ῥεύματος. Miror Bernardum id monstri potuisse in contextu relinquere, quum codices haberent emendatius, κνησμός ἐστι, et κνησμώδης ἐστί. Ipse proponit pessimam lectionem, ut medicus, κνησμὸς ὀφθαλμοῦ α, id est ἐτός : sed potest xerophthalmia utrumque simul oculum invadere.

(4) Codex, ἢ, et sic statim : quod et alibi tacitus correxi.

(5) Codex, ἐγκαθίς.

Τὴν δ' αὖ γε μείζω σταφύλωμά (1) μοι κάλει,
Ἔπειτα μῆλον· ἦλος ἐστὶν ἐσχάτη.
895 Ἦλον δὲ καὶ λεύκωμα ταυτόν μοι φέρει.
Ἡ δὲ πτέρυξ (2) πέφυκε νευρῶδες πάθος,
Ὀγκωσις αὐτοῦ τοῦ γε περισπεφυκότος (3).
Τὸ καρκίνωμα τοῦ κέρως δεινὴ νόσος.
Ἡ δ' ἀνθράκωσις τῆς βλεφαρίδος πάθος.
900 Ἡ μυδρίασις ὑγρότητος ἐκχύνη (4),
Αὐτῆς κόρης πάθημα πεπλατυσμένης,
Ὥσπερ πέφυκεν ἡ φθίσις σταλαγμένης (5).
Ὁ νυκτάλωψ, σκότωμα, δύντος ἡλίου.
Γλαύκωμα δεινὸν ἠδ' ἀνίατον πάθος,
905 Ὑγρῶν (6) τις ἀλλοίωσις ἐν τῷ κρυστάλλῳ,
Μετάστασίς τε πρὸς τὸ γλαῦκον τῆς χρόας.
Τὸ δ' ὑπόχυμα, τοῦ κέρως καὶ κρυστάλλου
Ὑγρὰ μεταξὺ σύστασις κεχυμένη.
Μικρὰν ῥόφωσιν τὴν ἀμαύρωσιν φέρει,
910 Τὴν ἀμβλυωπίαν δὲ σύγχυσιν θέας.
Ὁ δὲ τραβισμὸς τῶν κινούντων σωμάτων
Σπασμός τίς ἐστι καὶ μυῶν λοξὴ τάσις·
Εἰ σπέρματος πέφυκεν ἔμφυτον πάθος (7),
Εἰ δ' ἐκ χολώδους οὐσίας ἀναρρόπου

(1) Codex, καφύλωμα, cum varietate, γαφύλωμα.

(2) Codex, πτέριξ.

(3) Scilicet ὑμένος, tunicæ adnatæ, quam v. 870 περισκειμένον vocavit : ibi enim περισκειμένου scribendum putavi pro cod. lectione προκειμένου. Eam Nonnus, capp. 48, 63, vocat ὑμένα τὸν ἐπιπεφυκότα.

(4) Codex, ἐγκόνη, et e correctione, ἐκχύνη. Sic 1251, cod. ἔγκοναι, et e correctione ἔγχυναι, ubi scripsi ἔκχυναι.

(5) Codex, στενουμένη.

(6) Codex, ὑγρά.

(7) Sic cod. Periit versus quo significabat strabismi primitivi non esse exspectandam sanationem.

915 Τὰς συςάσεις εἴληφεν, ἰάσαιό πως.

Παρωτίς ἐςι τῶν παρ' ὠσὶν ἀδένων
Ὄγκωσις, ἡ σύῤῥοια χυμῶν πλειόνων,
Ὕλης ῥυείσης ἐκ κεφαλῆς ἀθρόας.

Μόσκωσίς (1) ἐςιν ἐμφραγέντων ἀθρόον
920 Τῶν ἰσθμοειδῶν ὀςέων ἐκ φλεσμάτων·
Φάρυγξ (2) πεπονθὼς τοὺς ἐσωτέρους μύας
Ποιεῖ συνάσχην, εἰ δὲ τὰς ἔξω γνάθους,
Παρασυνάγχην πρόσφυῶς κεκλημένην.
Λάρυγξ τε πάσχων τοὺς ἐσωτέρους μύας
925 Ποιεῖ κυνάσχην πρόσφυῶς κεκλημένην,
Παρακυνάγχην ὥσπερ ἠλατῖωμένην (3).

Βὴξ καὶ κόρυζα καὶ κατάῤῥους τὰ τρία
Ὕλης μιᾶς γέννημα δυσφορωτάτης·
Γεννᾷ γὰρ αὐτὰ τῆς κεφαλῆς ὑγρότης.
930 Ἀλλ' εἰ μὲν εἰς μυκτῆρας ἡ ῥῦσις φθάσοι,
Κόρυζαν ἐργάσαιτο τοῦ μέρους πάθος·
Εἰ δ' ἄχει τοῦ φάρυσγος αὕτη πρόσω ῥάμοι,
Ποιεῖ κατάῤῥους· εἰ δὲ συῤῥεύσει κάτω,
Τὴν βῆχα γεννᾷ τὴν κακὴν, τὴν βυθίαν.
935 Τίκτει δὲ ταύτην καὶ ψυχρὰ δυσκρασία,
Θερμή τις αὖθις, πυρετοῦ πεφυκότος,
Πνεύμων τε πάσχων καὶ φθίσις καὶ πλευρίτις (4).

(1) Sic codex.
(2) Codex, φάρυξ.
(3) Periit versus de inflammatione laryngis exteriore.
(4) In hoc versu est novi capituli initium, sed visus est ad tussim pertinere; notum enim tussim e pulmonis affectibus oriri.

Ἀσθματικός τις, εἰ πυκνῶς ἀναπνέει·
Εἰ δ' ὀρθὸς ἑστὼς, ὀρθόπνοος ἐκ τοῦ πάθους.
Ὕλη δὲ τούτων τῶν δυοῖν παθημάτων
Ὕλη παχεῖα, γλίσχρος, ἰξώδης φύσει,
Τοῦ πνεύμονος φράττουσα δεινῶς τοὺς πόρους.
Πάθος τι δεινὸν ἡ περιπνευμονία,
Τῆς σπληνειδοῦς φλεγμονή τις οὐσίας,
Ἢ τῶν κατάρρων ἔγκνος δεδειγμένη,
Ἢ πρῶτον ἐμφανεῖσα (1) συμφύτῳ πάθει.
Δύσπνοιά σοι κάτοπτρον ἔσται τοῦ πάθους,
Στήθους τε ῥεγμὸς (2), κὴ γνάθων ἐρυθρότης,
Τῶν ὀμμάτων ὄγκωσις, ἔμπυρος ζέσις,
Ἡ τῶν χιτώνων λιπαρὰ θεωρία.
Φλεβὸς ῥαγείσης, αἵματος βλύζει φύσις,
Καὶ συσσαπείσης ἧττον αἷμα συρρέει,
Βεβρωμένης δ' ἔλαττον, ἀλλ' οὐδ' ἀθρόον,
Πλεῖστον δὲ πλῆθος τῆς ἀνασπωμένης,
Ἡ μηδὲν ἀλγύνουσα λύσει τὸ πλέον.
Αἱμορροΐδες καὶ σπάσεις καθαρσίων,
Ἀλλ' οὐδὲ ῥῆξις συμφορῶν παρεμπτία·
Μόνην δὲ δεινὴν τὴν ἀνάβασιν νόει.
Ἀλλ' εἰ μὲν ἐκ φάρυγγος αἷμ' ἀπορρέοι,
Τῶν τοῦ στομάχου χωρίων ἀναρρέει·
Σὺν βηχὶ δ' ἐκβλύσειεν ὧν τις ἐκπνέει.
Ἀλλ' εἰ μὲν ἀφρῷ περιφερής (3) πως τυγχάνει
Νόθου τε λευκοῦ χρωματίζει τὸ χρῶμα
Ἀνωδύνως τ' ἄνεισι θλίψεως ἄνευ,

(1) Codex, ἡ πρῶτον φανεῖσα.
(2) Sic codex, cum varietate: γρ. πόθους τ' ἐρεγμός. Sic vacillabant librarii in Nonni cap. 130, ubi de peripneumonia.
(3) Codex, περιφέρει.

965 Ἐκ πνεύμονος ῥεῖ, καὶ κτενεῖ πεπονθότας (1)·
Εἰ δ' ὡς ὑποχρέμπτοιτό τις τὴν οὐσίαν,
Ἐκ τῆς τραχείας ἓς ὁ ῥῶς ἀρτηρίας.
Εἰ δ' αὖ μελάγχρως αἱμόπτυστος ἡ χύσις,
Ἐκ θώρακος πρόεισι θρομβωδεστέρα.
970 Ἡ δ' ἐμπύησις θωράκων ἡλκωμένων
Ἐξ αἵματος πέφυκε, πλὴν ἀναῤῥόπου.
Τὸ σπογγοειδὲς δ' εἰ βλύσειε πνευμόνων,
Φθίσις τὸ συμβάν, μὴ μύοντος τοῦ πάθους.
Ἡ πλευρίτις δὲ φλεγμονή τε καὶ ῥέσις
975 Τῆς ζωογόνου ὑμενώδους οὐσίας
Πλευρᾶς ἁπάσας ῥέματος λεπτοῦ τάσει,
Ἢ συμβέβηκε βήξ τε καὶ σύμπνοιά (2) πως,
Καὶ κλειδὸς ἄχει συντεταμένος πόνος.
Διακρινεῖς δὲ τὴν ἀληθῆ πλευρίτιν
980 Τῆς ἡπατώδους φλεγμονῆς διτῷ πάθει·
Ἡ μὲν γὰρ ἴσχει νυγματώδη τὸν πόνον,
Καὶ βῆχα διτήν, πῆ μεν ἄπυρον, μόνως
Δεικνῦσαν ὡς ἄπυρος (3) ἐστιν ἡ νόσος,
Πῆ δὲ πτύελον μετρίως πεπεμμένον,
985 Καὶ σφυγμὸν ἴσχει σκληρὸν ἐμπρέοντά τε·
Ἡ δὲ δριμεῖα φλεγμονὴ τῶν ἡπάτων
Οὐ νυγματώδη τὸν πόνον σοι δεικνύει,
Οὐ σφυγμὸν ἐμπρέοντα τῆς ἀρτηρίας,
Ἢπερ δὲ βῆχα καὶ πρόσωπον λευκόχρων.
990 Εἰ δ' ἐκτὸς οἰδήσειαν οἱ μύες μόνοι,
Κἂν πλευρίτις (4) πέφυκεν, ἀλλ' ὁμωνύμως,

(1) Codex, πεπονθότως.
(2) Forsan δύσπνοια. Theoph. Nonnus c. 129, de pleuritide: συνεδρεύει δὲ δύσπνοια καὶ βήξ....
(3) Codex, ἄπλαιστος.
(4) Codex, πλευρίτης. Et illa fuit

Ὡς μήτε βήτλειν, μήτε μὴν πλύειν ὅλως·
Τῇ χειρὶ δ' εἰ ψαύσαιο τοῦ πεπονθότος,
Κάμνοντες ἀλγύνουσιν (1) αὐτίκα πλέον.

995 Εἰ καρδία δὲ πρωτοτύπως σοι πάθοι,
Ἢ φλεγμονὴν ἔσωθεν ἢ δυσκρασίαν,
Ἢ καὶ ῥαγείη τὴν ἐπίπνουν κοιλίαν,
Θάνατον ὀξὺν τῷ παθόντι προσφέρει:
Εἰ δ' αὖ γε συμπάθειαν ἕξει δευτέρως,
1000 Εἴ τε περὶς ἧπαρ, εἴ τε γαστέρος σίόμα,
Εἴ τε περὶς ἐγκέφαλον, ἢ πρὸς κοιλίαν,
Συγκοπλικὸν δράσειε τἀνθρώπῳ (2) πάθος,
Καὶ λειποθυμήσουσιν οἱ πεπονθότες,
Δεινῶς τ' ἐφιδρώσουσι συγκεκομμένως,
1005 Παλμοί τε τούτοις συμπεσοῦνται καρδίας.

Ἡ τοῦ στομάχου πολλάκις δυσκρασία,
Πολλὴ ῥυεῖσα, τὴν ὄρεξιν σκλύει.
Ἀλλ' εἰ μέν ἐστι δύσκρατός τις θερμότης,
Διψῆν ἀνάγκη, βορβορύτλειν πολλάκις,
1010 Τὰ ψυχρὰ πέτλειν, καὶ στερέμνια πλέον·
Ψυχρὰν δὲ τεκμήριο τοῖς ἐναντίοις.
Ἡ δ' ἐκ χυμῶν ὄρεξις ἐκβεβλημένη
Δηλοῖ τὸν ὠθήσαντα χυμὸν αὐτίκα,
Εἰ λεπτός ἐστι καὶ δακνώδης τὴν φύσιν,
1015 Εἰ γλίσχρος ἐστὶν οἷα κολλώδης φύσει·
Ἀλλ' εἰ μὲν ἕξει τοὺς χυμοὺς ἡ κοιλία,

jam non semel tractata permutatio. G. Pisides De vanit. 106:
Οὕτω πέφυκε τῶν ῥεόντων ἡ φύσις,
Σκληῆς ἀδελφὴ, συγγενὴς ἐκπνοίων:

cod. 1630, συγγενὶς, quod in Piside facile feram.

(1) Codex, ἀλγύνουσιν κάμνοντες.

(2) Sic, cum variet. τοῖς ζώοις.

Ἐμῦσι τῦτυς οἱ νοσῦντες αὐτίκα·
Εἰ δ' ὀν χιτῶσιν εἰσὶν ἐμπεπλασμένοι,
Ἢ ϗ ποθέντες ταῖς ὀκείνων οὐσίαις,
Κἂν ναυτιῶσιν, οὐκ ἐμῦσι τὸ πλέον.

Ἐμπνευμάτωσίς ἐςι γαςέρς μὲν πάθος,
Ἀτμὸς δὲ χυμῶν, εἶτ' ἀπέπτων σιτίων·
Γεννᾷ δὲ τῦτυς θερμότητος χαυνότης.

Ἡ χολέρα δ' αὖ ὀκτάραξις γαςέρος
Ἄνω κάτω κενῦσα τὴν φθορὰν μόλις,
Ἐκ τῶν ἀπέπτων σιτίων τελυμένη·
Γεννᾷ δὲ ταύτην ϗ χυμῶν μοχθηρία.

Τὴν λειεντερίαν δὲ διπλῆν μοι νόει·
Ἢ γίνεται γὰρ ὀντέρων ἡλκωμένων
Ἕλκωσιν ἁπλῆν, μὴ λίαν βαθυτάτην·
Ἢ ϗ λυθεῖσα (1) τῆς καθεκτικῆς θύρας,
Λειεντερικὴ συμβέβηκέ πως νόσος·
Καὶ γὰρ πέφυκεν ὀκκένωσις βρωμάτων
Ἄπεπτος, ὑγρά, μηδαμῶς πεπεμμένη.
Τὸ δεύτερον δὲ τῦτυ τῦ πάθυς πάθος
Καὶ κοιλιακὸν ὠνόμασαν οἱ πάλαι.
Ἀμφοῖν δέ πως πέφυκε λεπτή τις κρίσις·
Ἀπεψία γὰρ, εἴ γε συντεταμένη,
Τῶν ὀντέρων πάθη τις, οὐ τῆς κοιλίας.

Τενεσμός (2) ἐςι τῦ κενῦν πρθυμία,

(1) Forsan λυθείσης.

(2) Cod. sic; et infra p. 237, meliorem puto scripturam esse πιπεσμός, quam in Nonni codd. repertam de more neglexit Bernardus, servata pejore πιπεσμός.

Βραχεῖαν ἐξάγουσα χυμῶν οὐσίαν.
Οἴδημα καὶ γὰρ φλεγμονῶδες ἂν τέλει
Κεντεῖ πρὸς σκιρρώσιν, ἀπατᾷ δέ γε.

Δυσεντερία δ' ἕλκος ἐστὶν ἐντέρων
1045 Ἐκ συμπαθείας, ἢ πάθους πρωτοσπόρου.
Ἀποκρίσεις δὲ δεικνύουσι τὴν βλάβην,
Πρῶτον χολώδεις, εἶτα καὶ ποικιλίαν
Ἰχωροειδεῖς, αἱματώδεις τὴν φύσιν,
Τῆς ἑτέρας χολῆς τε τῆς μελαγχρόου.
1050 Ἀλλ' εἰ μὲν σκιρρίνοιτο κοπρία μόνον,
Πάθος (1) πέφυκεν ἐντέρων τῶν παχέων·
Εἰ δ' ἡ κόπρος πέφυκεν ἐξηλκωμένη,
Τῶν ἐντέρων δείκνυσι τῶν λεπτῶν βλάβην.

Νόσος κολικὴ (2) δυσφορώτατον πάθος.
1055 Κόλον δέ ἐστιν ἔντερον κοῖλον μέγα,
Τῆς δεξιᾶς μὲν σκφυέν πως λαγόνος,
Τὴν δ' αὖ γε λαιὰν συμπεριπλέκον κύκλῳ,
Πλείστων ὀδυνῶν αἴτιον πεπονθόσιν.
Ἔχει δὲ πολλὰς τοῦ πάθους τὰς αἰτίας·
1060 Χυμὸς γὰρ ἴσως δυσδιαίρετος φύσει,
Ἐν τοῖς χιτῶσι τοῦ κόλου ῥεύσας μέσον,
Στρόφοις ἐνοχλεῖ καὶ πόνοις καὶ ναυτίαις,
Φράττει τε πάσας τῆς κόπρου τὰς ἐξόδους.
Ποιεῖ δὲ τοῦτο συμφυὴς ἀπεψία
1065 Ἐκ ποικίλων μάλιστα τῶν ἐδεσμάτων.
Καὶ πνεύματος δὲ πολλάκις πολλὴ ῥύσις

(1) Codex, πάχος.
(2) Cod. κολικὴ, et mox κόλον. Et 1061, 1080, κόλου, ut et 1085; quod reliqui, etsi malim κωλικὴ, κῶλον.

Τὴν τοῦ πάθους ἔπλασαν (1) οὐσίαν μόνην·
Ζέσις τε πολλὴ φλεγμονῆς ἐγχωρίου
Δεινῶς θορυβεῖ τοῦ κόλπου τὴν οὐσίαν·
1070 Οὓς ἡ κένωσις τῶν περιττῶν πολλάκις
Ἔβλαψεν, ὠδύνησεν ἐμπύρῳ βέλει.

Ὁ δ' ἰλεὸς (2) σύμπτωμα δεινὸν τῇ φύσει.
Ὁ γὰρ κρατηθεὶς τῷ βρεγτοκλόνῳ (3) πάθει
Ἐκ τοῦ φάρυγγος τὴν κόπρον παραπλύει.
1075 Τούτῳ τε (4) πολλαὶ περιβολαὶ τῶν αἰτίων.
Καὶ φλεγμονὴ γὰρ, βρωμάτων τ' ἀπεψία,
λιτις τῶν ἐντέρων (5),
Τὸ δεινὸν εἰργάσαντο τῆς νόσου πάθος.

Νεφρῶν πάθη κάκιστα, κύστεως πλέον (6),
1080 Ἃ κοινά πως πέφυκεν ἄλγη τοῦ κόλπου,
Ἀπεψίαι, στρόφοι τε, κλεῖθρα γαστέρος,
Καὶ τρυπανώδεις τοῦ πεπονθότος πόνοι.
Διαίρεσις δὲ τῆσδε τῆς κοινωνίας
Αὕτη πέφυκεν ἐμφρόνως νοουμένη·

(1) Sic codex, qui hic aliquid contraxit vitii.

(2) Cod. ἠλεός. Malim εἰλεός, ut est apud Aretæum.

(3) Cod. βροκτόνω. Nonnus de ileo ait esse ὀλέθριον τὸ πάθος.

(4) Forsan δὲ, pro τε.

(5) Sic codex. Nec λιτις est valde nitidum; videtur et λιτῆς posse legi. Quæ desunt obstructionem, puto, intestinorum significabant. Nonnus: ἰλεός ἐστιν ὅταν δ' ἐμφράξιν τῶν ἐντέρων μηκέτι κάτωθεν ἐκκρίνωσι τὴν κόπρον, ἀλλ' ἐκκρίνωσιν αὐτὴν ἄνωθεν (Mirum est editorem, qui et medicus erat et criticus, in nota reliquisse bonam codd. scripturam, ὅταν.... ἐκκρίνωσι τὴν κόπρον, ἀλλ' ἄνωθεν) ....συνίσταται δὲ ὅτε ἀπεψία καὶ ἐμφράξει ἀπὸ τῆς κόπρου, καὶ ὅτε φλεγμονὴ τῶν ἐντέρων καὶ κωλικαῖς διαθέσεσιν.

(6) Videtur plura deesse ad loci integritatem; sunt etiam nonnulla turbata.

1085 Τοῖς γὰρ κακῶς ἔχουσιν ἐν πάθει κόλου
Ἡ δεξιὰ πέπονθε λαγόνος φύσις,
Ἡ πικρία δὲ τῆς ὀδύνης τοῦ πάθους
Ἄνω κάτωθεν μέχρις ἥπαλος τρέχει,
Καὶ κλείεται κάτωθι πᾶς κόπρου πόρος,
1090 Τὸ δ' οὖρον αὐτοῖς φλεγματῶδες εἰς ἄκρον·
Τοῖς δ' αὖ γε κύστιν καὶ νεφρὸν πεπονθόσι,
Τούτοις παρεμπέπηγεν ὁ σφοδρὸς πόνος,
Ναρκᾷ τε μηρὸς τοῦ κατ' εὐθεῖαν πόρου (1)·
Λίθος τε τούτοις σπλάτλεται ποικιλόχρους.
1095 Καὶ παιδίοις μὲν κύστις ἐξάγει λίθους (2),
Πλάτλουσι δ' αὐτοὺς οἱ νεφροὶ τοῖς ἀνδράσι.
Νεφριτικῶν δὲ ταῦτα σημεῖα φρόνει·
Ἄπεπτον οὖρον, ἀλλὰ μὴν καὶ λευκόχρουν,
Τρίψεις ἔχον κάτωθε (3) πολλῶν ψαμμίων,
1100 Ἔπειξιν (4) εἰς οὔρησιν, αἰδοίων τάσεις·
Ὕλη δέ ἐστι τοῖς πεπλασμένοις λίθοις
Χυμὸς γεώδης ἐκ παχείας οὐσίας
Τῇ θερμότητι τῶν νεφρῶν πεφυρμένης (5)·
Τὴν φλεγμονὴν δὲ τῶν πεπονθότων πόρων
1105 Πύρωσιν (6), ἄλγος, ἀκριβώσεις καὶ τάσεις,
Παρατεθεὶν νοῦ, πῦρ καταφλέγον φύσιν,
Χολῆς κένωσιν (7), οὖρον οὐκ ἐπιρρέον.

Τὸ δ' ἧπαρ ὕλη ποικίλων νοσημάτων·
Ἁλίσκεται γὰρ φλεγμοναῖς, σκίρροις πλέον,
1110 Ἐμφράξεσι μάλιστα ταῖς βεγτοκτόνοις·

(1) Codex, πόνου et πορου.
(2) Codex, λιθος.
(3) Codex, κάτωθεν.
(4) Codex, ἔπειξις.
(5) Codex, πεφυρμένη. Hi tres versus loco moti sunt.
(6) Codex, πύρωσις.
(7) Codex, κένωσις.

Ἐξασθενοῦν τε πρὸς τὸ πέπτειν σιτία
Ἐργάζεται πάνδεινα τῇ φύσει πάθη.
Τάς τέσσαρας γὰρ δυνάμεις κεκτημένον,
Εἰ μὲν κενοῖ δίυγρον οὐσίαν κάτω,
1115 Τὴν ἑλκτικὴν πέπονθε δύναμιν μόνην·
Εἰ δ' ὡς κρεώδεις ἐξάγει τὰς οὐσίας
Πρὸς τὴν μεταπλάττουσαν ἠσθένηκέ πως.
Ἔπειτα φλεγμήναντος ἥπατος φύσει,
Τῷ δεξιῷ πέπηγεν ἐν βάθει πόνος,
1120 Δεινόν τε κοῦμα τὴν φύσιν καταφλέγει,
Καὶ δίψα, κὴ βὴξ, ἀλλὰ κὴ δύσπνοιά τις
Δεινῶς σπαράττει τὴν πεπονθυῖαν φύσιν.
Ἀλλ' εἰ μὲν εἴη τοῖς σιμοῖς τετρωμένον (1),
Καὶ λειποθυμήσουσιν οἱ πεπονθότες
1125 Ἕξουσι δ' αὖθις ὑδρικὰς παρεγχύσεις·
Εἰ δ' αὖ τὰ κυρτὰ φλεγμονῆς ἔχει τάσις,
Τοῖς δακτύλοις γνοίη τις ὄγκον αὐτίκα.

Ὑδρωπικῶν δ' αὖ εἰσβολὴν παθημάτων
Καχεξίαν λέγουσι τεχνικοὶ λόγοι.
1130 Ὁ δ' ὕδερος τί (2); ψύξις ἐστὶν ἡπάτων,
Σκίρρωσιν οἷα κὴ ζέσιν πεπονθότων·
Ἢ συμπαθούντων τοῖς πεπονθόσιν τόποις,
Ὑδρωψ παρεβλάσθησε δυσχερὴς νόσος,
Τὰς αἱματώδεις οὐκ ἔχουσα συσλάσεις.
1135 Ἀθροίζεται δ' ἐντεῦθεν ὑγρὸν πνεῦμά τε,
Μεσὸν πεφυκὸς ὑμένος τεταμένου
Καὶ τῶν ἑλικτῶν χορδοειδῶν ἐντέρων.
Κἂν μὲν τὸ πνεῦμα τῶν ὑγρῶν εἴη πλέον,

(1) Codex, πεπρωμένος. (2) Codex, ὕδερός τι. Cf. 1340.

Ὑδρωψ ἐπλάσθη τῷ ψοφεῖν τυμπανίας·
1140 Εἰ δ' ἐστὶ πλέον ὑγρότητος οὐσία (1),
Ὑδρωψ ἐτεύχθη περσφυῶς πως ἀσκίτης·
Εἰ δ' ἐκχυθείη πρὸς τὸ πᾶν τῆς οὐσίας
Ῥοῦς αἱματώδης, φλεγματώδης τὴν χρόαν,
Ὑδρωψ ὁ λευκόφλεγμός ἐστι τῇ φύσει.

1145 Χυμοὺς δ' ὑφέλκων τοῖς πόροις μελαντάτους
Ἐξ ἥπατος στολὴν, τῇ καταλλήλῳ φύσει (2)
Ἐξασθενήσας, ἢ φραγεὶς τὰς εἰσόδους,
Τοὺς ἰκτέρους (3) δράσειε τοὺς μελαγχρόους.
Ἀλλ' εἰ μὲν οὐ πέφυκε τῷ σπλάγχνῳ βάρος,
1150 Τὴν ἑλκτικὴν δύναμιν πέπονθεν μόνην·
Εἰ δ' ἄλγος ἴσχει, τυγχάνει πεφραγμένος,
Ἐφ' ᾧ πέφυκε φλεγμονή τε κ᾽ ῥέσις,
Οὖρον δυσῶδες, κ᾽ κάκοσμον τὸ στόμα,
Καὶ τῶν σκελῶν ἕλκωσις οὐκ ἰωμένη·
1155 Εἰ δ' ἴκτερος γένηται παύων (4) τὴν νόσον
Μετάσιασιν δείκνυσιν ἔξω τῆς ὕλης.
Τὸ δ' αὖ περιτόναιον εἰ ῥαγῇ βίᾳ
Ὀλισθον εἰργάσατο δεινὸν ἐντέρης.

Ἀκούσιος κένωσις ἡ τῶν σπερμάτων

(1) Cod. οὐσίας. Forsan πλείων.

(2) Cod. στολὴν, quod fuit corrigendum ut feci.

(3) Codex, ἰκτέρους. Et sic cum aspero spiritu, 580, 589, 1155.

(4) Codex, παῦον, confusione jam notata et solenni vocalium ω et ο. G. Pisides De vanit. 226: Ὡς πυμφόλυξ σφύζουσα κ᾽ φυσαμένη, Καὶ πρὸς μὲν ὕψος τὸ δοκεῖν ἐπηρμένη: cod. 1630, τῷ δοκεῖν, vere. Idem 244: Εἰ καὶ καπηρύσει γὰρ ἀνθρώπου φύσις Ῥίψαι τὰ πολλὰ τῶν παθῶν καλύμματα, Τὸν φορτικὸν χιτῶνα τοῦ πύρν φέρει, Βείθει δὲ τοῦτο μέχρι τῆς ἅδου πύλης: malim τούτῳ ejusdem codicis, qui et φθαρτικὸν habet, nec id pejus edito φορτικόν.

1160 Ἡ τῆς γυνῆς πέφυκεν ἔκλυτος ῥύσις,
Πάθος μυσαρὸν, γονόῤῥοια τοὐπίκλην,
Τὸν καυλὸν οὐ τείνουσα τὸν φυτοσπόρον,
Ἐξασθενοῦντος τοῦ καθεκτικοῦ τόνου
Τὸ σπέρμα τηρεῖν, ὥστε μὴ καταῤῥέειν.

1165 Ἡ δ' αὖ σατυρίασις, αἰδοίου πάθη
Καὶ παλμὸς ὀξὺς, κ' φλογίζουσα ζέσις,
Δεινῶς ζεσάντων τῶν σπορουτρόφων πόρων.

Τὸν περιαπισμὸν Πριάπου (1) φερωνύμως
Αὔξησιν εἰς μέγιστον αἰδοίου νόει,
1170 Ὁρμὴν ἀναφρόδιτον, ἔντασιν μόνον.
Γεννᾷ δὲ τοῦτον φλέγμα μετρίως ζέσαν,
Καὶ πνεῦμα τῆξαν κ' κινῆσαν (2) τὴν φύσιν.

Γυναιξί τις πέφυκεν ἔμμηνος (3) ῥύσις,
Ἧς αἴτιον πρώτιστον ἄμβλωσις τόκου,
1175 Ἡ σώματος δύσκρατος ἴσως οὐσία,
Πάθημα μήτρας, ὑστέρας καλουμένης,
Ἡ φύξις, ἢ κάκωσις, ἢ πληγῆς βάρος.
Ἡ δ' αὖ ὑπερκάθαρσις ἀθρόα ῥύσις.
Ῥοῦς δ' αὖ γυναικῶν πνευματισμὸς (4) ὑστέρας.

(1) Codex, πριάμου.

(2) Codex, κινῆσαν, permutatione vulgari. G. Pisides De vanit. 239: Ἐναντίαις (melius codex 1630, ἀναστίως) δέ πως χαμαίζηλος μένει Ὁ πίωχὸς ὄγκος καὶ πεσόπλωτος κάτω, Ὃς οὐκ ἀκόμψως, ὡς δοκεῖ μοι, κ' Πλάτων Προσιμπιπάρθαι συγγεάφη τῇ καρδίᾳ Ὡς ἔχαπον χιτῶνα τῆς ἁμαρτίας: leg. ex eodem codice, ὃν οὐκ... συγγεάφει. Platonis notum dictum ex Athenæo XI, c. 116: ἔχαπον τῆς δόξης χιτῶνα ἀν τῷ θανάτῳ αὐτῷ ἀποδυόμεθα. Vide ibi Casaubonum, qui sine codice Pisidem emendaverat.

(3) Velim ἐμμένων.

(4) Est ῥευματισμὸς in Nonno.

1180 Τὴν ἐμπαθῆ (1) δὲ φλεγμονὴν τῆς ὑστέρας
Καὶ πνεῦμα τίκτει, κ᾽ κατάψυξις πάλιν,
Καὶ μᾶλλον ἐξάμβλωσις ἢ πληγῆς βάρος.
Σημεῖα τούτου πυρετὸς τεταμένος,
Ἄλγος τραχήλου, κ᾽ τένοντος τὸ πλέον,
1185 Σφυγμοί (2) τε μικροὶ, κ᾽ μύσις τῆς ὑστέρας.
Συνίσταται δ᾽ ἕλκωσις ἐν μήτρᾳ πάλιν,
Ἡ δυσοχοῦσης, ἢ δι᾽ ἐμβρυουλκίαν.
Ἀλλ᾽ εἰ μὲν ἡ πρόχειρος ἕλκωσις τάχα,
Διόστομον αὐτὴν εἰκονίσει σοι μόνον·
1190 Εἰ δ᾽ ἐν βάθει πέφυκεν ἕλκους ἡ φύσις,
Γνοίης τὸ ποιὸν ἔκ γε τῶν κενουμένων.
Καὶ καρκίνου πέφυκεν ἐν μήτρᾳ πάθος·
Ὁ μὲν μεθ᾽ ἕλκους κ᾽ δριμείας οὐσίας,
Ὁ δὲ σπεγνός τις, οὐδαμῶς ἡλκωμένος.
1195 Τὸν χωρὶς ἕλκους ἱστορήσει σοι τάδε·
Σκληρός τις ὄγκος τῆς παθούσης ὑστέρας,
Χρειὰ τρυγώδης κ᾽ πελιδνὴ πολλάκις,
Βυβῶνος ἄλγος, ὀσφύος κ᾽ γαστέρος·
Τὸν δ᾽ αὖ μεθ᾽ ἕλκους δεικνύει κ᾽ σκληρότης,
1200 Ἡ σκληρότης δὲ τῆς πονούσης ὑστέρας
Ἡ πολλάκις σύμπαντος αὐτοῦ τοῦ κύτους.
Ἐφεκτικὸν πέφυκεν ἐμμένων τόδε,

(1) Cod. sic, cum varietate ἐν βάθει.

(2) Codex, σφιγμοί. Permutat iotacismus vocales ι et υ. Supra 430, cod. πίθος: 1319, σύμβλον. Et v. 385 etiam σφιγμὸν librarius scripsit. Theodor. Prodromus Rhod. III, p. 101: Λυμαντικὴ γὰρ εἰς τὸ πᾶν ἀμετρία: Excerpta Macarii Chrysocephalæ, λιμαντικὸν, quod ad bonam recipiendamque lectionem, λυμαντικὸν, ducit. Osannus in Auctarium χυβάδιον recepit: et sunt hujus scripturæ varietates χυβάδιον et χηβάδιον; hæc est bona, non reliquæ duæ: confer notam ad Nicet. Eugen. pag. 168.

Μαστούς τέ πως δείκνυσιν ἐξωγκωμένους,
Πρὸς ὕδερόν τε τοῦτο λήγει πολλάκις.
1205 Ἐκ ψύξεως δὲ μυσάσης τῆς ὑστέρας
Ἐμπνευμάτωσις εὐθέως περιῤῥέει,
Ἢ πρὸς τὰ κοῖλα τοῦ λελεπμένου κύτους,
Ἢ πρὸς τὸ σῶμα τῆς παθούσης ὑστέρας.
Πνὶξ δ' ὑστέρας ὕψωσις ἐστὶν ὑστέρας,
1210 Τὰ καίρια θλίβουσα σώματος μέρη,
Μήνιγγας αὐτὰς, καρδίαν, παρωτίδας.
Τούτου κάτοπτρον ὠχρότης καὶ νωθρότης,
Σκελῶν συνολκὴ, καὶ γνάθων ἐρυθρότης,
Δεσμοί τε γλώττης, καὶ σκέλη παρειμένα,
1215 Αἰσθήσεως νέκρωσις, ἄστατοι φρένες.
Ἐναντίον (1) τροπίωσίς ἐστιν ὑστέρας·
Τῶν φυσικῶν γὰρ χωρίων ὑπορῤῥέει·
Ἢ γὰρ ῥαγέντων τῶν κρατούντων ὑμένων,
Ἢ συμπεσούσης τῆς γυναικὸς ὑψόθεν,
1220 Ἢ καὶ λυθέντος πρὸς τὸ γῆρας τοῦ τόνου,
Ταῖς ὑστέραις τροπίωσις ἐμπέπτωκέ πως.

Ἡ δ' ἰσχιὰς πέφυκεν ἰσχίων (2) πάθος·
Χυμοῦ γὰρ αὐτῶν τῇ διαρθρώσει μέσον
Ψυχροῦ παγέντος, καὶ θλίβοντος τὴν φύσιν,
1225 Πάθος συνέστη κλήσεως ἰσχιάδος.

Τὴν δ' αὖ ποδάγραν καὶ νόσον τὴν ἀρθρίτιν
Ἡ θρεπτικὴ δύναμις ἀτονουμένη (3)
Ἐκ τῆς ἀπλήστου πλησμονῆς τῶν σιτίων,

(1) Codex, ἐναντίων. correctione, ἰχίων: fuit olim ἰχνον.
(2) Codex nunc exhibet, facta (3) Codex, ἀπονουμένη.

Παχύν τε σωρεύουσα χυμὸν ὀν βάθει,
1230 Γεννᾷ, περφαίνει, τοῖς ἰατροῖς δεικνύει·
Ὁ συλλεγεὶς γὰρ χυμὸς ἐξ εὐσιτίας
Πολὺς πρὸς αὐτὰς τὰς διαρθρώσεις ῥέων
Τείνει τὰ νεῦρα, τῇ τάσει δ' ἀλγηδόνας
Πολλὰς δίδωσι τοῖς πεπονθόσιν (1) τόποις.
1235 Ἀλλ' εἰ μὲν εἰσρεύσειε τοῖς ποσὶν μόνοις,
Ποδαγρικὴ πέφυκε πάντως ἡ νόσος·
Εἰ δ' αὖ τὸ σύμπαν σῶμα συγκατακλύσει,
Περόδηλός ἐστιν τοῦτο πᾶσιν ἀρθρῖτις.
Πώρους (2) δὲ ποιεῖ τῇ διαρθρώσει ῥεῦσις (3)
1240 Χυμοῦ γεώδους φαρμάκων τε ξηρότης.

Χείμετλα (4) δ' εἰσὶ τὰ πρὸς ὤρας τοῦ ψύχους
Ἕλκη διαῤῥέοντα δακτύλων μέσον.

Ὁ δὲ πλέρυξ ὄνυξιν ἐμπέφυκέ πως·
Τὴν πλαγίαν (5) γὰρ σάρκα μετρίως τρέφει.

1245 Ἡ κλῆσις τοῦ λέφαντος εἰκὼν τυγχάνει
Τῆς θηριώδους τοῦ νοσήματος θέας.
Γεννᾷ δὲ ταύτην (6) καὶ χολὴ κεκαυμένη,
Ἰλύς τε καὶ τρὺξ αἵματος σεσηπότος.
Ἀλλ' ἡ μὲν ἐστιν οὐδ' ἐπιχειρητέα,

(1) Cod. πεπονθόσι, mox ποσί.

(2) Codex, πόρους. Eadem est confusio in Nonni cap. 222.

(3) Forsan ῥύσις, etsi spondæo in hac sede Pselli musa non abstineat, modo penultima notetur accentu. Hinc legi potest 676, αἷμα φορεῖ πεῦπ.

(4) Codex, χείμεθλα, suprascripto τ.

(5) Codex, πλαγίαν. Locus est mutilus.

(6) Malim πῦπ, nempe τὸ νόσημα. Mox ἡ μὲν, ἡ δὲ, indicant periisse nonnulla. Statim margo exhibet varietatem ἥσων.

1250 Ἡ δ' ἔστιν ἥτων, ἐνδιδοῦσα φαρμάκοις.

Ψώρα δὲ καὶ λέπρωσις ἔκκριναι δύο
Ὕλης μελάγχρου, καὶ διαλλάττουσί πως.
Ἡ μὲν λέπρα τάχιστα τὴν δορὰν ξέει,
Δύνει τε μέχρι τοῦ βάθους τῶν σωμάτων,
1255 Καὶ σχηματίζει κυκλικῶς τὸ χωρίον,
Ἀφ' οὗ λεπίδες ἐκρέουσιν αὐτίκα·
Ψῶραι δ' ἐπεξύσαντο τὴν δορὰν μόνον
Ἐν σχηματισμοῖς ποικίλοις τῶν τραυμάτων.

Ἰχὼρ δὲ λεπτὸς σὺν χυμοῖς παχυτέροις
1260 Λειχῆνα γεννᾷ· ῥίζα δ' οὗτος τῆς λέπρας.

Λευκὴ δὲ ἐστὶ δέρματος πεπονθότος
Μετάστασίς τις πρὸς τὸ λευκὸν τῆς χρόας.
Γεννᾷ δὲ ταύτην φλέγματος γλίσχρου φύσις.
Λευκὴ δὲ πρωτόρριζος ἀλφὸς τυγχάνει,
1265 Τρέπων τὸ σῶμα μέχρι τῶν ὁρωμένων.

Πρόδηλός ἐστι κλῆσις ἐξανθημάτων·
Χυμῶν γὰρ ἄνθη τυγχάνουσι ποικίλων.
Ἡ νυκτὸς ἕλκος (1), νυκτὸς ἀλγύνον πλέον,
Φλυκταινοειδὲς, ὑπέρυθρον τὴν χρόαν.

1270 Δορᾶς φρόνει βλάστημα τὴν μυρμηκίαν,
Μικρὸν, τυλῶδες, οἷα μύρμηξ ἐσθίον,
Βάσιν πλατεῖαν τῇ φύσει κεκτημένην (2),
Τὴν δὲ σπενὴν ἔχουσαν ἀκροχορδόνην.

(1) Periit nonnihil. Cf. p. 236. (2) Codex, κεκτημένη.

Τὸ γάγλιον (1) δὲ συστρεφὴ νεύρου πέλει.

1275 Ἡ φλεγμονὴ δ' ὄγκωσις ἐμπύρῳ ζέσει
Φλέγουσα κοινῶς τοὺς πεπονθότας τόπους,
Καὶ πᾶς μὲν ὄγκος φλεγμονὴ πεφλεγμένος·
Ἡ κυρίως δὲ φλεγμονὴ κεκλημένη
Ἐξ αἵματος πέφυκεν εἴς τινας τόπους
1280 Χρησίου ῥυέντος, τῷ πάχει τε συμμέτρου.
Γάγγραινα δ' ἐστὶ φλεγμονή τις πυρφόρος,
Νεκροῦσα δεινῶς τοὺς πεπονθότας τόπους.
Ὁ δὲ σφάκελος (2) φλεγμονὴ μὲν τυγχάνει·
Καύσας δὲ πᾶσαν τοῦ τόπου τὴν οὐσίαν,
1285 Αἰσθήσεως ἀφῆκεν ἐστερημένον.
Σφάκελος αὖθις ὀστέων σεσημμένων.

Ἕρπης χολῆς βλάστημα τῆς ξανθοχρόου.

Ἐρυσίπελας ἐκ χολῆς ξανθοπλόκου (3),
Ἐξ αἵματός τε συμμιγέντος, βλαστάνει,
1290 Μεταστρέφων τὴν κλῆσιν ὡς πρὸς τὴν ὕλην.

Βυβὼν δὲ καὶ φύγεθλον, ἀλλὰ καὶ φῦμα,
Πάθη πέφυκεν ἀδένων καλουμένων·
Πλὴν ἀλλὰ βυβὼν φλεγμονὴ τῶν ἀδένων,
Φῦμα πρὸς ἐκπύησιν ἠρεθισμένον,
1295 Φύγεθλον ἡ ζέσασα φλεγμονὴ πλέον,
Τεκοῦσά τ' ὄγκον ἐρυσιπελατόχρουν.

(1) Sic cod. Forsan γάγγλιον, vel γαγγλίον. Cf. p. 236.
(2) Cod. hic et mox, σφάκελος.
(3) Sic codex, cum varietate, ξανθῆς πλέον. Prætuli vel in poetastro quod magis est poeticum.

Ὄγκος δοθιὴν (1) ἐκ χυμῶν παχυτέρων
Ἐν σαρξὶ τὴν σύμπηξιν εὐθέως (2) ἔχων.

Φλυκταινοειδὲς ἡ τερέβινθος φῦμα.

1300 Ἄνθραξ διφυὲς αἵματος γέννημά τι,
Εἰς τὴν μέλαιναν ἐκτραπέντος οὐσίαν,
Ἔχοντος ἕλκος ἐσχαρῶδες τὴν φύσιν.

Ὁ θηριώδης καρκῖνος τῶν σωμάτων
Ἀπανταχῇ πέφυκε ῥιζοῦσθαι φύσει,
1305 Μᾶλλον δὲ τιτθοῖς τῶν γυναικῶν βλαστάνει.
Χολὴ δὲ τοῦτον ἡ μελάντερος (3) τρέφει,
Πληρεῖ δὲ κύκλῳ τὰς περκειμένας φλέβας,
Ἃς ἄν τις εἰκάσειε θηρίου πόδας.

Τὸ δ' ἐμφύσημα πνεῦμα λεπτὸν τυγχάνει,
1310 Ἢ πρὸς τὸ σῶμα τῆς δορᾶς ἠθροισμένον,
Ἢ πρὸς τὰ κοῖλα τῆς κάτωθι κοιλίας.

Ὁ σκίῤῥος ἐστὶν ὄγκος ἐσκληρωμένος
Αἰσθήσεως ἄμοιρος, οἷά τις τύλος.
Οὐκ ἀκριβῆ δὲ τὸν δυσαίσθητον λέγε (4).
1315 Χυμῶν δὲ τοῦτον ἡ περίγλισχρος φύσις
Αὔξει πρὸς ὄγκον κ᾽ τυλώσασα τρέφει.

(1) Codex, δ' ὀθνήν. Et Nonni librarios id nomen valde torsit.
(2) Codex, εὐθέων, cum varietate vel correctione, εὐθεῖαν.
(3) Velim μελαντέρα.
(4) Codex, λέγει. Opponuntur σκίῤῥος ἀκριβὴς et οὐκ ἀκριβής. Qui non est ἀκριβὴς est δυσαίσθητος, nempe cæco quodam sensu dolens. Cf. Nonnus c. 255.

Χοιρᾶς δ' ἀδὴν πέφυκεν ἐσκιρρωμένη.

Τὸ κηρίον δ' ὄγκωσις ἐντετρημένη (1),
Ὡς οἷα σίμβλον βλύζον ἔγχυμον μέλι,
1320 Κατὰ τραχηλον τὸ πλέον καὶ μασχάλας.

Ὁ κόλπος ἕλκος οὐδαμῶς συνημμένος.
Κόλπος τυλώδης, ἡ καλυμένη σύριγξ.

Τοὺς δ' αὖ διὰ σφήνωσιν ἀρθρώδους πόνους
Οἱ τεχνικοὶ λέγουσιν ἀγκύλας λόγοι.

1325 Τρία γένη πέφυκεν ἑλμίνθων μόνα·
Ἡ μὲν γὰρ ἐστι σπογγύλη κεκλημένη·
Ἡ δ' ἀσκαρὶς πέφυκε, τὸ τρίτον γένος (2).
Ὕλη δὲ πασῶν φλεγματώδης οὐσία.

Τοὺς λυσσοδήκτους ὧδε φωράσειέ τις·
1330 Φεύγουσιν ὕδωρ, καὶ δάκνουσιν ὡς κύνες,
Ὡς ὑλακὴν πέμπουσιν ἐξεστηκότες,
Ἰδροῦσι δεινῶς, σπασμὸν ἴσχουσι ξένον,
Ἐρυθρὸς αὐτοῖς πᾶς ὁ χρὼς τῶν σωμάτων.

Ὑποσπαθισμὸς εἶδός ἐστιν ὀργάνου
1335 Χειρουργικοῦ, τέμνοντος ὁρμὰς ῥευμάτων.
Ὁ δὲ σκωφισμὸς (3) σχῆμα τῆς χειρουργίας.

(1) Codex, ὀπιτριμμένη.
(2) Periit descriptio vermium latorum.
(3) Super σκω est scriptum ὑπο: cf. Pselli Lexicon infra pag. 234 in voce Ὑποσκωφισμός.

Τῶν ὑμένων σκλήρωσις ἔκ τινος τρώσν,
Οἳ γλῶσσαν ἀμπέχουσι χιτῶνος δίκην,
Δεινὸν πέφυκεν ἀγκυλόγλωσσον πάθος.

1340 Ἡ δ' ἀντιάς τί; φλεγμονὴ παρισθμίων,
Καὶ ξηρότης μάλισία κ̓ δυσχρησία.

Ὁ γαργαρεὼν πλῆκτρον οἷα τυγχάνει
Φωνῆς ἐνάρθρσ· ῥεῦμα δ' εἰσδεδεγμένος,
Εἰ μὲν πρόμηκες σχῆμα τῇ τάσει λάβοι,
1345 Κίων καλεῖται τεχνικωτέρσις λόγοις·
Εἰ σφεγγύλος δὲ κ̓ παχὺς γένοιτό πως,
Κλῆσιν σιαφυλῆς κ̓ θέαν προσλαμβάνει.

Χειρουργία τις ἡ λαρυγγοτομία.

Τὸ σιέατωμα σκληρόν ἐσιι σαρκίον·
1350 Τὸ δ' ἀθέρωμα λεπτὸν οἷ' ἄχνη σιτσ.
Ἡ μελικηρὶς ὡς χλιάζον σῶμά τι.

Ὄγκος (1) δὲ χαῦνος ἀνεύρυσμα τυγχάνει·
Γεννᾷ δὲ τοῦτον αἱματόπνσς οὐσία.

Ἡ βρόγχοκήλη (2) τοῦ τραχήλσ τυγχάνει
1355 Ὄγκωσις, ὡς ἔπαρμα τοῦ βρόγχσ τάχα.

(1) Cod. ὄγγος. Notavi ad Planud. Met. et ad Syntipam quam sæpe γγ et γκ permutentur: vide et Rœther. ad Hermetem p. 315. Hinc orta permutatio et duplex scriptura ἔγγοναι et ἔγκοναι, de qua ad v. 900. Hinc etiam orta codicis scriptura ἐγγυθείν pro ἐγκυθείν v. 584.

(2) Codex, βραγχοκήλη.

Ἐξόμφαλόν τί ἐστιν ὀμφαλοῦ πάθος
Ἢ συρραγέντος τοῦ παθόνθος ὑμένος,
Ἢ συμπεσόντος εἰς τὸν ὀμφαλοῦ τόπον,
Ἢ συνδραμούσης ὑγρότητος ἐνθάδε,
1360 Ἢ συρρυείσης αἱματώδους οὐσίας·
Καὶ πλεῖσ' ἂν εἴποις αἴτια πρὸς τὸν λόγον.

Πόσθη τὸ δέρμα τῆς βαλάνου τυγχάνει.

Ὑποσπαδισμὸς (1) σχῆμά πως χειρουργίας.

Φίμωσις ἐστὶν ἡ μὲν ὡς βύσσά πως
1365 Ἄνωθεν τὴν βάλανον ἐνσάρκῳ σκέπῃ·
Ἡ δ' ὡς ὑποτρέχουσα καὶ γυμνοῦσά πως.
Ὁ θύμος εἶδος φύματος τῆς βαλάνου·
Λυμαίνεται δὲ ταῦτα καὶ πόσθην (2) ἴσως.

Καθητερισμὸς κύστεως χειρουργία.

1370 Ἡ σαρκοκήλη ῥευματισμὸς (3) διδύμου.
Ἡ κιρρόκηλη κιρσός ἐστι σωμάτων
Τῶν ἐκτρεφόντων τῶν διδύμων οὐσίαν.

Ἑρμαφροδίτων ἀγχίθυρος ἡ φύσις.

(1) Glossa in margine : σπάδων λέγεται ὁ ἀπόκοπος.
(2) Cod. πωθήν : supra habet πόθη. P. 237, 10, habet πωθῆς. Vide Notit. Mss. t. x, II, p. 186.
(3) Codex, ῥευπεμός.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΨΕΛΛΟΥ

ΠΕΡΙ

ΚΑΙΝΩΝ ΟΝΟΜΑΤΩΝ ΤΩΝ ΕΝ ΝΟΣΗΜΑΣΙΝ.*

Ἀσυνήθη ταῦτα τῶν νοσημάτων καὶ ἑτέρων ὑποκειμένων ὀνόματα δυ.... (1).

Ἔστι δὲ ὄγκος ἀποστηματώδης ἐκ παχέων χυμῶν ἐν τοῖς σαρκώδεσι μάλιστα τόποις ἀνιστάμενος (2).

Τερέβινθος, φύματος εἶδος, οὗ κάτωθεν ὑπόκειται φλύκταινα μέλαινα.

Ἐμφύσημα, πνεῦμα φυσῶδες ὑπὸ τῷ δέρματι (3) ἀθροιζόμενον.

Ἐκχύμωμα, αἷμα ἐκ φλεβίων διακριθέντων ὑπὸ τῷ δέρματι ἀθροισθέν.

Χοιρὰς, ὁ ἐσκιρρωμένος ἀδήν.

Κηρίον, ὄγκος ἐπὶ τοῦ δέρματος, ἔχων κατατρήσεις.

Χειρώνεια καὶ τηλέφεια ἕλκη, δυσαπούλωτα.

Κόλπος, τὸ ἀκόλλητον δέρμα τοῖς ἕλκεσι.

* Ex codice 1630, pag. 210. Post νοσήματων supersunt dedicationis opusculi vestigia, ωεὸς... ἀξ...σα...τ... Reliqua abstulit bibliopegi culter. Hic quidem et in indice est καινῶν, etsi Steph. Lemonius, in Bibl. Fabricii Gr. t. XI, p. 572, scripserit κοινῶν, verteritque *communibus*.

(1) Sic cod., eraso vocis fine.

(2) Tumoribus ex illis quos crassi humores in carnosis locis parere dicuntur, est ἴονθος, cujus curatio, teste Nonno c. 98, fiet διὰ φαρμάκων μαλαπτόντων τι καὶ δὶ ἀφορούντων: mendum est typicum pro καὶ διαφορούντων.

(3) Mirum est Bernardum in Nonni de ἐμφυσήματι capite reliquisse ὑπὸ τῷ δέρματι, quum vitium animadvertisset, ac qui et unde mederetur haberet. Est recte scriptum αἷμα ἀθροιζόμενον ὑπὸ τῷ δέρματι in Nonni cap. 253.

Σύριγξ, κόλπος τετυλωμένος (1).

Ἀγκύλωσις, ἡ τῶν ἄρθρων κατοχὴ διὰ σφήνωσιν.

Τὸ ὑδροκέφαλον πάθος ἐστὶ περὶ τὴν κεφαλὴν, αἵματος τῶν ἐν τῇ κεφαλῇ ἀγγείων ἐκχυθέντος, καὶ μεταξὺ δέρματος καὶ τοῦ περικρανίου ὀστοῦ συνεστηκότος.

Ὑποσπαθισμὸς χειρουργική ἐστιν ἐνέργεια ὁμώνυμος τῷ ὀργάνῳ· κεχρήμεθα δὲ τούτῳ, ἐφ' ὧν ῥεῦμα πολὺ καὶ θερμὸν κατὰ τῶν ὀφθαλμῶν φέρεται.

Ὑποσκωφισμός· καὶ τοῦτο ὁμοίως χειρουργία ἐστὶν ἐπὶ τῷ αὐτῷ παθήματι ἀπὸ τοῦ ὀργάνου ὠνομασμένον.

Διστιχίασις, ἔκφυσις παρὰ φύσιν τριχῶν (2) εἰς τὸν κατὰ φύσιν στίχον τοῦ βλεφάρου συνιστάμενη.

Λαγόφθαλμοι, οἱ τὸ ἄνω βλέφαρον ἀνεσπασμένον ἔχοντες.

(1) Est in cod. 1630, p. 209, 2, remedium ad fistulam, quod describam. Num sit jam ab aliquo Græcorum medicastrorum propositum ignoro, iisque inquirendum relinquo qui illorum libros, quibus nunc careo, in parato habent: Ὅτι ἡ ὀνομαζομένη παρά τισι παιονία θῆλυ (sic cod.), φύλλα ἔχουσα ὅμοια πτερίου λεπίδεσι (sic cod.), ὠφελεῖ θαυμασίως εἰς φαγεδαινικὰ καὶ εἰς συριγγώματα δυσίατα, ὁλοκληρωμένη οὕτως· εἰ μὲν σύριγξ ἐστὶ, μετὰ μυτρείου βάλλεται, τρεχελαίνης τοῦ μυτρείου μετὰ ὠμοῦ μέλιτος· εἰ δὲ ἁπλῆ εἴη ἡ νομὴ, μετὰ τυτρείων ὁλοκληρεῖται, ὁμοίως τρεχελαίνης τοῦ τόπου μετὰ μέλιτος. Est hoc præceptum aliis insertum id genus observatiunculis, quas omnes hic describere placet, quum non sibi amplum poscant locum: Ὅτι ἡ ἐν τῷ ὀφθαλμῷ κριθὴ ποδία παρὰ τῷ Γαληνῷ λέγεται. Ὅτι τὸ ὑπτερικὸν ἄσκεργον καὶ ἀνδρόσημον λέγεται. Ὅτι ἰατρός τις εἰς τὸν καιρὸν τῆς τοῦ παροξυσμοῦ ἀνωμαλίας ἐπίθει εἰς τὸν τόμαχον χυνάξουγον (cod. χοινάξουγκον)· τῆς δὲ θέρμης ἀρχομένης ἀφίη (?) τοῦτο. Ὅτι τὸ λεπίδιον, ὃ καὶ ἰβιεικὸν λέγεται, ὅμοιόν ἐστι καρδάμῳ κατὰ τὴν δύναμιν, ἧττον δὲ αὐτοῦ ξηραίνει. Ὅτι τὸ ἀσύδιον παραπλησίας ἐστὶ δυνάμεως τῷ πομφόλυγι. Ὅτι ὀνόθουρις τὸ βόγλωσσον (sic) ἐστιν. Ὅτι κανωπὸν ἐστιν ἄκτης φλοιός. Ὅτι τὸ ὀξύπορον ἀποβρέχεται εἰς ὄξος ἡμερονύχθιον, εἶτα τίθεται εἰς σκιάν.

(2) Hujus morbi proprium nomen διστιχίασιν videtur Nonnus ignorasse, cujus inspice c. 43.

Ἐκτρόπιον, ὁ ἐπὶ τὸ κάτω τοῦ βλεφάρου κατασπασμός.

Χαλάζιον, σύσταστις ὑγροῦ κατὰ τὸ βλέφαρον.

Ὑδατὶς, οὐσία τις πιμελώδης ὑπεστρωμένη τῷ τοῦ βλεφάρου δέρματι.

Σταφύλωμα, κύρτωσις τοῦ κερατοειδοῦς χιτῶνος.

Ὑπόχυμα, ὑγροῦ σύστασις ἐπὶ τὸν κερατοειδῆ χιτῶνα κατὰ τὴν κόρην.

Αἰγίλωψ, ὄγκος ἀποστηματώδης μεταξὺ τοῦ μεγάλου κανθοῦ καὶ τῆς ῥινός.

Πολύπους, ὄγκος παρὰ φύσιν ἐν ταῖς ῥισὶ συνιστάμενος.

Ἐπουλὶς, σαρκὸς ὑπερχὴ ἐπὶ τοῖς οὔλοις.

Παρυλὶς, ἀποστημάτιον κατὰ τὰ οὖλα γινόμενον.

Ἀγκύλιον, πάθος περὶ τὴν γλῶττιαν, τῶν κατεχόντων αὐτὴν ὑμένων σκληρότερων γενομένων.

Ἀντιάς, φλεγμονὴ παρισθμίων καὶ ὑπεραύξησις.

Σταφυλὴ, πάχυνσις κάτωθεν τοῦ γαργαρεῶνος.

Κίων (1), λέπτυνσις τοῦ γαργαρεῶνος.

Στεάτωμα, ἀπόστημα στέατι παραπλήσιον.

Ἀθέρωμα, ὁμοίως (2) τῇ ἀπὸ τοῦ σίτου ἀθέρᾳ ὅμοιον.

Μελικηρὶς, ἀπόστημα σώματι χλιαρῷ ἐοικός.

Ἀνεύρυσμα, ὄγκος εὐαφὴς ἐξ αἵματος καὶ πνεύματος ἔχων τὴν γένεσιν.

Βρόγχοκήλη, ὄγκος ἐπὶ τῷ τραχήλῳ μέγας καὶ περιφερής.

(1) Aliis κιονὶς dicitur. Conf. Nonnus c. 122, Erotianus Lex. p. 108, et ipse Psellus p. 240.

(2) Sic codex. Videtur scrib. ὁμοίως ἀπόστημα, vel, deleto ὁμοίως, scrib. ἀπόστημα tantum.

Γάγλιον (1), συσταφὴ νεύρου.

Ἕρπης, πάθος ἐκ ξανθῆς χολῆς, ἀμιγοῦς ἑτέρου χυμοῦ, κατά τι μόριον συνιστάμενης.

Βυβών, φλεγμονὴ ἀδένων.

Φῦμα, ἡ περὶ ἐκπύησιν ἐπειγομένη φλεγμονὴ τοῦ ἀδένος.

Φύγεθλον, ἐρυσιπελατώδης φλεγμονὴ γινομένη.

Σφάκελος (2), τὸ ἀναισθῆσαν διὰ φλεγμονῆς μέγεθος σῶμα.

Ἀπόσυρμα, ἕλκος ἐπιπόλαιον.

Μυρμήκιον, ἐπανάστασις τυλώδης περιφερής, πλατεῖαν τὴν βάσιν ἔχουσα.

Ἀκροχορδόνη, ἐπανάστασις στενὴν ἔχουσα τὴν βάσιν, ὡς δοκεῖν ἐκκρέμασθαι.

Ἐπινυκτίς, ἑλκώδριον ἀπὸ ταυτομάτου ἐξανθοῦν, φλυκταινοειδές, ὑπέρυθρον.

Φλύκταινα, τὸ ἐπώδυνον ἕλκος καὶ μὴ αὐτομάτως ῥηγνύμενον.

Λευκή (3), μεταβολὴ τοῦ χρώματος ἐπὶ τὸ λευκότερον ὑπὸ γλίσχρου καὶ κολλώδους (4) φλέγματος.

Ἀλφοί, ἡ ἐπιπολῆς τοῦ δέρματος λεύκανσις.

Πτερύγιον, ὑπεραύξησις σαρκὸς καλύπτουσα μέρος τοῦ ὄνυχος.

Χείμετλα, ἑλκώδεις διαθέσεις περὶ τοὺς δακτύλους.

Κονδύλωμα, τυλώδης (5) τῆς ἕδρας ἐπανάστασις·

(1) Codex, γάλλιον. Cf. p. 228.

(2) Cod. σφάκελος. Iterum ea vox apposita est infra p. 240.

(3) Sic cum hoc accentu cod., ut et supra p. 227.

(4) Hinc firmetur Bernardi nota ad Nonnum c. 238.

(5) Legitur in Hermete De decoct. pag. 322, cyclaminis vim diaphoreticam facere ad πάντα τὰ

τὸ μὲν γὰρ πρῶτον ἐξοχὰς περσαγορεύεται· τυλούμενον δὲ κονδύλωμα.

Φίμος (1), πάθος περὶ τὸ στόμα τῆς ὑστέρας, ἢ δι' ἕλκωσιν, ἢ διὰ φλεγμονήν.

Τενεσμὸς (2), περιθυμία περὶ ἔκκρισιν ἀπαρεμπτίτητος, μηδὲν ἐξάγουσα πλὴν ὀλίγων αἱμωπῶν ἢ καὶ μυξώνων (3)· ἔστι δὲ οἰδηματώδης φλεγμονὴ κατὰ τὸ ἀπευθυσμένον.

Θύμοι, σαρκώδεις ὑπερχαί, ποτὲ μὲν ἐπὶ τῆς βαλάνου, ποτὲ δὲ ἐπὶ τῆς πόσθης συνιστάμεναι.

Σατυρίασις, παλμὸς τοῦ αἰδοίου, φλεγμονώδει τινὶ διαθέσει τῶν σπερματικῶν ἀγγείων ἑπόμενος μετ' ὀντάσεως.

Περιαπισμὸς, αὔξησις αἰδοίου μόνιμος εἰς μῆκός τε καὶ κύκλον ὀγκουμένου, χωρὶς τῆς πρὸς τὰ ἀφροδίσια ὁρμῆς. Ἔστι δὲ φυσῶδες πνεῦμα τὸ ἐξογκοῦν τὸ μόριον ἐξ ὑγρῶν καὶ γλίσχρων χυμῶν τικτόμενον.

Οἱ τριχίσκοι ὀνομάζονται ἀπὸ τοῦ σχήματος. Εἴδη δὲ αὐτῶν τρία· οἱ μὲν γὰρ εἰσι πότιμοι, οἱ δὲ ἐμετικοὶ, οἱ δὲ κατάχρισοι.

Κολλύριον καὶ ἀνακόλλημα, ὀφθαλμικὰ φάρμακα.

Ἄκοπα συγχρίσματα (4), τὰ πρὸς τὰς κοπώδεις

πολώδη σκληρώματα : rescr. πυλώδη.

(1) Cod. φῆμος. Permutantur ubivis ι et η. In Hermetis libello De decoctione p. 316 : δίδου πίτυν πίσσῃ : codex, πισι. Melius fuerat edere πίσσι. Et πίσσι inferius ibidem reponendum : ποίει καταπόπα ἡμίδραγμα καὶ δίδου γ' πίσσῃ πρωὶ καὶ γ' εἰς κοίτην· κατὰ δὲ πρωὶ ἰπῆρωφείτω ὕδατος καθαροῦ κυάθους β' : pro corrupto ἰπῆρωφείτω, cod. ὀπτροφάτω, quod editor in ὀπτρόφάτω mutare vult, lapsu calami scilicet; nam scribere voluit et debuit ὀπτρόφείτω.

(2) Cod. πνασμός. Scripserat forsan auctor πνεσμὸς ἢ βιασμὸς, ac duæ voces coaluerunt in unam.

(3) Sic cod. Forsan αἱματωδῶν ἢ μυξωδῶν.

(4) Est in Hermetis libello De decoct. pag. 317, ἀκόπου compo-

εὑρημένα συναισθήσεις, οἷον τονώδεις, ἑλκώδεις, ὀσφοκοπώδεις· τὴν δὲ σύστασιν μεταξὺ κηρωτῶν καὶ ἐμπλάστρων ἔχει.

Δρώπαξ (1), μίγμα ἐκ διαφόρων ὑλῶν· σκευασίαν δὲ διττὴν ἔχει, τὴν μὲν ἐμπλάστρων, τὴν δὲ μαλάγματι παραπλησίαν.

Ὁ σιναπισμὸς (2) ὕλην μὲν οὐκ ἔχει ποικίλην, δραστικώτατος δὲ ἐστι τοῖς χρονίοις μάλιστα πάθεσι.

Τοῦ κύφεως ἡ ὕλη μεταξὺ τῶν τε πινομένων καὶ ἀντιδότων ἐστίν.

Ὀδαξησμὸς, φλεγμονὴ ὀδόντων.

Ἄφθα, ἕλκος ἢ ὑπόλευκον, ἢ ὑπέρυθρον, ἢ μέλαν.

Κεραὶ ἀπτίστιδες, αἱ μὴ δεόμεναι τριβῆς.

Περκώνια ἄλφιτα, ἐκ κριθῶν ἀφρύκτων (3) ἐσκευασμένα.

Μυτιλωτὸς, ὑπότειμμα διὰ σκορόδου καὶ τύρου γεγενημένον.

Ἄρρινον, τὸ νάπυ.

Μίνθη, τὸ ἡδύοσμον (4).

sitio, qua absoluta, auctor addit: καὶ χρῶ ὅτι τῶν χρειῶν: leg. χρείων.

(1) In Nonno non semel vidi δρόπαξ, δροπαξισμός. Esse scribendum δρῶ probat vel Martialis dactylus *dropace*. Demonax Luciani 50: δρωπαξισθῆναι τὸν αὐτὸν κέλευσον: in cod. 1630, p. 247, ante scholii verba ab edito vix discrepantis, est lemma, δρωπαξισθῆναι αἰτίωσον, non κέλευσον. De dropace multi multa: vide et Bernard. ad Nonn. c. 166.

(2) De sinapismo Niclas ad Geopon. II, 41; Bern. ad Nonn. c. 188.

(3) Codex, ἀφείκτων.

(4) Est planta vicina nomine καλαμίνθη, de qua agit (liceat ita digredi) Hermes De decoctione, pag. 323. Editor ibi adfert codicis glossam, ὀνομάζεται ῥωμαϊκῶς πεπτάμ: pro qua ultima voce conjicit non feliciter, σπτὰμ, id est *septem*: sed quo sensu? quæso. Est πεπτὰ, vel πεπτὰ, scribendum, estque Latinum *nepeta*, quod est καλαμίνθης synonymum.

Σίδη, ἡ ῥοιά.
Μόρα, τὰ συκάμινα.
Βρυτὸς, πόμα ἐκ κριθῶν (1).
Σίρριον, τὸ ἔψημα.
Σκύτα (2), ἡ κεφαλή.
Ἀετοὶ, φλέβες αἱ κατὰ τοὺς κροτάφους.
Ἀόρται (3), αἱ ἀρτηρίαι.
Κέβλη, ἡ κεφαλή.
Κύβιτος (4), ὁ ἀγκών.
Κίθαρος, ὁ θώραξ.
Οἰσοφάγος, ὁ στόμαχος.
Κραντῆρες, οἱ ὀδόντες.
Νέαιρα γαστὴρ (5), τὸ κῶλον ἔντερον.
Μήνιγγες, οἱ χιτῶνες.
Δελφὺς, ἡ μήτρα.
Φιδήιον, τὸ στόμα τῆς ὑστέρας (6).
Ἀμνιον, χιτὼν περικείμενος τῷ ἐμβρύῳ.
Δρακοντίδες φλέβες, αἱ περὶ τὴν καρδίαν.
Πληχὰς (7), ἡ μεταξὺ τῶν μηρῶν διάβασις.
Ἰξὺς, ἡ ὀσφύς.
Ἧτρον, ὁ ὑπὸ τὸν ὀμφαλὸν τόπος.

(1) Adhibeatur Gruner. Hist. zythor. pag. 40.

(2) Qui hunc ipsum locum affert in Glossario, Cangius male scribit σκυτά.

(3) Cod. ἀόρπι, suprascripto αι, varietate vulgari.

(4) Ad hunc locum provocat Cangius in Glossario.

(5) Cangius, male hunc locum describens, habet νέαιρα, γαστὴρ, ceteris omissis, putans scilicet τὸ κῶλον ἔντερον alium constituere articulum. Codicis exhibeo scripturam, quæ bona est. Vide Erotiani Lex. cum notis.

(6) Cangius errat denuo, scribens τοῦ ὑστέρου et *secundarum* vertens. In codice est diserte quod scripsi.

(7) Sic codex, ac sic Cangius. Scrib. πλιχάς.

Ἐπίσιον (1), τὸ ἐφήβαιον.

Θαλάμαι, αἱ περὶ τὰ ἄρθρα κοιλότητες.

Σήραγγες, αἱ ἀρτηρίαι.

Ῥομβώδη ὀστᾶ, τὰ μὴ ὀρθά.

Ὑπόξυρα μέλη, τὰ κατ' ὀλίγον ἀποξυνόμενα.

Ἄκανθα, ἡ ῥάχις.

Κοχώνη, τὸ ἱερὸν ὀστοῦν.

Σταφυληφόρος, ἡ κιονίς.

Ἐπισκύνιον (2), τὸ μετὰ τὰς ὀφρῦς σαρκῶδες.

Κυσαρὸν, τὸ γυναικεῖον αἰδοῖον.

Ἡμιτύβιον, τὸ ὀθόνιον (3).

Σφάκελος (4), ἡ κάκωσις, ἡ φλεγμονὴ, ἡ νέκρωσις, ἡ φθορά.

Κῶμα, ἡ καταφορά.

Χελύσσειν, βήσσειν.

Φλογμὸς, ἡ πύρωσις.

Τιφώδης (5) πυρετὸς, ὁ ἑλώδης.

Πεφιγώδης (6), ἐρυγώδης.

Ἐκχύμωμα (7), ἡ παρ' ἔκχυσιν ὑποσφομή.

Σπαδὼν, τὸ σπάσμα.

Ὑπέρινος, ὁ λεπτὸς ἢ ὑπέρξηρος.

(1) Scribunt alii ὀλπίσιον. Pierson., ad Mœr. pag. 141, de hac voce agens adfert e M. Psello, ὀλπίσιον, τὸ αἰδοῖον. Proprius nominis usus isque medicus est de τῷ ἐφηβαίῳ. Apud alios ὀλπίσιον est pars virilis : vide Basil. in Notit. Mss. t. XI, part. 2, p. 119; apud alios muliebris : cf. Eustathius ap. Fischer. ad Anacr. p. 413. Plene et abundanter Hesychii Lexicon : Ἐπίσιον, ἐφήβαιον, καὶ τὸ αἰδοῖον ἀνδρός τε καὶ γυναικός.

(2) Vide not. ad Ranas 832, ubi hoc Pselli loco sum usus. Si bene memini, in Epistolis Prodromi a Lazerio editis, Misc. I, pag. 30, legitur male ἐπισκήνιον, quum codex habeat ὀλπισκύνιον.

(3) Codex, ὀθώνιον.

(4) Conf. pag. 236.

(5) Sic codex.

(6) Sic codex.

(7) Codex, ὀκχύμωνα.

Ἐκθύματα, τὰ ἐξανθήματα.
Ὀβλιτρησμὸς (1), ἡ ἀπορία.
Ἄση, ὁ ἄλυς (2).
Ἀλύκη (3), ἡ μετ' ἐκλύσεως ἀπορία.
Μεγάλη νόσος, ἡ ἐπιληψία.
Ἐρρίψις, ἡ κατάπλωσις.
Θαλερὸν πνεῦμα, τὸ ἀκμαῖον.
Ψαιστὰ σπλάγχνα, κατακεκομμένα.
Ψυκτήρ, ποτήριον μέγα καὶ πλατύ.
Κέδματα (4), τὰ χρόνια ἀλγήματα.
Κειθαὶ βίβλιαι, αἱ ἐκ τῆς Θράκης (5).
Ἱππάβη (6), τυρὸς ἵππειος.
Γήθυα, κρόμμυα, πεφόσα σιροβύλα.
Μάλυζαι (7), αἱ τῶν σκορόδων κεφαλαί.
Αἴγλιθες (8), ἐξ ὧν ἡ τοῦ σκορόδου συνέστηκε κεφαλή.

Ταῦτα ἐκ πολλῶν καὶ κατὰ βραχὺ ἐμοὶ συνειλεγμένα ἀθρόα σοι παραδίδωμι.

(1) Sic codex.
(2) De ἄση vide Bernard. ad Synesii Febres p. 12.
(3) Sic codex.
(4) Coray. ad Hippocr. 339.
(5) Nam Βιβλίνη fuit Thraciæ regio, aliis dicta Βιβλία : vide Stephan. Byzant.
(6) Sic codex. Notum est ἱππάκη ex Hippocrate et aliis.
(7) Sic codex.
(8) Sic codex.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΨΕΛΛΟΥ

ΠΕΡΙ ΓΕΩΡΓΙΚΩΝ.*

Ἀκόρεστόν τι χρῆμα φιλόσοφος, πάντα ἑαυτοῦ ποιούμενος, καὶ πάντα τῆς ἐπιστήμης ἐξαρτῶν. Ἐπεὶ τοιγαροῦν βούλει καὶ τὰ γεωργικὰ προσλαβεῖν, καὶ οὐ πληροῖ σου τὸν κόρον ὁ οὐρανὸς καὶ τὰ οὐράνια πράγματα καὶ τῶν θεωρημάτων τὰ ὑψηλότερα καὶ θειότερα, ἀρκτέον σοι ἀπὸ τῶν κατειωτέρων.

Καὶ πρῶτόν γε σπείρωμεν τὸν σῖτον, ἵνα θερίσωμεν. Ἐπιλεκτέον οὖν (1) σοι τοῦτον εὐγενῆ καὶ ἀδρὸν, καὶ στερεὸν, καὶ λεῖον, καὶ τῷ χρώματι χρυσίζοντα, καὶ σνιαύσιον· ὁ γὰρ διετὴς καὶ τριετὴς κάκιστός (2) τε καὶ ὀλιγόκαρπος. Τοῦτον οὖν καταβλητέον τῇ γῇ καὶ μάλιστα τῇ βαθύγεῳ (3), συμμέτρῳ ὄμβρῳ ἐπιτετυχηκυίᾳ, εὐθὺς μετὰ τὸ φθινόπωρον. Ἐνίοις δὲ μὴν καὶ ἡ ἑνδεκάτη τοῦ νοεμβρίου μηνὸς καὶ ἡ ιγ' εὔκαιροι πρὸς τὸν σπόρον νομίζονται· ὄμβροι τε γὰρ τότε πολλοὶ καταπέμπονται, καὶ ἡ γῆ φυσικήν τινα κίνησιν ἔχει (4) πρὸς τὰ σπειρόμενα. Παραιτητέον δὲ (5) σοι σπείροντι τὰς βορείους ἡμέρας·

* Descripsi e cod. regio 1630, pag. 245. Epistolam hanc particulam esse suspicor collectionis Psellianarum epistolarum, quæ ineditæ in bibliothecis latent. Novem quidem ab Allatio post dissertationem de Symeonibus editas fuisse tradit Fabricius in Bibl. Gr. t. x, p. 77; sed lapsus est vir eximius, quum non Pselli sint, sed Symeonis Metaphrastæ.

(1) Cf. Geopon. II, 16.

(2) Est hic forsan lacunula, quum disertior sit Vindanionii in Geopon. ibid. observatio: τὸ δὲ διετὲς (σπέρμα) ἔλασσον, τὸ δὲ τριετὲς κάκιστον.

(3) Cf. Geopon. II, 12; II, 14.

(4) Cf. Geopon. II, 14, 4.

(5) Cf. ibid. II, 14, 6.

φείτλουσα γὰρ τότε ἡ γῆ οὐ προσδέχεται τὰ σπέρματα· σπεῖρε δὲ ἐν ταῖς εὐδιειναῖς καὶ θερμαῖς. Ἐπεὶ δὲ αἱ τῶν καιρῶν διαφοραὶ διαφόρως τρέφουσι τὰ σπειρόμενα, κάλλιον μὴ συναπλῶς ποιεῖσθαι τὸν σπόρον, ἀλλ' εἰς τρεῖς καιροὺς διαιρεῖν, πρόϊμον, καὶ μέσον, καὶ ὄψιμον.

Τὰς δὲ ἀμπέλους φυτευτέον σοι τῶν δυοῖν τούτων μηνῶν μάλιστα, νοεμβείου καὶ δεκεμβείου, ἐν θερμοτέροις χωρίοις καὶ ἀνύδροις (1). Ἔνιοι δὲ καὶ μετὰ τὴν ἰσημερίαν εὐθὺς φυτεύουσι μέχρι τῆς τῶν πλειάδων δύσεως.

Καὶ μαρτίῳ μὲν τὸν ἐγκεντρισμὸν (2) αὐτῶν τε τῶν ἀμπέλων καὶ τῶν ἄλλων δένδρων ποιησώμεθα, θεραπεύσωμέν τε τὰς ἰάσεως (3) δεομένας ἐλαίας, περισκάψωμέν τε τὰς ἀμπέλους καὶ τὰ λοιπὰ δένδρα, βλαστολογήσωμέν (4) τε τὰς τριετεῖς, ἔτι ἁπαλῶν ὄντων τῶν βλαστῶν· ἀπριλλίῳ δὲ (5) ὀνοφθαλμίσωμεν τάς τε ἐλαίας καὶ τὰ λοιπὰ δένδρα εὐκαίρως, πρὸς δὲ καὶ ἐγκεντρίσωμεν. Ἰουνίῳ δὲ μηνὶ (6) τοὺς ἐν ταῖς νέαις ἀμπέλοις περκύπλοντας βλαστοὺς ἀφαιρετέον.

Καὶ τὸν μὲν σῖτον εἰς βαθύγεων γῆν καὶ πεδιάδα (7) σπαρτέον σοι, τὴν δὲ κριθὴν εἰς τὴν μέσως ἔχουσαν, τὰ δὲ ὄσπρια εἰς τὴν λεπτοτέραν. Καὶ τὰς μὲν (8)

(1) Cf. Geopon. III, 14 et 15.
(2) Cf. Geopon. III, 3.
(3) Vix nunc ἰάσεως legi potest; sed e vestigiis literarum fere evanidis, juvante Geoponicorum loco, lectionem certissime restitui.
(4) Evanidæ sunt syllabæ λογή, restitutæ facillime, rei ipsius et Geoponicorum ductu.
(5) Cf. Geopon. III, 4.
(6) Cf. Geopon. III, 6.
(7) Cf. Geopon. II, 12.
(8) Cf. Geopon. II, 13.

κριθὰς δεῖ σπείρειν, τῆς χώρας μὴ καθύγρου, ἀλλὰ περιξήρου μᾶλλον ὑπαρχούσης· τὸν δὲ σῖτον σπαρτέον μᾶλλον εἰς τὴν (1) πηλώδη καὶ κάθυγρον γῆν.

Ἐπεὶ δὲ ἐσπείραμεν, καὶ θερίσωμεν. Θερίσομεν δὲ, πότε; ὅταν ἄρχηται μέρη (2) τινὰ τοῦ λητοῦ ξανθίζειν. Καὶ πάντα μὲν τότε τὰ γεννήματα θερισλέον σοι, μάλισλα δὲ τὰς κριθὰς, πολὺ δὲ θᾶτλον τὰ ὄσπρια. Τὸν δὲ λικμισθέντα (3) σῖτον καὶ τὴν κριθὴν ἐατέον σοι ἐπὶ τὴν ἅλω, μίαν καὶ δευτέραν ἡμέραν, εἶθ' οὕτως ἀποκομισλέον σοι, πρὶν ἥλιον ἀνασχεῖν, ἵνα ἔτι κατεψυλμένος ὁ καρπὸς εἰς τὸν σιτοβολῶνα κατατεθῇ· ἀποθετέον δέ σοι τὸν σῖτον (4) ἐν δοχείοις ἀπὸ ἀνατολῶν τὸ φῶς ἔχουσι καὶ προσπνεομένοις ὑπὸ βορρᾶ καὶ ζεφύρου.

Περὶ δέ γε φυτείας ἀμπέλου καὶ ταῦτά σοι παρατηρητέον, ἀρχόμενον (5) ἔαρ καὶ ζέφυρον πνέοντα. Διάφορι (6) μὲν οὖν εἰσὶν οἱ κανονὶ τῆς τῶν ἀμπέλων φυτεύσεως· τινὲς μὲν γὰρ μετὰ τὸν τρυγητὸν φυτεύουσιν, ὅταν τὰ φύλλα ἀπορρυῇ τῶν ἀμπέλων, τινὲς δὲ τοῦ ἔαρος ἀρχομένου· σὺ δὲ τῷ φθινοπώρῳ φύτευε πᾶσαν φυτείαν ἐν τοῖς μὴ ἀρδομένοις τόποις, μάλισλα δὲ τὴν ἄμπελον. Φυτευτέον δέ σοι (7) τὰ κλήματα μήτε ἐκ νεοφύτων ἀμπέλων (ἀσθενῆ γάρ), μήτε ἐκ γηρακυιῶν (ἄκαρπα γάρ), ἀλλ' ἐκ τῶν ἀκμαιοτάτων καὶ πολυοφθάλμων, μὴ πολυφόρων (8).

(1) Codex, πόν.
(2) Cf. Geopon. II, 25.
(3) Cf. Geopon. ibid.
(4) Cf. Geopon. II, 27.
(5) Cf. Geopon. V, 6.
(6) Cf. ibid. V, 6, 2.
(7) Cf. Geopon. V, 8.
(8) Forsan, καὶ πολυφ. Nam Quintilii in Geoponicis V, 8, sarmenta sumere jubent πάχος καὶ πυκνόφθαλμα καὶ τοὺς νεοπόδας πλείους ἔχοντα.

Χρὴ δὲ κατατιθέναι τὰς (1) ἀμπέλους, ὁμοίως δὲ καὶ ὑλοτομεῖν, ὑπὸ γῆν οὔσης τῆς σελήνης. Δοκεῖ (2) δέ μοι ἀναγκαῖον εἶναι ἐν τοῖς ἀμπελῶσι δύο ὁμοῦ κλήματα ἀντὶ ἑνὸς τιθέναι, ἵν', εἰ θάτερον διαμάρτῃ, ἐπιτυχὲς θάτερον γένηται. Μὴ ἧττον (3) δὲ τεσσάρων ποδῶν τοὺς βόθρους τῶν ἀμπελώνων ποιεῖν. Εἰς δὲ τὸ φυτόριον (καλεῖται δὲ φυτόριον (4), ἐν ᾧ τὰ φυτὰ τὰ μεταφυτεύεσθαι μέλλοντα μετατίθεται), εἰς γῆν τὸ φυτόριον τιθέσθω τὰ φυτὰ εἰς βάθος μὴ ἔλαττον ποδός. Τὸν δὲ (5) ἐγκεντρίζοντα ἄμπελον ἐπιλέγεσθαι χρὴ τρέμνον παχύν, δυνάμενον ὑποδέξασθαι ἓν ἢ δεύτερον κλῆμα, καὶ ἐγκεντρίζειν μὴ ἐν τῷ πυθμένι τῆς ἀμπέλου, ἀλλ' ἐν τῷ ἰσοπέδῳ. Ἄρχεσθαι (6) δὲ δεῖ τῆς κλαδείας ἀπὸ τῆς ιε' (7) Φεβρουαρίου ἕως μαρτίου εἰκάδος. Καιρὸν δὲ οὐκ ἂν ὁρίσαιμι τρύγης σταφυλῶν.*** καὶ ἀπὸ τῆς ὄψεως. Πεπανθεῖσαν δὲ τὴν σταφυλὴν ἐξ μόνας ἡμέρας διαμένειν δεῖ (8). Δεῖ δὲ τρυγᾶν, τῆς σελήνης οὔσης ἐν καρκίνῳ ἢ λέοντι ἢ ζυγῷ· σπουδάζειν δὲ χρὴ, λησθούσης αὐτῆς καὶ ὑπὸ γῆν (9) οὔσης, τὸν τρυγητὸν ποιεῖσθαι (10).

(1) Cf. Geopon. v, 10.

(2) Cf. Geopon. v, 13.

(3) Nunc μὴ non legitur omnino. Restitui duce Florentino in Geopon. v, 12.

(4) Cf. Geopon. v, 3, ubi φυτώριον.

(5) Cf. Geopon. iv, 12.

(6) Cf. Geopon. v, 23.

(7) Lacunæ signa interposui. Quæ desunt suppleantur e Diophane in Geopon. v, 45, eo modo : ἔστιν οὖν δοκιμασία τῶ καιροῦ τῆς τρύγης οὐ μόνον ἀπὸ τῆς γνώσεως, ἀλλὰ καὶ ἀπὸ τῆς ὄψεως.

(8) Cf. Geopon. v, 45, 2.

(9) Cod. γῶν. Permutari notum est η et υ. Lydus De ost. pag. 18 : τὰ δὲ τῶν ἰσοριῶν μὴ καὶ περιττὸν ἐν ἡμῖν ἢ λέγειν. Malim ἐν ὑμῖν, « apud vos », lectores scilicet, vel auditores; quos etiam compellat pag. 12, πειράσομαι ταῦτα πρὸς ὑμᾶς διελθεῖν : et p. 24, ὅσα οἱ εἰδότες λέγειν ἀδολεσχίας ἐστίν.

(10) Cf. Geopon. v, 46.

Καὶ ταῦτα μὲν περὶ τῆς ἀμπέλου· δένδρων δὲ φυτεία ὁ μεσοπωρινὸς καιρὸς ἐπιτηδειότατος, καὶ μάλιστα ἐν τόποις ἀνύδροις. Χρὴ οὖν μετὰ τὴν δύσιν τῶν πλειάδων φυτεύειν ἄχρι τῆς χειμερινῆς τροπῆς. Φυτευτέον δέ σοι καὶ ἐν τῷ ἔαρι ὅσα μὴ ἔφθασας τοῦ φθινοπωρινοῦ φυτεῦσαι (1). Ἐπεὶ δὲ διάφορι αἱ τῶν δένδρων (2) φυτεῖαι (τὰ μὲν γὰρ ἀπὸ σπέρματος χρήσιμα πρὸς φυτείαν, ἕτερα δὲ ἀπὸ παρασπάδων, τῶν καλουμένων μοσχευμάτων, τινὰ δὲ ἀπὸ πασσάλου, ἔνια δὲ ἀπὸ κλάδων), ἀπὸ μὲν σπέρματος φυτευτέον σοι μάλιστα πιστάκιον, λεπτοκάρυον, ἀμύγδαλον, κάστανον, δρόκινον (3), δαμασκηνόν· ταῦτα δὲ μεταφυτευόμενα βελτίονα ἔστι. Ἀπὸ δὲ παρασπάδος ἤτοι μοσχεύματος, φυτευτέον σοι μῆλα, κέρασον, ζίζυφα, λεπτοκάρυον, χαμαιδάφνην, μυρσίνην, μέσπιλον· μοσχεύματα δὲ καλεῖται ὅσα πρασήνωται τοῖς δένδροις καὶ ἐξ αὐτῶν ἀποσπᾶται μετὰ φανεροῦ μέρους τῆς ῥίζης. Ἀπὸ δὲ πασσάλου καὶ κλάδων φυτεύεται ὄχνη, ἀμυγδαλῆ, μῆλα, ἐλαία, καὶ ὁπόσα τοιαῦτα.

Τὰ μέντοι γε μῆλα (4) ἐν διτταῖς ὥραισι φυτευτέον τοῦ ἔτους, ἔν τε τῷ ἐαρινῷ καὶ ἐν τῷ φθινοπώρῳ. Ἐγκεντρίζεται (5) δὲ τὸ μῆλον εἰς πᾶσαν ἀχράδα (6), καὶ εἰς κυδώνια, καὶ εἰς δαμασκηνά, καὶ εἰς πλάτανον.

Ἡ δὲ ὄχνη φυτεύεται (7) οὐ μόνον ἐξ αὐτορρίζων,

(1) Cf. Geopon. x, 2.
(2) Cf. Geopon. x, 3.
(3) Codex, δρόκινον. Est δωρακινόν in Geoponicis.
(4) Cf. Geopon. x, 18.
(5) Cf. Geopon. x, 20.
(6) Codex, ὀχράδα.
(7) Cf. Geopon. x, 22, 3.

ἀλλὰ καὶ ἐκ παρασπάδων. Ἐγκεντρίζεται δὲ καὶ εἰς ῥοιὰν (1), καὶ εἰς ἀμυγδαλῆν, καὶ εἰς κυδώνια, καὶ εἰς συκάμινον.

Ἐκ πάντων δὲ τῶν φυτῶν τὴν συκῆν ἄμεινον ἐν τῷ ἔαρι φυτεύεσθαι (2). Ἐγκεντρίζεται (3) δὲ αὕτη καὶ εἰς συκάμινον καὶ εἰς πλάτανον.

Ἡ δὲ ῥοιὰ (4) θερμῷ ἀέρι χαίρει, καὶ ἐν ἀνύδροις χωρίοις φυτεύεται.

Τρεῖς δὲ (5) τρόποι εἰσὶν ἐγκεντρισμῶν· καὶ ὁ μὲν εἷς κυρίως καλεῖται ἐγκεντρισμὸς (6), ὁ δὲ ἕτερος ἐμφυλισμός, ὁ δὲ τρίτος ἐνοφθαλμισμός. Κρείττων δὲ τῶν ἑτέρων δυοῖν ὁ ἐγκεντρισμός· κἂν γὰρ αὐτά τις τὰ φυτὰ εἰς (7) ἑαυτὰ ἐγκεντρίσῃ, τρυφιμώτερα καὶ καλλίονα γίνεται. Τίς δὲ ὁ ἐγκεντρισμός, καὶ τίς ὁ ἐνοφθαλμίσμος, καὶ τίς ὁ ἐμφυλισμός, καὶ πότε δεῖ ταῦτα ποιεῖν, ἐν ἑτέρῳ σοι ἐπιστολῇ δηλωθήσεται (8).

(1) Cf. Geopon. x, 24.

(2) Finis vocis nunc fere evanidus. De sensu nihil dubii est, nec de ipsa lectione. Cf. Geopon. x, 45, 1.

(3) Cf. Geopon. x, 52.

(4) Cf. Geopon. x, 29.

(5) Cf. Geopon. x, 75.

(6) Cod. ἐγκαντρ, reliquis literis evanidis, facile supplendis et e re ipsa et e Geoponicorum loco.

(7) Præpositio prorsus evanida.

(8) Quæ interim discere poterit harum rerum studiosus lector e Geoponicis x, 75, 76, 77.

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΥΡΤΑΚΗΝΟΥ

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ

ΠΡΟΣΦΩΝΗΜΑ.*

Εἴ τις δὲ λόγοις ἄρα παιδόθεν ὀκδεδομένος, εἶτ' ὀκεῖθεν ἥκων μετείως πεπαιδευμένος, μὴ ϗ λόγον ἥκει φέρων πρὸς αὐτοκράτορα, ὅτῳ τὸ ϛέμμα μᾶλλον ὀκ λόγων ἢ μαργάρων ϗ διαφανῶν λίθων ὡραΐσται, ϗ κόσμος ἐστὶν αὐτὸς αὐτοκρατορίας, ναὶ μὴν ϗ στέφος εὐσεβείας, οὐχ ἥκιστα δὲ ϗ πορφυρίδα μὲν ἀμπεχόμενος τὴν ἀλήθειαν, ἀντὶ διαδήματος δὲ τὴν ἐξ ὕψους δύναμιν περιεζωσμένος, ϗ κλείζων τὸ κράτος ἢ κλειζόμενος, ὥστ' οἴκοθεν οἷός τις τὸν ὑφ' ὅτου συνιστάναι τὰ τοῦ κράτους ἀνέζωσται, οὐκ ἐλεγκτέος, μᾶλλον δ' ἐγκλητέος ἂν εἴη τῆς ἀπειροκαλίας; πάντως. Ταῦτ' ἄρα ϗ πόθος μὲν εἶλκε πρὸς λόγον, οὐδὲν δ' ἧττον ϗ λόγος πρὸς ὄκνον· δεδιὼς μὴ, τῶν πρὸς ἀξίαν ἀποτυγχάνων, γέλωτα πλατὺν ὀφλήσειν (1) ἐγχειρῶν ἀνεφίκτοις. Ἐπειδὴ δὲ Θεὸς, οὗ σὺ μιμητὴς, πρεσβίεται μὲν ϗ Παύλου τὴν φυτείαν, πρεσβίεται δὲ ϗ Ἀπολλὼ τὴν ἀρδείαν (2), οὐχ ἥκιστα δὲ ϗ τὰ δύο τῆς χήρας

* E codice regio 1209, p. 77. Theodori Hyrtaceni, scriptoris non inelegantis, ex eodem cod. Epistolas edidit Dutheilius in Notit. Mss. tom. v et vi. Vixit sub Andronico seniore.

(1) Sic μὴ posuit cum infinitivo sub finem Epist. ix: αἱρεῖ δέ με ϗ δέος μὴ, τῷ ταύτῃ πιζεύειν, τῆς βασιλέως ἀποφοιτᾷν προσωπήσιως.

(2) Respicit Pauli verba Ep. i ad Cor. iii, 6: ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανεν.

λεπτὰ (1) μείζω τῶν ἐρανιζομένων τῷ ἱερῷ κέκρικέ τε καὶ προσήκατο, καὶ ταῦτα μεγάλα τῶν μειζόνων ἀφιερούντων, δῆλον ἄρα προσήσεσθαι καὶ σὲ, βασιλεῦ, τουτονὶ τὸν λόγον, κἂν βραχὺς, ὡς ὀφειλὴν ἀφωσιωμένον, κἂν μέγα τοῦ προσήκοντος λείπηται, καὶ ὅσον ἐκ διαμέτρου πρὸς τὸν πόλον τὸ κέντρον, ἢ μὴν αἱ δυσμαὶ τῶν ἀνατολῶν. Ἀμέλει τοι καὶ ἴλεως εἴης, πρὸς τὸν πόθον ὁρῶν, ἀλλὰ μὴ τὸν λόγον.

Οὐκοῦν ἀρκτέον. Ἀρκτέον δὲ, φησὶ Σολομῶν (2), ὅθεν ἄμεινον· ἄμεινον δὲ ἀπὸ τοῦ λόγου, ὃς Θεὸς, λόγος ὤν, εὐοδώσει τὸν λόγον (3).

Θεὸς, τὸν νοερὸν καὶ πρῶτον δημιουργήσας διάκοσμον, ἀϋλίᾳ τε τιμήσας, καὶ προϋποστήσας λαμπρῶς φῶς δεύτερον, οἰκεῖον καὶ προσεχὲς ἑαυτῷ, ἐπειδὴ τὰ τῆς πρώτης δημιουργίας ταύτης εἶδε καλῶς ἔχοντα, καὶ ὡς οὐκ ἐξὸν ἔξειν χρειτλόνως, δεύτερον αὖθις κόσμον παράγει καὶ τὸν ἐξ ὕλης, ὅς ἐστι τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ σύστημά τε καὶ σύγκριμα, καὶ παντοδαποῖς κάλλεσιν εἴδους μορφοῖ. Ἐπεὶ δὲ καὶ οὗτος λίαν εἶχε καλῶς, ἐδεῖτο δὲ καί τινος ἐμπνεύσεως καὶ κινήσεως, ὥστε μὴ δοκεῖν ἀτελὲς εἶναι, τὸ δ' οὐκ ἦν ἄλλως ἢ γενέσθαι διὰ ψυχῆς, ζῶον, τὸν ἄνθρωπον, σύνθετον ἐξ ἀμφοῖν, νοερῷ λέγω καὶ αἰσθητῷ, ἀϋλίας καὶ ὕλης, ὠργάνωσε καὶ ἐνεψύχωσε, καὶ, ζωώσας, κόσμον ἄλλον ἐν μικρῷ μέγαν ἐπὶ γῆς ἔστησε, καὶ τῶν

(1) Respicit Marci Evang. XII, 42: καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλε λεπτὰ δύο.... Καὶ.... εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων βέβληκε τῶν βαλόντων εἰς τὸ γαζοφυλάκιον.

(2) Nescio quem respexerit locum, hunc forsan Sirachidæ, XXXVII, 16: ἀρχὴ παντὸς ἔργου λόγος.

(3) Sic ludet infra initio laudationis funebris Nicephori Chumni, et p. 287. Conf. Gregorius Naz. supra pag. 5, 23.

ἐν αὐτῇ πάντων βασιλεύειν προβάλετο, κἂν Δημόκριτος ληρῇ μέγαν μὲν τὸν ἐξ ὕλης καὶ εἴδους μόνων, μικρὸν δὲ κόσμον τὸν ἄνθρωπον, τῷ τὸν μὲν περιέχειν, τὸν δὲ περιέχεσθαι, ὥσπερ οὐκ εἰδὼς ἑαυτὸν ἐκ τῶν αὐτῶν τῷ κόσμῳ στοιχείων συντεθεῖσθαι, συμμεμίχθαί τε καὶ συγκεκράσθαι, ἔχοντα δέ τι καὶ πλέον (τί τοῦτο;) ψυχὴν νοερὰν, λογικήν τε καὶ ἀρχικὴν, κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν (1) τοῦ δεδημιουργηκότος Θεοῦ, κἀντεῦθεν ἀλογίστως ἑαυτὸν δογματίζων, ἐλέγχων δὲ μᾶλλον, οὐκ ἄνθρωπον, ἀλλ' ἢ λίθον ἢ σίδηρον εἶναι, ἢ καί τι τῶν ἀλόγων ζώων, βοῦν τυχὸν ἢ μὴν ὄνον, μὴ γνόντα τὴν φάτνην (2) τοῦ κυρίου αὐτοῦ. Ἀλλ' ὥσπερ οὐκ ἄν ποτ' εἴη σῶμα ζῶν ὁμοῦ καὶ κινούμενον ἄτερ πνεύματος, οὕτως οὐδὲ κόσμος ἐκτὸς ψυχῆς, βασιλέως δὴ λέγω, διοικοῖτ' ἂν καλῶς· καί, καθάπερ οὔτε τὴν σελήνην δυνατὸν σελαγεῖν, εἰ μὴ παρ' ἡλίου σέλας δανείζοιτο, οὔτε πόλιν εὐνομουμένην, ἢ μὴν δημοκρατουμένην (3), καθεστηκυῖαν ἴδοι τις ἄν, εἰ μὴ βασιλέως χειρὶ κρατουμένη διέποιτο, πρὸς εὐνομίαν τε καὶ κατάστασιν διϊθύνοιτο, νηὸς δίκην ὑπὸ κυβερνήτῃ κυβερνωμένης δοκίμῳ καὶ πρὸς ὅρμον καταιρούσης γαλήνιον· εἰ δὲ μὴ, ζωοποιοῖτ' ἂν καὶ σῶμα ψυχῆς ἄτερ, καὶ ψυχὴ διοικοῖτ' ἄνευθεν σώματος. Ἀλλ' οὔ φησιν ἐάσειν τὸ συμφυὲς καὶ ὑφέν, πήχει δὲ πάντως βασι-

(1) Respectu facto ad Genes. 1, 26: καὶ εἶπεν ὁ Θεός· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. Vide Notit. Mss. t. XI, part. 2, pag. 134, ubi nonnulla de formula κατ' εἰκόνα καὶ ὁμοίωσιν notavi.

(2) Respectu ad Isaiæ 1, 3: ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ.

(3) Quum εὐνομουμένην sententiæ non sit aptum, meo quidem sensu, puto auctorem scripsisse vel voluisse scribere, αὐτονομουμένην, aut potius ἀνομουμένην, permutatis de more α et ευ.

λικῷ συνδέοιτ' ἂν καὶ τὰ κάτω πρὸς εἰρήνην καὶ σύναρσιν, οἷαν Θεὸς καὶ τοῖς ἄνω παρέσχετο.

Καὶ ταῦτα μὲν ἐς τοσοῦτον· ἐμοὶ δ' ἠρημένῳ, θειότατε βασιλεῦ, πρὸς τὸν βυθὸν τῆς σῆς σοφίας καὶ τὸ πέλαγος τῶν ἐκεῖθεν ἐννοιῶν καθεῖναι τὸν νοῦν, τῶν δ' οἷα κυμάτων ἀλλεπαλλήλων οἰδούντων, καὶ περικλυζόντων, μᾶλλον δὲ καταβαπτιζόντων αὐτὸν, ἔπεισί γε καὶ πρὸ τῆς πείρας ἰλιγγιᾶν τε καὶ ναυτιᾶν, καὶ ταυτὰ πάσχειν πλωτῆρσιν ἀπείρῳ κυβερνήτῃ συμπλέουσι· καὶ οὐκ ἔσθ' ὅπως τὰ τῆς ναυτίας ἀποκλύσεσθαι κύματα, εἰ μὴ, σοῦ πρὸς Θεὸν τὸν νοῦν ἀνασχόντος, καὶ πηδαλίοις εὐχῶν κυβερνήσαντος, πείσμασί τε χρηστῶν ἐλπίδων ἐξάψαντος, ἀπὸ ζάλης ἔλθοι γαλήνη; καθάπερ ἔαρ ἀπὸ χειμῶνος, ἢ μὴν ἀπὸ νέφους ἥλιος· κἀντεῦθεν τῶν κυμάτων ἀφυβρισάντων πρόσορμιεῖ τὸ τοῦ νοῦ σκάφος ἀκύμαντον.

Ἐπανιτέον δὲ τὸν λόγον ὅθεν ἐκβέβηκεν· ἐκβέβηκε δὲ ὅθεν ἔφθη φράσας ψυχὴν εἶναι τῷ κόσμῳ τὸν βασιλέα, ὅτου χάριν καὶ δεδημιούργητο· εἰ γὰρ ἀληθὲς, τὸ φάσκον ἧττον εἶναι τὸ ἕνεκά του τοῦ ὅ ἕνεκα, εἵνεκα δὲ βασιλέως κόσμος, δῆλον ὡς σὺ, βασιλεῦ, τῷ κόσμῳ ψυχή.

Ἀδὰμ μὲν οὖν, ὁ πρῶτος γεγονὼς τῷ κόσμῳ ψυχὴ, καὶ βασιλεὺς, οἷα διοικεῖν αὐτὸν, προβεβλημένος ὑπὸ Θεοῦ, διῴκει μὲν καὶ διῳκεῖτο καλῶς μέχρι τινός· ἐπεὶ δὲ φθόνῳ διαβόλου καὶ γυναικὸς ἐπηρείᾳ θάνατος εἰς τὸν κόσμον ἐλήλυθε, καὶ τῷ χρεὼν μὲν Ἀδὰμ λελειτούργηκε (1), κόσμος δ' οἷον γεγήρακε καὶ σεσάπρωται,

(1) Sic loquitur Epist. 46 : ἐκείνῳ τῷ χρεὼν λειτουργοῦντος. Rursus Ep. 77 : καὶ μὴν Ἑλλάς ἐκείνος διδάσκων, τῶν βασιλικῶν πρυτανείων

Ἀδὰμ ὁ νέος ἐπιδημήσας διὰ σαρκὸς, κἀκεῖνόν τε καὶ τοῦτον, ὡς ἀετὸν, ἀνεκαίνισέ τε καὶ ἀνενέωσε, καὶ πρὸς τὴν πρότερον ἀποκατάστασιν ἐπανήγαγε. Τῆς Ἀδαμιαίας τοίνυν ἀρχῆς κατὰ διαφόρους αἰτίας καὶ χρόνους εἰς ἀρχὰς ἄλλας καὶ ἄλλας διῃρημένης, καὶ μέχρις αὐτῆς βασιλείας (ἵνα τὰν μέσῳ παρῶ) προϊούσης, καὶ τῶν ἐπ' ἐκείνοις καιρῶν βασιλέων τῶν μὲν εἰς δόξας ἀλλοτρίας ἐξοκειλάντων ὥστε καὶ μέχρις εἰδωλομανίας ὠλισθηκέναι, τῶν δ' εὐσεβῶς βιοῦν ἰσχυριζομένων, Κωνσταντῖνος ὁ μέγας ἐν βασιλεῦσι καὶ ἰσαπόστολος τὴν τῶν χριστιανῶν πρῶτος ἦρξεν ἀρχήν· ὃ τοὺς τρόπους, ὥσπερ σπόγγος, ἀναμαξάμενος, ἄλλος ὢν τυγχάνεις ἐκεῖνος· ἐῶ γὰρ ἔσοπτρον ἐκείνου φάναι καὶ ἴνδαλμα· τὰς ἑαυτῶν ἐμφάσεις (1) οἱονεὶ καὶ τοὺς χαρακτῆρας ὥσπερεί τινες γνώμονες ἀλλήλοιν ἀντιδιδόντες τε καὶ ἀντιλαμβάνοντες, ἢ μὴν ἀκτῖνες ἡλιακαὶ ἐκεῖθεν ἐκδισκευόμεναι κἀκεῖσε πάλιν ἀνταναχλώμεναι, ἢ καὶ πρὸς κύκλον ἀπὸ κέντρου γραμμαὶ ῥυϊσκόμεναι καὶ πρὸς τὸ κέντρον αὖθις ἐπανακάμπτουσαι.

Τὸ μὲν οὖν ἐξ ἐκείνου μέχρι σοῦ, βασιλεῦ, δογμάτων ὅσων καὶ οἵων αἱρέσεις, ἡλίκαι τε φλυναφίαι καὶ βλασφημίαι, πρὸς δὲ καταιγίδες καὶ λαίλαπες, κλυδώνιά τε καὶ ναυάγια, τὰς ἐκκλησίας Χριστοῦ

ἀπεσπίζετο καὶ χρυσίον συχνὸν ἐπορίζετο, μέχρι τῷ χρεὼν ἐλειτούργησεν· ὁ γε μὲν Χρωμαπόπουλος....cod. recte, ὁ γε μὲν Χρ. Idem Ep. 10: ἀστοῦδε τοίνυν ὑπὲρ φιλοῦντος πάτερος (codex, πρὸς, id est πατρός: idem est mendum Ep. 77, ubi πάτερος mutandum in πατρός) οὐ λόγοις, ἀλλ' ἔργοις...καὶ τὸ τῷ γήρᾳ καταπίπτον ὑπάντεχε τῷ πατρὶ (cod. recte πρὶ, id est πατεί)....εἰ δὲ μὴ, λειτουργήσω μὲν ἐγὼ τῷ χρεὼν σπουδείᾳ. Infra p. 281: νόμῳ δὲ φύσεως λειτουργήσασα. Cf. et p. 268.

(1) Lacuna hic esse videtur verborum saltem nonnullorum.

περιέσχον καὶ περιεδίνησαν συγκυκήσασαι, ὥσθ' ἀπωλείας βυθῷ, καθάπερ νῆας αὐτάνδρους, καθεῖναι πειρώμεναι, καὶ τὸν ὀρθὸν τῆς εὐσεβοῦς θρησκείας λόγον ἐκ μέσου πόρρω ποιήσασθαι, καὶ σκότος καὶ θύελλαν ἀνθ' ἡλίου κακῶς ἀμφιάσασθαι, μικρόν τε δεῖν ἐς παντελὲς ἐκτετείφθαι καὶ τὸ ἀπὸ Χριστοῦ μέγιστον ὄνομα! Τίς ἀντέσχε πρὸς ταῦτα; τίς ἀπόσιτος διημέρευσε; ποῖος διενυκτέρευσεν ἄγρυπνος; τίς πόνοις καὶ μόχθοις καὶ ψυχὴν ὁμοῦ καὶ σῶμα προήκατο καὶ προέδωκεν; οὐδείς, ὅτι μὴ σύ, δι' οὗ πύλαι ἅδου τῶν ἐκκλησιῶν οὐ κατίσχυσαν (1), οὐδ' οὐ μή ποτ' ἂν κατισχύσαιεν, ἕως ἂν Χριστὸς μετὰ σοῦ καὶ, διὰ σοῦ, μεθ' ἡμῶν ἂν εἴη, καὶ μέχρι συντελείας αἰῶνος, ὡς ἐπηγείλατο (2) ..... τὸ μὲν (3) τέμνων, τὸ δ' ἐξισῶν, καὶ προσβλέψαις ἱλαρῶς καὶ προσδέξαιο εὐμενῶς· καὶ τῷ σῷ μὲν κράτει πρὸς τοῦ ποιητοῦ τῶν αἰώνων αἰῶνες ἐπ' αἰῶσι, τρόπαιά τε τροπαίοις καὶ κατορθώμασι κατορθώματα πλείω καὶ μείζω, προσλιθεῖντό τε καὶ προσγίγνοιντο, καὶ, κατὰ τοὺς τῶν ἀετῶν πολυετεῖς, ἀνακαινίζοιο τὴν νεότητα· ἐμοὶ δὲ τὸ τῆς διανοίας σλενὸν κομιδῇ προσαύξοιτο, ἐπάξια τοῖς ἔργοις ὑφαῖνον ἀπὸ τελεωτέρων λόγων ἐγκώμια.

(1) Respicit nota Christi ad Petrum verba: ὅτι ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ἅδου οὐ κατισχύσουσιν αὐτῆς.

(2) Christus enim dixit in ipso fine Evangelii secundum Matthæum: καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.

(3) Inter ἐπηγγείλατο, finem p. 80, et τὸ μὲν, initium pag. 81, folium unum saltem periit.

ΤΟΥ ΑΥΤΟΥ

ΜΟΝΩΔΙΑ

ΕΠΙ ΤΩ ΘΑΝΑΤΩ ΤΟΥ ΛΟΙΔΙΜΟΥ ΒΑΣΙΛΕΩΣ

ΚΥΡΟΥ ΜΙΧΑΗΛ ΠΑΛΑΙΟΛΟΓΟΥ ΤΟΥ ΝΕΟΥ.*

Πολλῶν καὶ μεγάλων (1) βασιλέων πεπλωκότων ἀνέκαθεν, καὶ πολλῶν τὰ κατ' ἐκείνους μονῳδησάντων, οὐδένα μοι δοκῶ τῆς παρούσης εὑρεῖν ὑπερτέραν ὑπόθεσιν. Οἱ μὲν γὰρ ἑνὸς οὐτινοσοῦν τῶν καλῶν, ἢ ῥώμης τυχόν, ἢ σωφροσύνης, ἢ δικαιοσύνης, ἢ φρονήσεως, ἢ μὴν ἄλλου τινὸς ἐμονῴδουν· ἐγὼ δὲ βασιλέως τηλικούτου κειμένου, ὃν πᾶσαι μὲν ἐκόσμησαν ἀρεταί, πᾶσαι δὲ περιέστεψαν χάριτες, καὶ περιωρφίσαν καλλοναί (2), καὶ μυρμηκιά (3) τις ἀτεχνῶς ἦν ἀγαθῶν. Τοσαύτης τε κακῶν (4) ἰλιάδος περισχούσης τὰ Ῥωμαίων, τί ποτ' ἂν ἀξίως μονῳδήσαιμι; μᾶλλον δὲ, τί παρεικὼς οὐ παρεικέναι τὸ πᾶν δόξαιμι; Καί τοι κἂν περιῆν Σιμωνίδης (5), κἂν Πίνδαρος, κἂν ὅσοι τοῦ

* Ex cod. regio 1209 pag. 81. —Mortuus est Michael Palæologus a. 1320.

(1) Simile prorsus exordium laudationis funebris Nicephori Chumni infra edendæ, p. 282.

(2) Scripsi καλλοναί probabiliter. Codex est lacerus, superestque tantum ultima syllaba ναί.

(3) Adagium ὅτι πλήθος εὐδαιμονίας usurpatum, aiunt parœmiographi. Iterum occurret p. 272.

(4) Codex lacerus non κακῶν exhibet nunc, sed ultimam syllabam, eamque compendio obscuram, κῶν. Notissimum proverbium, κακῶν Ἰλιὰς, de quo consulendi parœmiographi.

(5) Similia vide infra initio laudationis Irenes, p. 269.

πρὸς λύραν ἄδοντος κόμματος (1), καὶ τὰς λύρας πρὸς ἁρμονίαν ἡρμόσαντο πένθιμον, οὐμενοῦν ἂν οὐδ' ἐκεῖνοι πρὸς τηλικοῦτο πένθος ἀπέχρησαν· ἀλλ' ἠτιμηθέντες ἠδέσθησαν, καὶ μακρῷ τῆς ἁρμονίας ἑαυτοὺς ἐμέμψαντο, καὶ κατάκρας ἑαλωκότες ὑπὸ προσωπείῳ σκηνικῷ ἐκαλύψαντο, τάς τε μουσικὰς συμφωνίας καὶ τοὺς ῥυθμοὺς παρ' οὐδὲν ἐλογίσαντο. Οὐδὲ γὰρ ὀδὲν τῶν ἀπὸ παντὸς αἰῶνος πενθῶν ἐξισωθήσεταί πως, ἢ μὴν μικρόν τι τοῦ παρόντος λελείψεται, εἰ μὴ σχεδὸν αὐτὸ τὸ πένθος ἐμψυχωθὲν, καὶ γνὸν ὁποῖόν τι τῆς φύσεως ἐστὶ, κατηγορήσειε μὲν ἑαυτοῦ οἷς τε τοιαύτης εἴληχε φύσεως, καὶ οἷς ἄλλοις καθέστηκεν αἴτιον· νυνὶ δὲ πάθος πάσχει ταυτὸν ταῖς ἐχίδναις, αἷς ἔνεστι μὲν ὁ ἰὸς φύσει, ἀλλ' οὔκουν ἑαυτὰς, φαρμάττουσι δὲ τοὺς δεδηγμένους καὶ φθείρουσι.

Σμύρναν σεισμῷ κατηρείπυῖαν σφοδρῷ, γεγενυῖαν δὲ μᾶλλον ἀνάστατον, ὥστε τὰ μετέωρα μὲν ἐς γῆς καταδύναι μυχαίτατα, τὰς δ' αὖ κρηπίδας ἀναμοχλευθῆναι καὶ οἷον ἀναβρασθῆναι πρὸς τὰ μετάρσια, τὰ στερρὰ δὲ τείχη καὶ τὰς ὀχυρὰς ἐπάλξεις δίκην ὑέλων θραυσθῆναι, καὶ τοὺς οἴκους τάφους γενέσθαι τῶν οἰκητόρων, ὥστε μηδ' εἰ πόλις ἦν ποτε γιγνώσκεσθαι τὸ κατερειφθὲν, Ἀριστείδης ὁ σοφιστὴς ἐμονῴδησε· Λιβάνιος δὲ (2) τὴν Νικομήδους, κἂν μὴ χείρω, ταυτὰ πεπονθυῖαν. Ἀλλ' ἦσαν ἐκεῖναι τῶν κοσμικῶν πόλεων μέρη, ὥς τε, τῶν μερῶν κατεστραμμένων, ἔσται τὰς πλείους, οἷα δὴ, μορίου τετμημένου (3)

(1) Dixit Aristophanes : Ἀνὴρ ἔοικεν εἶναι τοῦ πονηροῦ κόμματος. Hac locutione Theodorus passim utitur et abutitur : cf. p. 269, et Epist. 17, 21, 22, 27, 53, 70, 77.

(2) Δὲ abest a codice mutilo.

(3) Codex mutilus exhibet πλ tantum, et vix satis spatii fuit ut

τῷ σώματος, τὸ λοιπὸν (1) πᾶν περισώζεται. Ὁ νέος δὲ οὗτος (2) σεισμὸς, ὁ τοῦ βασιλέως δηλαδὴ θάνατος, κἂν μὴ χώρας πάσας (3) καὶ πόλεις ἄρδην συν-

μημένα contineretur, ni compendio exaratum, quod in his desinentiis est brevissimum.

(1) Cod. λεῖπον, quod mutavi, sensu jubente. Facile illæ voces permutabiles sunt : conf. not. ad Nicet. Eugen. pag. 352. Passim soni similitudo vocalium οι et ει confusionem peperit. Gregorius Nyss. in Wolfii Anecd. tom. II, pag. 289 : διὰ τοῦτο γὰ καὶ οἶκοι ὡς ἐς διαγωγὴν ἡμῖν ὀπτανόμενα, ὡς ἂν μὴ τῷ περιέχοντι διὰ ψύξεως ἡ θερμότητος καταπονεῖτο τὰ σώματα : scrib. καταπονοῖτο. Ipse Theodorus obiter sanandus, sic editus Epist. 50 : χρῶ πίνυν καὶ φύσει καὶ τέχνῃ, ἵν' εἰδεῖεν οἱ δεινοὶ κἀνταῦθα τῶν σοφιστῶν οἷός τις καὶ παρ' ἡμῖν Ἑρμῆς ὀντιθεατὴς λόγος : pro barbaro tempore εἰδοῖεν, cod. recte, εἰδεῖεν.

(2) Codex mutilus, ὀν. . . πς. Possit etiam scribi, ὁ νῦν δὲ οὗτος.

(3) Cod. mutilus, κἂν μὴ....πάσας. Et insunt fere vestigia inferioris sinistri cruris literæ χ. Solenne est χώρας καὶ πόλεις jungere. Demosth. Epist. 4 : ὑπὲρ τῶν Ἑλλήνων καὶ σώμασι καὶ χρήμασι, καὶ πόλει καὶ χώρᾳ, καὶ πᾶσιν ἀγωνιζομένους. Idem t. III, p. 163 : τὴν τὰ δίκαια ἀγαπῶσαν εὐνομίαν περὶ πλείστου ποιησαμένους, ἢ πάσας καὶ πόλεις καὶ χώρας σώζει (quæ conferenda obiter monebo cum Pindaricis de Opunte, ἂν Θέμις θυγάτηρ τί οἱ πάτρια λέλογχεν μεγαλόδοξος Εὐνομία). Decretum Byzantiorum in oratione pro corona : Φιλίππῳ τῷ Μακεδόνος ὅπερ ἐπιστεύσαντες ὅλην τὴν χώραν καὶ τὴν πόλιν. Joann. Chrysostomus Eclog. p. 282 : οἱ τὰς πόλεις καὶ οἱ τὰς χώρας οἰκοῦντες. Lesbonax Protrept. 3 : τὴν πόλιν καὶ τὴν χώραν σώζειν. Georg. Lapitha ineditus : ὅμως δ' ἑκάστης πέφυκε πόλεώς τε καὶ χώρας Τὰ ἤθη παραλλάττοντα διαφορᾶς μεγίστας. G. Acropolita p. 46 : εἰς ἀσφάλειαν τῶν χωρῶν τε καὶ πόλεων. Leo Diaconus maluit, ut videtur, in hac formula scribere χῶρον, p. 104 : μεταστάσεις πόλεων καὶ χώρων : quod in χωρῶν mutarem, ni impedimento esset locus alius p. 2 : πόλεων καὶ χώρων μεταστάντων. Forsan tamen et hic rescribendum χωρῶν μεταστάντων : est enim cum χώρων sensus non nitidus. Solœcismi vel gravissimi auctoribus ipsis excidunt aliud agentibus; quidni librariis? vide notas ad Planudis Metam. p. 542, 619. Initio Memnonis Excerptorum nunc legitur, πολλῶν αὐτὸν καὶ πικρῶν ἀλγηδόνων καταπονούντων, quod non sic fuisse relictum a Memnone pro certo affirmaverim, vixque Photio properanti velim tribuere. In Eclogis Joannis, non Chrysostomi, si sic omnia dixisset, offendo ad similem solœcismum : τῶν ὀδυνῶν ἐκείνων τῶν ἐν ποσὶ μικοὶ τὴν γαστέρα διακοπόντων : Matthæi præposteram demiror valde timiditatem, Sa-

ἐκρόδανε καὶ κατέστρεψεν, ἀλλὰ σχεδὸν οἰκουμένην ὅλην συνέσεισεν, ὡς φεικτὸς οὗτος ὄντως σεισμὸς, ὃν καὶ πρόφητης εἶπεν ἅπαξ γῆς κλονῆσαι τὰ πέρατα. Ἐστὶν ἐρεῖν τὸν αὐτὸν ἐμπρησμόν θ' ὁμοῦ καὶ κατακλυσμὸν ἐμπρήσαντα μὲν ὑπηκόων καρδίας τῇ φλογὶ τῆς συμφορᾶς, θρήνων δὲ δάκρυσι τὰς ψυχὰς κατακλύσαντα ἃ ταῖς θεομηνίαις ἔπεται σύμβολα. Ὅμηρος (1) μὲν δὴ ἐρραψῴδησεν,

« Ὦ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει· »

ἐγὼ δ' ὑπαλλάξας οὐκ Ἀχαιΐδα μόνην ἂν φαίην, ἀλλὰ πᾶσαν ὅσην ὁ Ῥωμαίων θεσμὸς περιείληφεν, ἐρεῖν δὲ μᾶλλον, ὁ περίγειος κύκλος ἐνηγκαλίσατο· πανταχῇ γὰρ γῆς τὸ Ῥωμαϊκὸν ἐξήπλωται φῦλον, ἀνά θ' ἕω καὶ δυσμὰς, βορρᾶν τε καὶ νότον, καθάπερ ἄμπελος χειρὶ πεφυτευμένη Θεοῦ, καὶ τὰς ἑαυτῆς παραφυάδας ἕως θαλάσσης καὶ ποταμῶν ἀποτείνασα (2). Ὡς γὰρ ἡ τετραμερὴς τῶν μελῶν σύνθεσίς τε καὶ σύναρσις, ἥ τε λοιπὴ διαρτία τοῦ σώματος ὑπὸ μιᾷ συναρμόττονται κεφαλῇ, τὸν αὐτὸν δὴ λόγον καὶ τῶν κοσμικῶν κέντρων καὶ κλιμάτων ἡ τετρακτὺς ὑπὸ μιᾷ βασιλείᾳ τῇ τῶν Ῥωμαίων συνέχονται καὶ

villianum διακοπῆκσῶν in nota memorantis tantum, nec recipientis. Nec Basilio Hom. mor. p. 328, τῶν ἡδονῶν ἐξοιστρούντων, reliquerim, lapsum calami in tali auctore manifestum. Plaudo criticis qui in Plutarchi Pyrrho 22 solœcum ὑπαρχόντων in ὑπαρχουσῶν mutaverunt. Quæ id genus vitia in poetis reperiuntur intacta sæpius manere debent.

(1) Il. A, 254. Conf. locum similem pag. 269. Libanium in monodia de Juliano imperatore sequitur t. 1, pag. 507, ubi ἦ μέγα, non ὦ μ., legendum ex Homeri loco et codice regio 1000, p. 176.

(2) Psalm. LXXIX, 12 : ἐξέπεμψε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμοῦ τὰς παραφυάδας αὐτῆς. Cf. similia p. 271.

συσφίγγονται, κἂν οἱ τῶν ἐθνῶν ἀγερωχοῦντες σατράπαι κακῶς ἀποσκιρτῶσιν ἀφηνιάζοντες, καὶ καθάπερ ἄνετοι πῶλοι φερόμενοι κατὰ πεδιάδος κρεμαίνωσιν (1). Ἀλλ' ὄκ ἐς μακρὸν ἀγερωχήσετε, δείλαιοι, οὐδὲ σοβαρὸν ἀνασπάσετε τοὔπισκύνιον, ἐπαίροντες τὰς ὀφρῦς, οὐδὲ σκιρτήσετε ἀφηνιάζοντες· δουλαγωγήσει γὰρ πῆχυς ὑμᾶς ὁ βασιλικὸς, καὶ ὑπὸ τῇ ζεύγλῃ τοῦ κράτους τοὺς ἀγερώχους αὐχένας συγκάμψετε· κἂν ἡμῶν πενθούντων αὐτοὶ γαυριᾶτε χαίροντες δήπουθεν, ἀλλὰ πενθήσετε· καὶ γὰρ τὸ θεῖον τόξον ἐντείνεται καθ' ὑμῶν, τά τε βέλη πρὸς ἄφεσιν ἑτοιμάζεται, καὶ τῶν ἐχθρῶν ἀφ' αἵματος μεθυσθήσεται (2), κἂν μὴ τὸν βασιλέα πεσόντα, πάντως ὑμᾶς αὐτοὺς κλαύσετε, συμποδιζόμενοί τε καὶ καταπίπτοντες καὶ χοῦν λείχοντες (3).

Ὦ βασιλεῦ, ζῶν μὲν μέγα Ῥωμαίων εὐτύχημα, πεσὼν δὲ δυστύχημα μέγιστον, τί τὸν πατέρα κ᾽ βασιλέα (4) παρεὶς, κ᾽ διαζυγεὶς καθαπερεὶ ψυχὴ σώματος, ἡμιθνῆτα κατέλιπες τῆς συμφυοῦς συζυγίας ἀπερρωγώς; Ὦ σχέσεως κ᾽ συμπνοίας ἀλλήλων! ὦ συμμίξεως καὶ συγκράσεως! ἀλλήλους μᾶλλον ἀνεπνεῖτε ἢ τὸν ἀέρα (5)· γλύκιον ἀλλήλους ὡρᾶτε κ᾽ πλέον ἤπερ ἀκτῖνας ἡλιακὰς ἄλλοι (6). Ὦ δυοῖν ἡλίων ἐν δίσκῳ φωσφορούντων ἑνὶ, νυνὶ δὲ, δεδυκότος θατέρου, κ᾽ τὴν

(1) Respicit Homericam equi lascivientis comparationem : Ὡς δ' ὅτε τις σατὰς ἵππος.... Δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κρεαίνων.

(2) Jerem. XLVI, 9, 10 : ἐκπίνατε τόξον... καταφάγεται ἡ μάχαιρα Κυρίου, καὶ ἐμπλησθήσεται καὶ μεθυσθήσεται ἀπὸ τοῦ αἵματος αὐτῶν.

(3) Psalm. LXXI, 9 : ἐνώπιον αὐτοῦ πρεσπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι.

(4) Andronicum Palæologum seniorem, adhuc vivum.

(5) Cf. similia p. 275.

(6) Puto scripsisse auctorem, οἱ ἄλλοι.

Ῥωμαίων ἀτέρου (1) φωτίζοντος, ὥσπερεὶ σελήνη νυκτὸς τὴν κλίσιν διχόμηνις! Ὦ καλὸν ἀλλήλων ἐντρύφημα, κἂν ἀλλήλοις ὄντες καὶ παρ' ἀλλήλοις, καὶ τὸ καινὸν διηρημένοι καὶ ἠδεμίαν ἐπίνοιαν, τοῦτο μὲν συμφυΐᾳ (2) καὶ συμπνοίᾳ ψυχῆς, ἐκεῖνο δὲ διαστάσει σωμάτων! Καὶ μὴν ὁ μὲν, εἴ τις πατέρων, ἀπεδίδου σοι τὰ πατρῴς, σὺ δ' οὐδὲν ἧττον ἀνταπεδίδους τὰ τοῦ υἱέος, καὶ σύνδεσμος ἐνῆν ἀμφοῖν θαυμαστὸς, οἷος οὐδ' ἐν Σολομῶντί τε καὶ Δαυίδ. Ἀλλ' ὦ τῆς βασκηνάσης μοίρας Κλωθοῦς! ἀνέλυσε μὲν ἐκεῖνον τὸν ἄῤῥηκτον σύνδεσμον, ἀντέκλωσε δὲ τὸν μίτον τοῦ χωρισμοῦ, καὶ πονήρως τὸ νῆμα τῆς πικρᾶς διαζεύξεως ἔνησε (3). Καὶ σὺ μὲν ἀπιὼν ᾤχου, ὁ δὲ καὶ περιὼν τρόπον τινά σοι συνῴχετο, ποθῶν δὲ τὸν οὐ παρόντα καὶ μηδὲν ὁρῶν, ἀλλ' ὡς δι' ἐσόπτρου τὰς εἰκόνας τῆς μορφῆς φανταζόμενος, ὀνειροπολῶν δὲ μᾶλλον, πενθεῖ κατάκρας καὶ τρυχέει δάκρυα γνοφερὰ καθαπερεί τις κρήνη μελάνυδρος (4).

Ἀλλ', ὅπερ ἔφην, τί τοιαῦτα δράσας ἔχεις τὸν πατέρα καὶ βασιλέα; τί δ', ἐγκοτήσας τοσοῦτον τῇ σῇ σελήνῃ, συνέστειλας μὲν τὰς ἀκτῖνας, ἔδυς δὲ ὑπὸ τάφῳ, ὡς ὑπὸ ζοφερᾷ νεφέλῃ χρυσεὶς ἥλιος; καὶ νῦν ἡ μὲν ὑπὸ σκοτομήνῃ βαθείᾳ, ἡμεῖς δ' οἷον ἀστέρες ἀπεσβεσμένοι, ἡ μὴν ἀπὸ κεφαλῆς σῶμα μελῃδὸν διεῤῥηγμένον καὶ θανατῶν, δέον, περιούσης τῆς κεφαλῆς, συνηρμολογῆσθαι τὰ μέλη καὶ τὰ μέρη τῷ

(1) Barbarum est ἀτέρου : debebat iterum θατέρου dicere.
(2) Codex, συμφία.
(3) Cf. similia p. 273.
(4) Ex Homero profecit Il. I, 14 : δακρυχέων, ὥστε κρήνη μελάνυδρος, Ἥτε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ. Cf. similia p. 280.

καθόλου συμπεριέχεσθαι. Τί τὸν φίλτατον υἱόν σοι καὶ βασιλέα καὶ ταῦτ' ἐν ἥβης ἄνθει παρεσκευάσας φθίνειν, τοὺς δ' αὖ δεσπότας τὸ ζῆν ἀπολέγεσθαι; Οἷον ἑώρακας, ἥλιε, καὶ μὴ τὰς ἀκτῖνας ἐνέκυψας, φρυκτωρεῖν αἰδεσθείς; οἷον σελήνη, καὶ σελαγεῖν πῶς ἠνέσχου; οἷον ἀστέρες, καὶ μὴ τὸ δακδυχεῖν ἀπεβάλεσθε, καθάπερ βαθείαις νεφέλαις ἐν ἀσελήνῳ νυκτὶ καλυπτόμενοι; Οἷον δ' ὁ δείλαιος εἶδον ἐγὼ μονῳδὸς, καὶ μὴ διαῤῥήγνυταί μοι καρδία, μήδ' ἐξεμεῖται τῶν ἐντὸς ἡ διάπλασις (1); Ὦ τῶν μεγάλων ἐλπίδων, ἃς ἡ πολιτεία Ῥωμαίων ἔτρεφον ἐπὶ σοὶ, βασιλεῦ, καὶ βεβαίας ᾤοντο, τὸ πονηρὸν δὲ βασκῆναν δαιμόνιον, καὶ βαρέως ἐπεισκωμάσαν, ματαίας ἐλήλεγχε! Καὶ μὴν ἐχρῆν ἡμᾶς μὲν τοὺς δυσδαίμονας ἀποίχεσθαι, περιεῖναι δὲ σὲ, μέχρις ἂν ἐς βαθὺ καὶ πῖον (2) ἥλασας γῆρας, κἀπὶ μακρῶν περιόδοις ἡλίων τὸ ὑπήκοον εὐφρανας.

Νυνὶ δ' (ὦ δεινῆς εἱμαρμένης!) πάντα πρὸς τοὐναντίον ἀντέστραπται, καὶ τὴν τῶν καλῶν κατάστασιν κακῶν διεδέξατο σύγχυσις, τά τε πικρὰ δηλητήρια συγκυκήσασα, κυκεῶ καὶ κόνδυ θανατηρὸν ἐνεκέρασε. Στύγνασον οὖν, οὐρανὲ, καὶ, γῆς ὁ κύκλος, εἴ τις αἴσθησις, στέναξον. Αἰθὴρ, τὸ λαμπρὸν καὶ φωτοειδὲς ἀποβαλὼν, τὸ σκοτοειδὲς καὶ μέλαν ἄμφιον ἀμφιέσθητι. Ἀὴρ, ἂν ἐπὶ Σαρπηδόνι τῷ τοῦ Διὸς φιάδας (3)

(1) Cf. similia p. 279, 286.

(2) Usitatius est βαθὺ καὶ λιπαρὸν γῆρας, quod illustravi ad Eunapium: adde Jacobs. ad Anth. Palat. p. 418. Ovidiana de Narcisso, «an esset Tempora maturæ visurus longa senectæ», non male vertit Planudes pag. 112: ἐρωτηθεὶς εἰ μακρὸς χρόνος λιπαρῶν θεάσεται γήρως.

(3) Hom. Il. Π, 458: οὐδ' ἀπέθησε πατὴρ ἀνδρῶν τε θεῶν τε, Αἰμα-

αἱματώδεις ἐψέκασας, νῦν ἐπὶ βασιλεῖ μεγάλῳ κειμένῳ ὄμβρους αἱμάτων ὅλους κατόμβρησον, καὶ σφαιροειδεῖς δακρύων χαλάζας ἀποσφενδόνησον. Ἂν ἐπὶ πληγῇ τῶν Αἰγυπτίων εἰς αἷμα τὰ τοῦ Νείλου ῥεῖθρα μετέβαλε (1), νῦν, ἐπὶ συμφορᾷ τηλικαύτῃ Ῥωμαίων, πᾶν ὕδωρ, ὡσεὶ τεῖχος πάγηθι (2) σιδηροῦν, καὶ, γῆ, πρὸς ὕδωρ ἀμείφθητι. Τὸ κράτιστον καὶ κάλλιστον ἔαρ ὦν ὥραις, καὶ παντοδαποῖς βρύον χαείεσσι, τὸ πολυβαφὲς τῶν ἀνθέων καὶ πάγχρουν ὅλον ἀλλαξάτω πρὸς τὸ μελάντερον (3), καὶ τὸ φύλλον ἅπαν ἀποκαρὲν, ὡς ὂν φθινοπώρῳ δένδρον, ἢ μὴν τείχας νεκρὸς, ἀποβαλλέτω τὸ καρπιμον, καὶ, ἀντὶ κυπαρίττου μὲν, ἀναβαινέτω σοιβὴ, ἀντὶ μυρρίνης δὲ, κόνυζα. Τὸ δ' αὖ καυσῶδες θέρος τὰς ἡλιακὰς μεταβαλλέτω βολὰς πρὸς κρυστάλλους καὶ πηγυλίδας (4) χειμερινάς. Αἵ τε λοιπαὶ τῶν ὡρῶν, πιτύων δίκην, ὀλολυζέτωσαν τῶν ὂν τῷ Λιβάνῳ κέδρων πεπλωκυιῶν· τῶν γὰρ ἱκανῶν ἀντέχειν πεσόντων, ποῦ δίκαιον ἑστάναι δὴ τὰ μὴ σθένοντα; Νῦν ἀένναοι καὶ δειδεῖς ποταμοὶ ναόντων νάματα θολερά· πηγαὶ δὲ καὶ λίμναι πότιμοι τῷ τῆς Μερρᾶς (5) συγκεκερᾶσθαι πικράζοντι. Ἀντὶ ψόφων καὶ βασμῶν καὶ βρυχηθμῶν κυμάτων, αἱ θάλατται ἀνθρωπίνους

πέσας δὲ ψιάδας καπίχνεν ἔραζε, Παῖδα φίλον πιμῶν. Cf. p. 276. Liban. Theodoro præivit I, 519.

(1) Vide Exod. VII, 17.

(2) Exod. XV, 8 : ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα.

(3) Conferri potest Moschus Epit. Bionis : Νῦν, ῥόδα, φοινίσσεσθε τὰ πένθιμα, νῦν, ἀνεμώνα.

(4) Meminerat forsan Odyss. Ξ, 476...ubi νὺξ πηγυλὶς et κρύσταλλος memorantur simul.

(5) Herodian. Epimer. p. 80 : Μερρᾶ, ὄνομα πηγῆς ἣν πικρὰν οὖσαν ἐγλύκανεν ὁ Μωϋσῆς τῇ ῥάβδῳ. Vid. Exod. XV, 23...Hesychii verba, Μεραὶ, ποταμὸς, inde forsan explicanda et corrigenda.

κωκυτὸς περιεσχέτωσαν, καὶ τὰς ὀλκάδας ἀντὶ λευκοπτέρων (1) μέλασιν ἱστίοις στελλέτωσαν, ἠπείροις καὶ νήσοις τὸ κοσμικὸν ἀγγελλούσας κλυδώνιον. Τί δεῖ μηκύνειν τὸν λόγον; εἶεν πάντα, κατὰ τὴν ποίησιν (2), ἔναλλα.

Παρέστωσαν ἤδη καὶ τῶν Ἀρετῶν αἱ κρείττους καὶ γενικαί, καὶ, τὸν ἑαυτῶν κόσμον ἀπολωλυῖαι, κλαέτωσαν· περὶς γὰρ σκεῦνον, ὡς εἰς ἔσοπτρον ἀκηλίδωτον, παρακύπτουσαι, καὶ τὴν ἑαυτῶν ἑκάστη μορφὴν καὶ κάλλονὴν ἀνιμώμεναι, καὶ, δίκην ἡλιακῶν ἀκτίνων, ἐμφάσεις τὰς μὲν διδοῦσαι, τὰς δὲ καὶ λαμβάνουσαι, ᾗ φύσεως εἶχον, σκεῦθεν ἦσαν ἀριδήλως ἐνοπτριζόμεναι. Σωφροσύνη μὲν, περὶς τὸν ἐγκρατῆ τῶν ἡδονῶν αὐτοκράτορα βλέπουσα· Φρόνησις, τὸν οἷον αὐτὴν ὀργανώσαντα, καὶ παρὰ τὴν σκεύνης οἰκήσαντα κεφαλὴν, ἢ μὴν αὐτὴν παρὰ τὴν σκεύνου (3)· Δικαιοσύνη τὸν ἀρρεπῆ ζυγοστάτην, καὶ παρ' οὗ δικαίοις ταλάντοις ἑαυτὴν ἐσταθμήσατο, καὶ κανὼν καὶ γνώμων ἰσότητος γέγονεν· εὗρεν Ἀνδρία τὸν ἔμψυχον ἑαυτῆς ἀνδριάντα (4), τὸν μέγαν καὶ γενναῖον τεισαεισέα καὶ βασιλέα· καὶ μέντοι παεοῦσα τὸν Μακεδόνα τὸν πολὺν καὶ θαυμαστὸν σκεῦνον Ἀλέξανδρον, καὶ τῆς ῥώμης ὑπεραγαμένη τὸν βασιλέα, τῆς τε στρατηγίας σκεπεπληγμένη, ἀποδοῦσα τὴν πανοπλίαν, ὡς οὐκ ἐξὸν τοῦ λοιποῦ δεόντως κεχρῆσθαι, παρῆκε τῷ κρείττονι·

(1) Præivit Aristides tom. 1, p. 459. Respexit forsan et Euripid. Hippol. 749: ὦ λευκόπτερε Κρησία πορθμίς. Cf. similia p. 279.

(2) Theocr. Id. 1, 134: Πάντα δ' ἔναλλα γένοιτο.

(3) Locus non nitidus. Forsan, ἢ μὴν αὐτὴν οἰκήσαντα παρὰ τὴν σκεύνου.

(4) Eunap. p. 21, de Socrate: ὃν γε ᾤοντο πάντες Ἀθηναῖοι πεεκπαπεῦν ἄγαλμα σοφίας: ubi editor.

ὃ δὴ φησιν Ὅμηρος (1) καὶ Κινύρην, τὸν ἡγεμόνα Κυπρίων, πεποιηκέναι πρὸς Ἀγαμέμνονα, τὸν τῶν Ἑλλήνων βασιλέα, φιλοφρονούμενον· ὃν γὰρ εἶχε πολυδαίδαλον θώρακα, χρῆμά τι ξένον καὶ σοφῆς τέχνης μηχάνημα, καθαπερεὶ τὸν ἥρωα μειλισσόμενος (αἰδὼς γὰρ καὶ δέος ἀνέπειθον), ἐδωρήσατο.

* * * ἢ πάντως (2) τῷ βασιλεῖ καὶ πατρὶ, καὶ, ὅτ' ἀναψυχῆς ἐδεῖτο καὶ τῶν πρότερων ἄθλων ἀνακωχῆς, δευτέρους ὑπῆκας καὶ μείζοσιν.

Ὀρφέα τὸν μουσικὸν ἐμμελῆ ψαλάτλειν λόγος κιθάραν, ὥστε τῷ λιγεῖ τοῦ μέλους οὐχ ὅτι μόνους ἀνθρώπους, ἀλλὰ καὶ θῆρας ὀρεινόμους, σκιρτᾶν, ἐπειδὰν (3) δ' ᾄχετο μὲν Ὀρφεὺς, τὸ τῶν νητῶν (4) δὲ πλῆκτρον ἠρέμησεν, ὥσπερ ἡσθημένους τοὺς θῆρας οἷον πεπόνθασιν ἀποκλάεσθαι, ἐπιποθοῦντας τὴν πρότερον τοῦ μέλους ἡδύτητα, καὶ μηκέτ' ἔχοντας ἀκροᾶσθαι καὶ τοῦ σκιρτᾶν ἀποσχέσθαι. Τῆς βασιλικῆς δὲ σειρῆνος, δηλαδὴ γλώτλης, καὶ τῶν μελιχρῶν φθόγγων ὀκείνης

(1) Hom. Il. A, 20.

(2) Apposui lacunæ signa, asteriscos. Ἐδωρήσατο finis est p. codicis 86, ἢ πάντως pag. 87 initium: inter utramque, quum sit sententiarum hiatus, manifestum est periisse folium saltem unum.

(3) Velim ἐπειδή. Manum puto nos habere librarii, non Theodori. Nonnunquam agere me memini de hac permutatione, v. c. ad Philostr. p. 329, ad quem locum hæc a Bastio adscripta habeo: «Phurnut. pag. 160: ἐπειδὴ » καὶ χρείαν ἔχωσιν: scribe, ἐπειδάν. » Liban. IV, p. 117, ἐπειδὰν.... » ἠλλάξατο, et p. 122, ἐπειδὰν... » ἐπαυήλθε: in utroque loco cod. » Ven. exhibet ἐπειδή. Pag. 216, » ἐπειδὰν δ' ἀνιάτως ἔχει: leg. cum » codice Parisino 3017, ἐπειδή. » Pag. 992, ἐπειδὴ λύσαντες παρα» μείψωσι: leg. cum cod. Paris. » 3014, ἐπειδάν. P. 1046, ἐπειδὴ » εἰς πόλεμον καταστῶσι: leg. ἐπειδάν. » Pag. 1062, ἐπειδὴ γάρ τις ὁρμήσῃ » γαμεῖν: leg. ἐπειδάν. Schol. Luc. » t. VI, p. 209: ἐπειδὰν ἔχειν υἱόν: » leg. ἐπειδή. » Infra, pag. 279, idem est mendum.

(4) Et mox eadem chorda ludit: ἀναβαλλομένη νήτην. Adponam

σιγώντων, οὓς γλυκίους μέλιτος Ὑμηττίου τῶν χειλέων ἀπέρρει καὶ πόρους οἷον κατεγήτευε τοὺς ἀκουστικούς, ἆρ' οὐ καὶ τοῖς ἀψύχοις ἐμψύχωσις, καὶ τοῖς ἀναισθήτοις γένοιτ' ἂν αἴσθησις, τῶν τῆς εὐδαιμονίας κύβων οὕτως ἀνατετραμμένων λαιῶς; καὶ μὴν τῆς Ἀμφίονός φασιν ἀναχρουομένης κιθάρας αὐτομάτως ἀφικνεῖσθαι καὶ λίθους πρὸς τὴν τῶν Θηβαϊκῶν τειχέων ἀνέγερσιν.

Ἡρόδοτος ταῖς Μούσαις λύραν ὠργάνωσεν ἐννεάχορδον, ἐφ' ᾧπερ ἑκάστη τὴν ἑαυτῆς ἀναβαλλομένη νήτην μέλος ἀπηχεῖν ἐνάρμονιον· ἀλλὰ νῦν δέον ἐστὶ (1), τὸν ῥυθμὸν μεθαρμοσαμένας πρὸς γεραὰν ἁρμονίαν, ξυναυλίαν ὀδύρεσθαι (2).

Ἕλληνες Φειδίαν, Θαλῆν (3) τε καὶ Ἀπελλῆν, τὸν μὲν λιθοξοϊκῆς, τὸν δ' αὖ πλαστικῆς, Ἀπελλῆν δὲ γραφικῆς ἕνεκα καὶ τῶν ἐκεῖθεν χαείτων, ἐθαύμαζον· μικρὸν (4) γὰρ ὡς ἐμψύχους καὶ σχεδὸν ἁλλομένας τὰς εἰκόνας ἀνεστήλω, καὶ ταυτὰς (5) τοῖς πρωτοτύποις.

locum valde corruptum ex ejus Epistola 73: χρῶ δὲ νήπαις, καὶ φορμίζων καλὸν ἀείδοις· κἂν πτά που κατὰ γῆν αἰνήτην συμβαίη πίπλιξ, ἀναπληρώσει τὸ τοῦ μέλους ἀνάκλημα, καθαπερεί ποτε τῷ Λοκρῷ. Conjecit editor, Αἰνήτην, quo sensu non dixit, nec dicam. Codex melius καταγῆναι νήτην συμβαίη, πίτ..... Legendum divisim: κἂν πτά που καταγῆναι νήτην συμβαίη, πίπλιξ ἀνα.. Nota historia Eunomi Locri, cujus quum inter canendum lyræ chorda rupta fuisset, cicada advolavit, et, jugo lyræ insidens, deficientis chordæ sonum voce supplevit. Rem diserte narrant Clemens Alex. initio Protreptici et Photius Epist. 93.

(1) Codex, δεῖν ἐστ.

(2) Cf. not. p. 277.

(3) Diogeni Laert. I, 38, Thales pictor, isque μεγαλοφυὴς, memoratur. Non est aliunde notus.

(4) Basilius scholiis ineditis ad Gregorii Naz. Or. XXXII, p. 501: μικρὸν, Ἀττικῶς, ἀντὶ τοῦ μικροῦ δεόντος, τυπίσι παρὰ μικρὸν, ὡς τοῦ βραχυπάπου λείποντος.

(5) Sic barbare, pro τὰς αὐτάς. Canterus in Euripidis Electra, 517, non veritus fuerat ταὐτῆς

Ἀλλ', εἰ πειῆσαν, ἐθαύμασαν ἂν ἰδόντες τὴν ἀπαράμιλλον τοῦ βασιλέως φυὴν, τὴν ἀναδρομὴν (1) τε τοῦ σώματος, καὶ τὴν ἐμμελῆ τῶν μελῶν συμφυΐαν, τήν τ' ἐξαισίαν τῆς ὥρας εὐπρέπειαν, καὶ τὴν τοῦ προσώπου χάριν καὶ καλλονὴν, ἣν Φύσις συνδραμοῦσαι καὶ Χάριτες ἀνεστήλωσαν, καὶ τῷ βίῳ κάλλος οἷον ἀρχέτυπον ἀνιστόρησαν. Καὶ τάχ' ἂν Ἕλληνες, παρέντες τῶν τεχνῶν ἐκείνους ἐκτεθηπέναι, μᾶλλον ἂν ἐπῆραν πρὸς μόνον τὸν βασιλέα βλέπειν, ὡς ἀκριβέστατον γνώμονα, τῶν λοιπῶν πινάκων ὑπειδόντες (2)· ἀλλ', οὐκ ἐξὸν, ὡς οἶμαι, τῇ τέχνῃ πρὸς ἐμφέρειαν χρήσασθαι, καὶ ναρκῶν ἔπεισι ταῖς χερσὶ, καὶ τῆς ἥττης ἑαυτοὺς μέμφεσθαι. Ὦ (3) Φύσις, οἵου κάλλους ἐξεῦρες μηχάνημα! οἷον ἀνεστήλωσας ἄγαλμα! οἷον οὐκέτι γε τοῦ λοιποῦ· ποῦ γὰρ ἕξεις, καὶ πρὸς ὅ τι βλέψεις ἀρχέτυπον, καθὰ ζωγράφος συληθεὶς τὰ τῶν πινακίδων πρωτότυπα;

Καλλοναὶ καὶ Χάριτες, τὰ τῶν προσώπων ῥόδα

conjicere; sed tunc oscitabat, puto, vir doctissimus. Ipse παυπὰν e Sophoclea Philocteta exemi; et Theodoro παυπὰς relinquo invitus, quem scripsisse puto πὰς αὐπάς.

(1) Homerus de Achille: ὁ δ' ἀνέδραμεν ἔρκεϊ ἶσος.

(2) Cod. ὑπειδόντας, compendio quidem, sed eo notissimo quo syllaba finalis ας exarari solet. Aliud est finalis syllabæ ες compendium, quod prætervidit vir doct. Theodori Hyrtaceni Epistolam tertiam describens. Legitur enim in codice, ἰόντες δὲ κἀνταῦθα τῶν ἐλπίδων ἐψύσμεθα, non ἰόντων, quod edidit et sensui repugnat.

(3) In cod. ω duplici accentu gravi et flexo notatus est a librario, qui scilicet hærebat. Non semel de hac varietate ad Planudem egi. Apollonius Tyan. Epist. 68: ὦ τῆς δημοσίας ἀμαθίας: codex Mazarin. 487, melius, ὦ. Idem Ep. 27, ὦ τῆς ἀμαθίας: et hic cod. ὦ, quod præstat. Obiter finem ejus Epistolæ sanabo: Ἡράκλειτος δ' ἦν σοφὸς, ἀλλ' οὐδὲ ἐκεῖνος Ἐφεσίους ἔπεισε πηλῷ πηλὸν καθαίρεσθαι: recte codex, ἔπεισι μὴ π. Jam intelligo Olearii esse illa menda, quæ in Aldina Apollonii editione non comparent.

καὶ τὰς παρειὰς ἀμυξάμεναι, τὰς κόμας σπαράξασθε, καὶ τετιλμέναι, μελανειμονοῦσαι, πενθεῖτε τὴν ἀκοσμίαν· ὅ τι γὰρ ἐκόσμει τὸν βίον, καλὸν ὁ βασιλεὺς συλλαβὼν ἀπιὼν ᾤχετο, καὶ μνημείῳ κρυβεὶς κατορώρυχε (1), παρεὶς σκεῦος τὸν ὅλβον ἀναζητεῖν, καὶ μηδὲν ἥτλον εὑρίσκοντα μακρὰ κλάειν οἰμώζοντα.

Ἡλιάδες (2), μηκέτι τὸν ἀδελφὸν πενθεῖτε Φαέθοντα, πρὸς Ἠριδανὸν σκιδιφρευθέντα τοῦ ἅρματος, οὐδ' ἀπερυγόντα τὸ πνεῦμα καθ' ὕδατος, ἀλλὰ πατέρα τὸν Ἥλιον καὶ τὴν ὑφ' ἡλίῳ γῆν ἀκτῖσι φρυκτωροῦντα βασιλικαῖς, οὐ πρὸς ὁρίζοντα τὸν ἕσπερον (3) καταδύντα, οὐδ' ὑπὸ τὸ βόρειον κλῖμα κρυβέντα, ἀλλὰ σήματι μὲν τὸ σῶμα, τὸ πνεῦμα δὲ χερσὶ Θεοῦ παραθέντα· κἂν ἥτλους γένησθε πένθους, δέον πρὸς αἰγείρους μεταβαλεῖν καὶ κατομβρεῖν ὡς ἤλεκτρα δάκρυα.

Νιόβην ἄνθρωπον οὖσαν εἰς λίθον λόγος μεταβαλεῖν, τὴν τοῦ Λὼτ δὲ πρὸς ἁλὸς στήλην πάγῆναι (4). Ἀλλ' οὔτε ταύτην, οὔτ' σκείνην ἐξῆν δάκρυα καταῤῥεῖν· ποῦ γὰρ λιθίνης φύσεως ἔργον δακρύειν; ἦν δ' ἄρ' σκεῦνα λατόμου τέχνης λαξεύματα, διὰ μηχανῆς, ὡς διά τινος σωλῆνος, ἐξ ὀφθαλμῶν λιθίνων ἀνακοντίζεσθαι πίδακας· τοιαῦτα γὰρ αὐτονομία κομψεύεται. Ἀλλὰ νῦν τοὔμπαλιν (5) δάκρυα μὲν ὑγρὰ πρὸς χαλάζης στρόμβους πηγνύσθων, μάρμαροι δὲ λίθοι καὶ στῆλαι ἁλῶν ὕδωρ καὶ γαῖα γένοιντο (6).

Σειρῆνες ἐμμελεῖς τε καὶ λιγυραί, τοὺς τῆς κεφαλῆς

(1) Cf. similia p. 272.
(2) Cf. Aristides t. 1, p. 460.
(3) Forsan ἑσπέριον, ut est infra in loco simili, p. 273.
(4) Genes. XIX, 26.
(5) Codex, πύπαλιν.
(6) Respicit Homerici versus clausulam: ὕδωρ καὶ γαῖα γένοιντο

βοστρύχους κειρόμεναι, καὶ τὴν καλλονὴν ἀποσεισάμεναι τῶν πλεκτῶν, ψιλὰς ὑπανείσαι ζεφύρῳ τὰς πλέκτας, μέλη πλέκετε γεραί.

Ἀηδόνες ποικιλόφθογγοι καὶ λαλίστατοι, μὴ πρὸς τέρψιν ἀοιδὰς ἀσματίζετε, μηδὲ λιγυρὸν τὸν Ἴτυν πενθεῖτε, παραλλὰξ δὲ συγγενέστερον κέχρησθε ταῖς ᾠδαῖς, καὶ τὰς φιλεργοὺς μιμεῖσθε τῶν μελισσῶν, αἳ πολλάκις καὶ τὸ κέντρον προσαφιᾶσι τῷ μέλιτι, ἵν', ἀμφότερον, ἢ τὸ γλυκὺ μὲν ἥδον τὴν γεῦσιν, τὸ κέντρον δὲ, νύττον τὴν γλῶτταν, πικραίνῃ τὴν αἴσθησιν.

Ἦσαν ἄρ' ἐκεῖνα τοῦ μεγάλου τοῦδε δεινοῦ προοιδάσματα, βροντῶν βιαίων λέγω συρρήξεις, καὶ βολὰς συχνῶν ἀστραπῶν ἄλλας ἐπ' ἄλλαις, κεραύνιοί τε σκηπτοὶ καὶ ῥαγδαῖοι κατακλυσμῶν ὑετοὶ, τά τ' ἄλλα ἄτλα τὰς ψυχὰς ἡμῖν ἐξεθάμβησε καὶ τὰς καρδίας ἐκλόνησεν.

Ὦ δύσδαιμον βίε, ὡς ἐλεεινῶς ἐξεκόπης τὸν ὀφθαλμὸν, ὃν, οἷά τις πολυμήχανος Ὀδυσσεὺς, ὁ πικρὸς πικρῶς ἐξώρυξε Θάνατος! Ἀλλὰ τί τοσοῦτον ἡμῖν τῶν καλῶν ἐβάσκηνας, Θάνατε, καὶ τὰ βέλη πυραυτώσας (1) ἠκόνησας; Τί δ', Ἅδη, τὴν ῥομφαίαν ἐστίλβωσας; ἢ πάντως ἐμπαγῆναι μὲν τὰ βέλη, ἐμπαρῆναι δὲ τὴν ῥομφαίαν τοῖς τ' ἔγκασι, ταῖς θ' ὑμετέραις (2) καρδίαις. Κἂν Κωκυτοὺς ἡμῖν ἀπειλῆτε, κἂν Πυρι-

(1) Quum modo Homerici Ulyssis meminisset Cyclopem excæcantis, ex poetæ narratione, quæ animo obversabatur, verbum πυραυτώσας sumsit: confer Odyss. IX, 328.

(2) Videtur hic nonnihil fuisse a librario omissum. Facilis mutatio ἡμιπέρας obscuritatem non tolleret, et sequentia ὑμιπέρας confirmant, ut et locus p. 280, qui est conferendus.

φλεγέθοντας, κἂν ἀχέροντας, οὐδὲν δέος· καθ' ἑαυτῶν γὰρ κινήσοιτε τὸν ἀνάγυρον (1), ἔργον σκείνων ἐσόμενοι.

Ἀλλ', ὦ θειότατοι βασιλεῖς, ἅλις τοῦ πένθους, ἅλις τῶν σεναλμῶν. Σοφόν τοι φιλοσοφεῖν κἂν δεινοῖς, καὶ τὸ γενναῖον ὅσον τῆς μεγαλοψυχίας ἐμφαίνειν (2), ἐπεὶ κὐ θανὼν ὁ βασιλεὺς ζῇ, νόμῳ δὲ λελειτούργηκε φύσεως (3), κὐ, τῆς ἐπικήρου ταύτης ὑπερειδὼν, πρὸς ἀγήρω μετέσιν ζωήν· κἂν εἴ τις φαίη πρὸ ὥρας, ἥβης τ' ἐπ' ἄνθη καὶ τῆς ἀκμῆς αὔξη, τό τε βίου σαθρᾷ μεσημβρίᾳ, πλὴν δόξαν οὕτω τῷ κρείττονι καὶ τοῖς ὑπὲρ νοῦν καὶ λόγον βουλήμασί τε καὶ κρίμασιν.

(1) Et eo utitur proverbio Epist. 4 : ἡμεῖν ἂν δικαίως νεμεσηθοῖ, καί μι καθ' ἑαυτῶν κεκινηκότες τὸν τῆς παροιμίας ἀμάγυρον. Rursus Epist. 29 : ὀκ ἂν καθ' ἑαυτοῦ δεόντως κινοίη τὸν τῆς παροιμίας ἀμάγυρον;

(2) Cf. similia p. 280.

(3) Vide p. 252 : notatis ibi de formula τῷ χρεὼν λειτουργεῖν addam Neophyti observationem ex ejus ad Synesii Ep. 12 scholiis : χρεών· ὁ θάνατος· ἔστι δὲ φωνὴ ἄκλιτος τὸ χρεών· ὀκ δὲ τῆς τοῦ ἄρθρου κλίσεως κὐ δοτικῆς ἔθ' ὅτι δύναμιν λαμβάνει, ὡς ἐλειτούργησε τῷ χρεών, ἤτοι ἀπέθανεν.

ΤΟΥ ΑΥΤΟΥ

ΜΟΝΩΔΙΑ

ΕΠΙ ΤΩ ΘΑΝΑΤΩ

ΤΗΣ ΑΟΙΔΙΜΟΥ ΚΑΙ ΜΑΚΑΡΙΑΣ ΔΕΣΠΟΙΝΗΣ

ΚΥΡΑΣ ΕΙΡΗΝΗΣ.*

Ὁμήρῳ μὲν τῷ σοφῷ Νέςωρ « λιγὺς (1) Πυλίων » ἀγορητὴς » ἐῤῥαψῴδηται (ωεοῆσθετο γὰρ ἐσομένας πεὸς Τρώων τοῖς Ἕλλησι συμφοεάς) μονῳδῶν·

« Ὦ πόποι (2), ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει »·

ἐγὼ δὲ, τὸ τῆς ῥαψῳδίας μικρὸν ὑπαλλάξας, φαίην ἂν· ἦ μέγα πένθος Ῥωμαΐδα γαῖαν πᾶσαν κατέσχε, βασιλίδος πεπλωκυίας ἀρίςης. Καὶ δυσδαίμων ὄντως ἐγὼ μονῳδὸς ωρὸς τοσοῦτο πένθος οὐκ ἐξαρκῶν· ἔπεισι γὰρ ἀποεεῖν οἵαν ἁρμονίαν ἁρμόσομαι πένθιμον, τίνας φθόγγους ωεοσᾴδοντας. Οὐδὲ γὰρ, οὐδ' εἰ παρῆσαν ωεὸς λύραν ἄδοντες ποιηταὶ, Σιμωνίδαι, λέγω, καὶ Πίνδαροι (3), καὶ ὅσοι τοῦ καθ' ὑκείνυς κόμματος (4), καὶ πεὸς φθόγγυς συντόνυς ἀνεβάλοντο φόρμιγγας, ἀπέχρησαν ἂν μέλη λιγυεὰ φορμίσαι καὶ γγεεᾷ, καὶ μονῳδῆσαι δὴ ξυναυλίαν. Τίς Καλλιόπη κελαδήσει κατ' ἀηδόνα, καὶ ταῖς λοιπαῖς τῶν Μουσῶν πεθασμάτων ςυγνῶν

* E codice 1209, pag. 90.— Irene augusta imperatoris Andronici Palæologi, cognomine Senioris, uxor fuit.

(1) Hom. Il. A, 248.

(2) Hom. Il. A, 254: conf. supra p. 257.

(3) Vide supra p. 254. Aristides præivit t. 1, p. 134.

(4) Vide p. 255.

περιαπάρξεται; Ποία μονωδιῶν ἀνέκαθεν συναρεῖται τῇ νῦν, ἢ διοίσει μικρὸν ἢ τοπαράπαν ἐξισωθήσεται;

Κἀμοὶ δὲ πολλῶν καὶ πάντων καλῶν περκειμένων, ὡς ἐφ' ἑνὶ καταγωγίῳ συνδεδραμηκότων ἐκείνῃ, καθάπερ ἐν λειμῶνι παντοδαπῶν καὶ ποικίλων ἀνθέων ἑκάστου πρὸς ἑαυτὸ βιαίως ἐπισπωμένου, οὐκ οἶδ' ὅ τί ποτε πρότερον, τί δ' ὕστερον δρέψομαι.

Καὶ γὰρ, ἢν ἐθέλῃ τις σκοπεῖν τἄνδον καὶ πρὸς ψυχὴν διαβαίνοντα, πασῶν ἀρετῶν ἄνθην εὑρήσει, καρπῶν εὐγενῶν εὐγενεστέραν, καὶ ὡραίων ὡραιοτέραν προμνήστειραν, ὥστ' ἑκατέρῳ συμβαίνειν ἑκάτερον, τοὺς καρποὺς μὲν ταῖς ἄνθαις, τὰς δὲ τοῖς καρποῖς ἀναλόγους, καὶ πανταχόθεν τὸ χρήσιμον ἐρανίζεσθαι, καὶ μηκέτι βρύειν μὲν ἐκείναις (1), τοῖς δ' ὑπολήγειν καὶ ὑπορρεῖν, ὅπερ εἴωθε γίγνεσθαι· ἀλλ', ὅπερ ἐπὶ τῶν εὐγενῶν ἐστι δένδρων ἰδεῖν, παρεχομένων μὲν τρυγητὸν τῆς πρότερας ἄνθης προϊσχομένης, εἶτα δεύτερον τῆς δευτέρας οὐχ ἥττω, τὸν αὐτὸν λόγον ἢν κἀν ἐκείνῃ τελούμενον, ὥσπερ ἠρημένης τῆς φύσεως τοῖς κρείττοσιν ἀεὶ περχωρεῖν.

Ἢν δέ τις βούλοιτ' ἂν καὶ τῶν ὁρωμένων πέρι φιλοσοφεῖν, ἴσθι μηδὲ τῶν μετριωτέρων ἀξίως ἂν ἐφικέσθαι. Φύσεως ἦν ἄγαλμα καὶ κάλλος οἷον ἄρρητον (2)

(1) Codex tenet ἐκείνοις. Rescribendum fuit ἐκείναις, scilicet ἄνθαις.

(2) Notum οἷον adjectivis vim superlativi addere, et passim obvia sunt exempla. Joan. Apocal. XVI, 18: καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταί· καὶ σεισμὸς ἐγένετο μέγας, οἷος οὐκ ἐγένετο ἀφ' οὗ οἱ ἄνθρωποι ἐγένοντο ἐπὶ τῆς γῆς τηλικοῦτος σεισμὸς οὕτω μέγας: quæ sunt valde turbata et intricata. In editione quam curavi interpunxi nitidissime, et ad orationis Græcæ proprietatem aptissime: ...σεισμὸς ἐγένετο μέγας οἷος· οὐκ ἐγένετο ἀφ' οὗ.... Vertendum erit μέγας οἷος, *maximus*.

καὶ ἀμήχανον, ὥστ' αὐτὴν ἐς ἐκείνην ὁρῶσαν τὴν Φύσιν ἑαυτὴν θαυμάζειν τῆς εὐτεχνίας, οἷον πεφήνεγκεν ἄγαλμα· ἦγε δὴ καὶ ζωγράφος καθάπερ ἀρχετύπῳ παρακύπτων ἰδίῳ πίνακί τε καὶ γνώμονι, γεγραμμένῳ δὴ κάλλιστα, ἢ μὴν ταῖς ἀλλήλων γραφαῖς Ἀπελλῆς τε καὶ Λύσιππος (1).

Ὦ δένδρον ὡραῖον ἀμφιλαφὲς παρὰ τὰς διεξόδους τῶν τῆς εὐσεβείας πεφυτευμένον ὑδάτων (2), καὶ καρπούς περίσχον ἐγκαίρους, οἷς Θεὸς ἐνετρύφα! ὦ κλήματις εὐφυεστάτη, ἣν οὐκ Αἰγυπτόθεν (3), ἐξ Ἰταλῶν (4) δὲ Θεὸς μετῆρε καὶ μετενήνοχε, βασιλεὺς δ' ἐν Ῥωμαΐδι μεμόσχευκε καὶ πεφύτευκεν, ἧς αἱ ῥίζαι μὴ ὅτι ἀνατολὰς καὶ δυσμὰς περιέδραμον, ἄρκτου τε καὶ μεσημβρίας κοιλάδας, ὅτι μὴ καὶ βυνοὺς ὀρέων ἐκάλυψαν αἱ σκιαὶ, αἵ θ' ἕλικές τε καὶ συρφαὶ τῶν ἀναδενδράδων καὶ παραφυάδων θαλάσσας καὶ ποταμὸς περιείλιξαν καὶ ὑπὸ τῇ Ῥωμαίων βασιλείᾳ συνέσφιγξαν, τῶν δ' αὖ βοτρύων νέκταρ θεῖον ἐξαπεθλίβετο. Ἀλλ' (ὦ συγκύρματος δυσιυχοῦς!)

(1) Locus mutilus. Videtur easdem fuisse hic sententias ac in prima Aristæneti Epistola: Λαΐδα τὴν ἐμὴν ἐρωμένην εὖ μὲν ἐδημιούργησεν ἡ φύσις... ὦ φύσεως τὸ κάλλιστον φιλοτέχνημα... ταύτην ἑαυτῆς, ὡς οἷόν τε ἦν, οἱ κορυφαῖοι γεγράφασι τῶν ζωγράφων· νικᾶ οὖν δέοι γράφειν Ἑλένην ἢ Χάριτας, ἢ καὶ αὐτήν γε τὴν ἄρχουσαν τῶν Χαρίτων, οἷον εἰς ὑπερφυὲς παράδειγμα κάλλους ἀφορῶντες, ἀνασκοποῦσι τὴν εἰκόνα τῆς Λαΐδος.... Videtur et Synesium respici Ep. I. Laudatur Irene a Niceph. Gregora verbis simplicioribus, VI, 2: ἦ δὴ καὶ κάλλος καὶ ἁρμονία τῷ ἤθει καὶ τῷ προσώπῳ ἐπιφέρειν οὐ μικρά.

(2) Psalm. I, 3: ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων..... Cf. p. 257.

(3) Respectu ad Psalm. LXXIX, 8: ἄμπελον ἐξ Αἰγύπτου μετῆρας.

(4) Erat enim Irene Longobarda natione, neptis marchionis Montisferrati, qui et, occupata a Latinis Constantinopoli, Thessalonicæ regnum fuerat sortitus. Vide Niceph. Gregor. VI, 2; VII, 5.

τί δὴ καθεῖλες, Θάνατε, τὸν φραγμόν; ἵνα τί δὲ καὶ δρυμόθεν, ὡς μονιὸς ἄγελος (1), ἐλυμήνω τε καὶ καλεκεμήσω; Ἢ σὺ μὲν ἠβούλω τρύγης ἐμφορηθῆναι γλυκείας, ἡμῖν δ' ἐγχέαι κρατῆρα πικρίας, κἂν λαθὼν αὐτὸς μὲν ἰὸν δρακόντων καὶ θυμὸν ἀσπίδων, ἡμεῖς δὲ κατανύξεως οἶνον (2) πεπώκαμεν. Ὦ μυρμηκιὰ καλῶν (3) βασιλὶς, ὦ ἀλαθῶν ἀλαθὶς, ὦ ἀρετῶν κορωνὶς, ὦ κόσμε χαρίτων, καὶ κοσμήσασα μᾶλλον ἢ κοσμηθεῖσα, ὦ στέφανε καλλονῶν, ὦ φύσεως ἐγκαλλώπισμα, ὦ φρονήσεως ὄργανον, ὦ τοῦ θήλεος καύχημα, ἣν ὅλην καλὴν διέγραψε Σολομῶν (4), ποῦ ποτε γῆς μεταπεφύτευσαι νῦν; ποῦ δ' ὤχου, ταῦτα πάντα συλλαβοῦσα, καὶ λιποῦσα τὸν βίον τηλικούτων καὶ τοσούτων ἐν ὀρφανίᾳ, καλὸν πᾶν, καθάπερ πολύολβον θησαυρὸν, ὑπὸ σωλαξὶ σορῷ κατορύξασα (5); ποῦ τὴν σοφίαν τοῦ νέου Σολομῶντος (6) ἢ παρὰ τίνι παρῆκας;

Καὶ μὴν ἀπὸ νότου θαυμασίως ἰδεῖν παραγέγθνας, μακρὰ πελάγη περιφρονήσασα, ὧν « μεταξὺ (7) » πολλὰ

» Οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα. »

Ἐφ' ἱκανοῦ δὲ κατατρυφήσασα δεῖν ὠήθης κἀπὶ τῆς

(1) Glossa in cod. margine: σύαγρος, τῆς ἄλλοις μὴ συναγελαζόμενος. Respicitur Psalm. LXXIX, 12: ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς... ἐλυμήνατο αὐτὴν σὺς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγελος κατενεμήσατο αὐτήν. Cf. infra p. 280.

(2) Respicit Isaiam XXIX, 10.

(3) Cf. supra p. 254.

(4) Respicit Canticum IV, 7.

(5) Conf. similia p. 266.

(6) Alludit non parum frigide ad titulum opusculi biblici, Σοφία Σαλομῶν. Novus ille Salomon est Irenes conjux, Andronicus Palæologus.

(7) Il. A, 157. Sed satis incommode poetæ versum ad rem accommodavit, ut μεταξὺ πελαγέων sit θάλασσα, mare inter maria.

Θετταλῶν Θρᾴκηθεν ἀποπλεῖν, ἐφ' ᾧ τοὺς φιλτάτους ἐκ Τριβαλλίας ἰόντας (1) ἀναγκαλίσασθαι, χρόνου παρεόντος ἐν μέσῳ συγχυθέν, καὶ τοῦτο μὲν φιλουμένοις καὶ φιλοῦσι γλυκίστης ὁμιλίας καὶ συνουσίας μεταδοῦναι καὶ μετασχεῖν καὶ ψυχῆς ἐκπλῆσαι τὴν ἔφεσιν, ἐκεῖνο δὲ καὶ Θετταλοὺς ἐφιεμένους ἰδεῖν ἥσυσα, κἂν δέοιντό του, εὖ πως καὶ βασιλικῶς θήσουσα, καί γε δὴ περιφανῶς ἐπανήξουσα. Ἡ βάσκανος δὲ Κλωθὼ (2) δεινῶς τὸν μίτον τῆς εὐδαιμονίας ἀνέλυε, καὶ τῆς δυστυχίας περιείλει τὸν ἄτρακτον, τό τε νῆμα δυστυχέστατον ἔνηθε, βλοσυρόν πως ἐνιδοῦσα τοῖς Ῥωμαίων καλοῖς, καὶ ἰταμὸν ἐγκοτήσασα· ὀκνῶ γὰρ ἄλλως τῆς τὰ καθ' ἡμᾶς, ὡς οἶδε, σοφῶς διοικούσης προνοίας τὸ πρᾶγμα λόγον ἐρεῖν (3), ὅτι γε τῶν ἀνεφίκτων ὁ λόγος καὶ μυστικός, καὶ οἷον οὐκ ἂν ἐξιχνιάσαι τις, κἂν εἰ λίαν βούλοιτο, δύναιτο. Ὡς δυστυχεῖς τῇ Ῥωμαίων ἀκτῖνας ἐφῆκας, Ἥλιε, ἡνίκα δῆθ', ὑποδὺς ὀείζοντα τὸν ἑσπέριον, σεαυτὸν μὲν ἡμῖν ἐπεσκίαζες, νυκτὸς δὲ τὴν βασιλίδα στόλον στελλομένην ἑώρας (4) οὐ νόστιμον, οἱονεὶ προφοιβάζων ἀμφότερον, ἐκείνῃ μὲν (ὡς μή ποτ' ὤφελες!) θάνατον, ἡμῖν δὲ στολισμὸν μελανείμονα!

(1) E Thracia, scilicet Byzantio, Thessaliam et Thessalonicam præcipue profecta fuerat Irene, ut filios Demetrium et Theodorum ex Servia, quæ Theodoro Hyrtaceno ut et aliis illa ætate scriptoribus Triballia dicitur, reduces, et ipsum forsan Serviæ eralen et Simonidam eralænam suam filiam, ipsi nuptam, ad se visentes amplecteretur. Ceterum de illo Thessalico Augustæ itinere legendus Nicephorus Greg. VII, 5, qui ejus causas aperit, quas timidus et prudens orator attingere non audet.

(2) Cf. similia p. 259.

(3) Codex, λογοτρεῖν.

(4) Videtur tunc phænomenon aliquod exstitisse, quod oratoric vel superstitiose interpretatur; vel tantum fuit noviluniuni.

Εἶχεν οὖν οὕτω τῇ βασιλίδι τὰ τῆς ἀποδημίας, ἢ μᾶν ἐκδημίας· σὲ δ' ἔκοπτε μὲν (1) οὐ μετείως καὶ τοῦτο, οἷα δὴ νοῦν διαβατικώτατον, τὸ μέλλον προβλέποντα· ἔκοπτον δ' οὐδὲν ἧττον καὶ οἱ τῶν πρέσβεων ἄλλοι ἐπ' ἄλλοις, οἱ μὲν ἕωθεν, οἱ δ' ἐκ δυσμῶν, οἱ δ' ἄλλοθεν, ἥκοντες· συχνοὺς γὰρ ἐπῆγε σχεδιάζων ὁ χρόνος συχνὰ παρέχοντας πράγματα· κἂν σὺ (βαβαὶ μεγαλονοίας καὶ μεγαλοψυχίας! βαβαὶ φύσεως εὐμηχάνου καὶ συνέσεως ἀπαραμίλλου!) πολυτελείᾳ μὲν ὑπερφυεῖ, οἰκονομίᾳ δὲ μεγαλοπρεπεῖ καὶ φιλοφροσύνῃ βασιλικῇ, δεξιῶς ἐθήρευες, κατὰ πρανῆ ῥοῦν ἐκκενῶν τοὺς ὄλβους, ὥσθ' ὁρῶντας τὸ μεγαλοφυὲς τῆς προνοίας ἐξίστασθαι, καὶ τοὺς μὲν ὑποκύπτειν ἑκόντας, τοὺς δ' αὖ, κἂν μὴ θέλῃν, ὕστερόν γε ὑπείκοντας, οἷα μαγνήτιδι σίδηρος, ταῖς μυείαις εὐεργεσίαις ἀνασπωμένους, καὶ ὑποσπόνδους, ἀρραβῶνάς τε διδόντας μηδαμῇ μηδαμῶς τοῖς ὑπὸ χεῖρα λυμαίνεσθαι. Οὕτως οὖν ἐπιμελείας καὶ σπουδῆς ἔχων (2), ὡς καί ποθ' ἡμέραις ὅλαις αὐταῖς νυξὶν ἀπόσιτος διαρκεῖν, καὶ μηδεμιᾶς ἀξιῶν τὴν φύσιν ῥαστώνης, τοὺς μὲν βασιλικῶς καὶ ὡς οὐκ ἄν ποτ' ὠήθησαν ἀπολυθῆναι προσέτατες, τοὺς δ' ὑπεδέχου, τοὺς δ' ἔμελλες, εἰρηνεύειν πανταχόθεν Ῥωμαίοις πραγματευόμενος.

Ὦ δυστυχοῦς ἐκείνης συντάξεως, μᾶλλον δ' ἐρεῖν, διαστάσεως, ἣν ὤδινε δαιμόνιον μήνιμα! καὶπειδήπερ

(1) Alloquitur, puto, Imperatorem viduum, qui oratori Augustæ parentanti aderat.

(2) Οὕτως ἔχειν πινὸς locutio est vulgarissima. restituenda Theodoro huic Hyrtaceno Epistol. 1: ἐπαιδευόμην δὲ καὶ σπουδείαν, οὐδ' αὐτὴν ταύτην εἰδὼς οἵα τις, οὔθ' ὅπως ποτ' ἔστιν ἔχουσα φύσιν: codex recte habet φύσεως, compendio quod editor aliud agens non fuit assequutus.

τέτοκεν, οὐκ ἀπόλωλεν, οὐδὲ σύνοδον αὖθις ἰδεῖν τῶν ἐπὶ γῆς φωσήρων ἠνέσχετο· ἀλλ' ἐς διάσταση μὲν ὅτι τάχιον ἦν, ἔς γε δὲ συνδρομὴν ἰταμὸν, ὡς ὤφελεν ἢ μὴ γένεσιν σχεῖν, ἢ, σχὸν, ἐς κόρακας αὐτίκα βαλεῖν (1).

Ὦ μακαρισθὴ βασιλὶς, τίς αὕτη καινὴν ἢν ὑπέδυς δυσμήν; ὥσπερ ἡ πρὸ (2) βραχέος πανσέληνος, εἶθ', ἡλίῳ μικρὸν ἀφεστηκότος, ἐπειδήπερ γέγονεν ἔκκεντρος, ἀπέβαλε μὲν τὰ σέλα, κατὰ βραχὺ δ' ἀπέσβη παντάπασι· καὶ νῦν ποῖον ὑπόγειον πόλον περιπολεῖς; ποῖ δὲ καὶ παρὰ τίσιν ἤδη μαρμαρυγεῖς; ἢ τάχα (3) χαριζομένη τοῖς οἰχομένοις, τοῖς μὲν φαῦσιν, ἡμῖν δ' ἀνεργεῖς τὸν βίον ἀσέληνον. Οὐχ ὁρᾷς, οὓς βασιλέας ἀνέπνεις πλεῖν ἢ τὸν ἀέρα (4), συγκάζοντας; κἂν περιυσίᾳ φωτὸς τὰς νεφέλας διασχόντες τοῦ πένθους ἐφ' ὁσονοῦν φρυκτωρήσωσιν αὖθις, ὥσπερ οὐκ μεταμέλου, τὰς ἀκτῖνας ὑπανασπέλλοντας; ποῦ τούτοις ὁ ὑπὲρ τὸν Σολομώντειον (5) βασίλειος σολισμός; οὐκ ἀποδύντες ἐνεδύσαντο καὶ περιεζώσαντο πένθιμον; Ὦ! πως περιορᾷς ὀλολύζον καὶ πηγάζον ὄμβρους δακρύων ἀπαραμυθήτων τὸ φίλτατον, μέλη τε θρεπτὰ πλέκον, καὶ θρῆνον ὄρθριον ἀσματίζον; οἷά τις νεοτὸς ἀηδόνος ἀπορφανισθεὶς τῆς μητρὸς, ἢ λεαίνης σκυμνίον, καὶ βρυχώμενον (6) πανημέριον; πῶς ὑπὸ συννεφεῖ

(1) Absone locutionem ἐς κόρακας, quæ est vilis et ludicra, orationi rhetorice turgenti immiscet; quod vitium illi condonarem lenis ac patiens, si nitidius quæ sentiebat expressisset. Hæc mihi valde sunt obscura.

(2) Cod. ὥσπερεὶ πρό.

(3) Malim, ἢ πάχα.

(4) Cf. similia p. 258.

(5) Respici puto Christi verba de liliis agri: λέγω δὲ ὑμῖν ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.

(6) Videtur deesse epithetum, cui καὶ βρυχώμενον junctum fuit.

κατασήματι καὶ σκοτομήνῃ βαθείᾳ καὶ καθάπερ ἀσελήνους ἀστέρας ὄντας δή, τὸ ὑπήκοον (1), καὶ ταῦτα μητεικῶν μᾶλλον αὐτῶν ἢ δεσποινικῶς κηδομένη; Ὦ οἷον ἔδρασας, ἡ συμπαθὴς μὲν τἄλλα πάντα ψυχή, μόνῳ δὲ τούτῳ τὸ συμπαθὲς ἀποκλείσασα!

Οἷον ἑώρακας, Ἥλιε, τὸν ἑῷον παρακύψας ὁρίζοντα; ἑωρακὼς δὲ, πῶς οὐκ ἐνετρέπης εὐθὺς, ἀλλ' ἠνέσχου περοδίσαι, δέον ἀναποδίσαι καὶ δῦναι πρὸς ἕω; Καὶ μὴν, ἀδικηθέντος Ἀτρέως, ἐλέγχων ὥσπερ τὴν ἀδικίαν, ἀνεκαίτισας μὲν τὸ σὸν ἅρμα, τὴν ἐναντίαν ἡνιοχήσας· πλειάδες δὲ, τὴν ἑαυτῶν παρεικυῖαν πορείαν, καινὸν ἀνάδρομον ἔδραμον· βασιλίδος δὲ τηλικαύτης πεπλωκυίας, ἔτλης τὸν ζωδιακὸν, ὡς εἰώθεις, περιπολεῦσαι, καὶ φρυκτωρῆσαι τὴν ὑπὸ σοὶ, καθαπερεὶ μηδενὸς συμβάντος μεγάλου, μηδ' ἣν ἀδικίαν ἠδίκησας αἰδεσθείς.

Λόγος ἐπὶ Σαρπηδόνι κειμένῳ (2) ψεκάδας αἱματοέσσας ἀφεῖναι τὸν Δία, τὸν υἱὸν ἀνακλαόμενον δήπουθεν· ἐνταυθοῖ δὲ πῶς οὐ χαλάζης στεγμβὸς αἱματηροὺς ἀπεσφενδόνησας σὺγγάζων, Ἀὴρ, οὔτ' οὖν ὄμβρους ῥαγδαίους κατήνεγκας; ἢ λῆρος καὶ μῦθος Ἕλλην ἐκεῖνα, σὺ δὲ, τῷ πένθει τῷδε σφοδρῶς πυκνωθεὶς, οἷον ἐπελάθου σαυτοῦ καὶ τῶν ὧν ἔσχες πρὸς φύσεως;

Γῆ Δάφνην (3) ἔσχηκε κόρην, ἧς ἐρασθεὶς τοῦ κάλλους

(1) Ni fuerit omissum a librario nonnihil, repetendum e superioribus περιορᾷς.

(2) Cf. similia p. 260, n. 3.

(3) In multis hæc narratiuncula cum Aphthoniana conspirat Progymn. p. 24: Δάφνη, φησὶ, Γῆς θυγάτηρ καὶ Λάδωνος, καὶ, τὴν ὄψιν τῶν πολλῶν διαφέρουσα, ἐρασθεὶς ἐποιεῖτο τὸν Πύθιον, κτλ. Ibi codex Mazarin. A 86, post ἐρασθεὶς, inserit ἑαυτῆς.

Ἀπόλλων ἐδίωκεν. Ἡ δὲ, σωφροσύνην διώκουσα, ταῖς μητειναῖς λαγόσι προσπέφευγεν· αὕτη δὲ πειρίλεί-λασα τετήρηκε μὲν τῇ κόρῃ τὴν σωφροσύνην, ψυχα-γωγοῦσα δέ πως τὸν ἔρασίην, φυτὸν ἀνέσχεν ὁμώ-νυμον, ὅπερ ἀναδεδημένος ὁ Πύθιος τῆς τε λύτίης ἐλώφησε, καὶ τὸν Πυθικὸν περιέσλεψε τρίποδα. Νυνὶ δὲ ποῖον ἂν ἔρνος βασιλικὸν ἀναδῶ; ποίαν δὲ χρυσῆν πλάτανον (1) ἀναθήλῃ τῷ βασιλεῖ, ἧς ὑπὸ τῇ σκιᾷ οὐχ ὁ Ξέρξης Πέρσης ἀνέψυχεν, ἀλλὰ βασιλεὺς, ὁ μέγας ὄντως (2), Ῥωμαίων.

Δεῦρο δὴ, Καλλιόπη καὶ Μοῦσαι Σειρῆσιν αὐταῖς Ἀχελωΐσι (3), ξυναυλίαν πενθήσατε (4), θεὰς αἰδεσθεῖσαι τὰς ἀμφὶ Θέτιν, αἵ γέ μιν ἀμφαγέροντο (5), Πάτροκλον κωκύσουσαι· αἱ τῶν Ἀρετῶν γενικαὶ, κοινῇ ταῖς ἄλλαις, τὴν ὑμετέραν εὐγένειαν (6), παρ' ἧς

(1) De platano Xerxis aurea vide Wernsdorf. ad Himer. Orat. pag. 161.

(2) Alludit, quod vix notandum mihi fuit, ad notam Persarum regis appellationem, qui rex regum et magnus rex vocabatur.

(3) Libanius Epist. 1590: ουπος ἀνὴρ (Basilius scilicet) τοσούτῳ κάλλιον (imo καλλίων, ni verbum perierit) τῶν Ἀχελῴου θυγατέρων, ὅσῳ θέλει μὲν ἥπερ ἐκεῖναι, βλάπτει δὲ οὐχ ὥσπερ ἐκεῖναι. Pro ἥπερ est ὥσπερ in cod. 2991 A.

(4) Cf. p. 264. Imitatur Aristophan. Eq. 8: δεῦρό νυν τοιστλὸ' ἵνα Ξυναυλίαν κλαύσωμεν, Οὐλύμπου νόμον: ubi conf. quæ notavi. In codice 2720, p. 36, 2, reperi notulam grammatici, quam hic inseram, ab edito scholio in nonnullis discrepantem: ξυναυλία καλεῖται, ὅταν δύο αὐληταὶ τὸ αὐτὸ λέγουσιν (scr. λέγωσιν), ἢ ὅταν κίθαρα καὶ αὐλὸς συμφωνῇ. Ὁ δὲ Ὄλυμπος δυσυχήσας διὰ τὴν μουσικὴν εὗρε τὸ συναλγεῖν (editiones, συναυλεῖν). Ουπος μαθητὴς Μαρσύου μουσικὸς ἦν. Ἔγραψε δὲ αὐλητικοὺς καὶ θρηνητικοὺς νόμους. Ἡ κατὰ τὸν νόμον τὸν ἐν τῇ Ὀλύμπου Μυσίᾳ· καὶ γὰρ οἱ ἐν τῇ Μυσίᾳ πολυθρήνητοι. Quæ ultima possunt inservire Æschyli Persis illustrandis, ubi, v. 1055, κἀπιβόα τὸ Μύσιον: adi ibi Blomfieldii Glossarium.

(5) Respicit Il. Σ, 37: θεαὶ δέ μιν ἀμφαγέροντο....

(6) Videtur deesse verbum. Pendebitne εὐγένειαν ab αἰδεσθεῖσαι? Hæc quam contorta!

ἐσεμνύνεσθε, ῥυθμιζόμεναι τὴν κατάστασιν· Ὦραι, Καλλοναί τε καὶ Χάριτες, τὴν ἑαυτῶν βασιλίδα· πρὸς ποῖον γὰρ ἄλλο, χρυσείσης σκείνης, ἔσοπτρον διαυγὲς παρακύψετε, καὶ τὰς μορφὰς ἀνιμήσεσθε; τίς δὲ ζωγράφος, τὸν ἀρχέτυπον ἀποβαλὼν πίνακα, τὰς εἰκόνας ἐμφερεῖς γράψει, ποικίλα κεραυνοῦ χρώματα;

Σελήνης ἦν λόγον· ἡ βασιλὶς τὰς ἑαυτῆς μαρμαρυγὰς σκδισκεύουσα, καὶ πρὸς ἑαυτὴν πάλιν ἀνθέλκουσα, ἢ μὴν ἀστραπῆς φαῦσις, πεὶν ἢ φωτίσαι τὰς ὄψεις, διάτρουσα.

Πασιφάη, θυγάτηρ Ἡλίου, Φαέθοντα θρηνῳδοῦσα τὸν ἀδελφὸν ἐς Ἠειδανὸν ἅρματος σκδιφρευθέντα τοῦ πατρικοῦ, πρὸς δένδρον μετέβαλεν αἴγειρον, καὶ τῷ δένδρῳ τὸ δάκρυον πρὸς δρειδὲς ἤλεκτρον συνεπήγνυτο. Νιόβη τὰ τέκνα (1), καὶ λίθου φύσιν ἠλλάξατο τῶν ὀφθαλμῶν ποταμοὺς δακρύων ἑξακοντίζοντος. Εἰ δὲ φύσις οἶδεν ἀψύχων τοιαῦτα καινοτομεῖν, πηλίκ' ἂν καινοτομήσειαν ἄνθρωποι; Ἀλλ' οὐκ ἔσθ' ὅπως ὄρους καὶ θεσμοὺς ὑπαλλάξαιεν φύσεως· οὐκοῦν Ἑλληνικῆς παραπληξίας σκεῦνα, λήρους συνιστάντα τοὺς πλάσαντας (2). Ἂν, Ἀφροδίτης ἐρώσης Ἀδώνιδος, τοῦ νέου δὲ θήρᾳ προσέχοντος, ἡ θεὸς σπουδῇ παραγένετο, καὶ τὸν πόδα κέντρῳ νυγείσης, τὸ καταῤῥεῦσαν αἷμα λευκὸν τὸ ῥόδον εἰς φοινικοῦν ἔβαψε (3), νῦν

(1) Sic codex: periit verbum, ἀπώλεσε forsan. Cf. similis locus pag. 266.

(2) Sic codex, hoc forsan sensu: «quæ nugarum istarum inventores ut ingeniosos saltem homines commendant.»

(3) Aphthonium sequitur, qui pariliter Progymn. pag. 4: κατὰ σπουδὴν ἐμβαλοῦσα τῷ ῥόδῳ, ταῖς ἀκάνθαις προσέπλασε, καὶ τὸν μὲν πρσὸν τοῦ πόδος περιπίρεται· τὸ δὲ καταῤῥεῦσαν αἷμα τοῦ τραύματος τὴν τοῦ ῥόδου χροιὰν εἰς τὴν οἰκείαν ὄψιν μεπίθησι. Vide Philostrati Epistolam 37, quæ a barbarismo incl-

δὴ δακρύων σιγνῶν ἐπικλύσεσι μεταβαφήτω πρὸς τὸ μελάντερον. Νῦν καὶ ὁλκάδες μέλασιν ἰσίλιοις σιελλέσθων, οἰωνὸς τοῦ πένθους ἀπαίσιος ἠπείροις καὶ νήσοις σιελλόμεναι (1) μέχρις Διονυσείων (2) καὶ Ἡρακλείων σιηλῶν Ὠκεανοῦ τ' Ἰνδικοῦ καὶ Ἀτλαντικοῦ.

Ἀλλὰ γὰρ ἤδη σιρεπτέον ἐσιὶν ἐφ' ὑμᾶς τοῦ λόγου τὸν ἄξονα, βασιλεῦ. Τίς ἦν ἐκείνη τότε ψυχὴ καὶ ὁποῖον δή τι κατάσιημα, ἐπειδὰν παρέσιη (3) μὲν τὸ χρεών, ἠνάγκαζε δὲ ἡ προθεσμία, κατήπειγε δὲ ἡ ἐκδημία, ἡ δὲ συνοχῇ ψυχῆς περιεσκοπεῖτο τῇδε κακεῖσε, εἴ πού σε τὸν ἑαυτῆς ἐσαθρήσει γλυκὺν αὐτοκράτορα, τὴν συνοχὴν ὅσον οἷόν τε παραμυθησόμενον, καὶ προλεῖπον ἤδη τὸ ἄσθμα μικρὸν ἀναζωπυρήσοντα, εἴ που τοὺς λαμπροὺς θεάσαιτο βασιλεῖς, τοὺς κλεινοὺς δεσπότας, τοὺς φιλτάτους, ὧν χάριν τὴν πικρὰν ἀποδημίαν ἐσιείλατο, τοὺς καθ' αἷμα μεγισιᾶνας Ῥωμαίων, τοὺς ὑπὸ χεῖρα, ὧν μηδένας ὁρᾷν (οὐδὲ γὰρ οὐδ' ἦσαν ἐγγύς) ὁ καιρὸς ἐπεῖχε συντέμνων. Εἶτα λοῖσθον (ἀλλ' ὤ! πῶς λέγω, καὶ μὴ διαῤῥήγνυταί μοι καρδία (4), μηδ' ἡ τῶν ἐντὸς οἰκονομίας ἐξεμεῖταί μοι διάπλασις;) τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. Στέναξον ἐπὶ τούτῳ βίαιον καὶ πένθησον, ὅσον ἐν τέλει καὶ ὅσον ὑποτελές, καὶ καταῤῥεῖτε δάκρυα

pit: αἰπᾷς με ὅπ σοι ῥόδα ὐκ ἔπεμψα: rescribe e cod. 1696 et Vaticano 140, αἰπᾷ. Multa peti possunt, si tanti est de re tantula, e notis ad Nicet. p. 218.

(1) Cf. similia p. 262.

(2) Bacchi columnarum meminit et Epist. 55: λόγοι δὲ ῥητόρων καὶ συγγραφέων, Ἡρακλείους καὶ Διονυσίους ἄθλους τε καὶ σήλας παρέντες, τὰ τοῦ μεγάλου δομεστίκου συγγράφοιεν κατορθώματα. Sunt in Arabico sinu Bacchi et Antibacchi insulæ, quas forsan innuit.

(3) Cf. pag. 263. Anonymus Allatii Exc. p. 337, ἐπειδὰν.... ἀφίκετο: imo ἐπειδή.

(4) Cf. similia p. 260, 286.

γνοφερὰ καθαπερεί τις κρήνη μελάνυδρος (1). Ὦ γλυκείας φήμης ἐκείνης, ἣν ἤκόν τινες φέροντες ὅσον οὔπω σ' ἐπανήξειν, ὡς ἀπὸ δυσμῶν σελήνην ἐφ' ἕω, φωςῆρι τῷ σῷ συνοδεύσουσαν! ἡ δ' ἦν (2) ἄρα ψευδής· ψεύδεσθαι δ' οὐκ ἐχρῆν, εἴ γε δὴ θεός τίς ἐςὶ καὶ αὐτή (2). Πλὴν ἡ μὲν εὐφραίνε τὴν βασιλίδα ταύτην τῶν πόλεων, ἡ δ' ἠτρέπιζέ σοι τὰ πρὸς ὑποδοχὴν, περιφανέσιν ὁμοῦ καὶ βασιλικοῖς εἰσιτηρίοις προσυπαντήσουσα καὶ δεξομένη τοιαύτην οἵαν δὴ κ' προπέπομφεν. Ἀλλ' ὦ δεινοῦ δαιμονίου, πῶς νῦν προσυπαντήσει κειμένη; τίνας ἀντ' ἐπιβατηρίων ὕμνων ἐξιτηρίους ἐρεῖ μονῳδίας; Καὶ σὺ δ', ἡ μητρικῶς μᾶλλον ἢ δεσποινικῶς διατιθεμένη, πῶς δῆτ' ἀποδέξῃ τῆς εὐγνωμοσύνης τὴν πόλιν, ποίοις δ' εὐχαριςηρίοις ἀμείψῃ τὴν εὔνοιαν;

Ὦ διὰ πάντων ἥκων ἀκόρεςε Θάνατε, τί τῆς καθόδου φθόνον ἔσχες τῇ βασιλίδι; τί δ' ἐγκοτήσας ἡμῖν ἐς τοσοῦτον, τῇ μὲν πύλας ἀνεζύγωσας ᾅδου, τὰς τῶν ἐλπίδων δὲ καθ' ἡμῶν ἐπεζύγωσας; καί τις οἷα θὴρ ἄγριος, ἢ μὴν μονιὸς ἐξώλης, τοὺς ὀδόντας θήξας, κατὰ τῶν σπλάγχνων ἔγχος ἐδέξω; Ποῖοι κ' πόσοι κοπετοὶ, κἀπὶ πόσων ὀνιαυτῶν περιόδοις ἡμῖν ἀποχρήσουσιν, οἰκτρῶς μὲν ἐξορυγεῖσι τὸν ὀφθαλμὸν, πικρῶς δ' ἀφαιρεθεῖσι τῆς κεφαλῆς;

Πλὴν πεισέον ἂν εἴη σοφῷ, βασιλεῦ, μέτρον ἄρισον φήσαντι (3), κἂν δεινοῖς ἀναγκαῖον φιλοσοφεῖν (4), κ' συνιςάναι τὸ μεγαλόψυχον, ἐπεί τοι μηδὲ τέθνηκεν

(1) Cf. similia p. 259.
(2) Respicit Hesiodum E. 762, ubi de Fama, θεός νύ τις ἐςὶ κ' αὐτή, at Synesio præeunte Epistol. 44.
(3) Cf. p. 144.
(4) Cf. similia p. 268.

ἡ βασιλὶς, οὐ μᾶλλον ἢ πρὸς τὸν Θεὸν ἐκδεδήμηκε, θείῳ μὲν προστάγματι πειθαρχήσασα, νόμῳ δὲ φύσεως λειτουργήσασα, ὑπεριδοῦσα τῶν ῥεόντων, καὶ τῶν ἑστώτων εἰς αἰῶνας αἰώνων ἐπαπολαύσουσα.

ΤΟΥ ΑΥΤΟΥ

ΜΟΝΩΔΙΑ

ΕΠΙ ΤΩ ΠΕΡΙΠΟΘΗΤΩ ΣΥΜΠΕΝΘΕΡΩ ΤΟΥ ΚΡΑΤΙΣΤΟΥ ΚΑΙ ΑΓΙΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΗΜΩΝ ΚΥΡΟΥ ΑΝΔΡΟΝΙΚΟΥ ΤΟΥ ΠΑΛΑΙΟΛΟΓΟΥ ΚΥΡΩ ΝΙΚΗΦΟΡΩ ΧΟΥΜΝΩ ΤΩ ΕΠΙ ΤΟΥ ΚΑΝΙΚΛΕΙΟΥ. *

Πολλῶν ἀνέκαθεν (1) πεπλωκότων ἐπὶ σοφίᾳ βεβοημένων ἀνδρῶν, καὶ πολλῶν ἐλλογίμων τὰ κατὰ τοὺς ἐκείνων βίους μονῳδησάντων, οἶμαι μηδένα μηδεμιᾶς μονῳδίας εὑρεῖν τηλικαύτην ὑπόθεσιν, οἵαν ἐμὲ τὴν παροῦσαν. Ὁ μὲν γάρ τις δυοῖν τυχὸν ἢ καὶ τριῶν που καλῶν ἐμονῴδησεν ἄν· ἄλλος δ' ἴσως πρὸς χάριν,

* Ex eodem cod. regio 1209, pag. 97. Nicephorus Chumnus, ὁ ὀπὶ τοῦ κανικλείου, scilicet qui Imperatori ab atramento erat, filiam habuit, quæ Joanni Palæologo, filio Andronici Palæologi, nupsit, Cantacuzeno I, 14, p. 45, Irenen dictam, Eulogiam vero (conf. p. 287) Nicephoro Gregoræ, teste Boivino ad Greg. VII, 7, 5, p. 147, ubi sic Chumnus laudatur : ἣν δὲ τηνικαῦτα μεσάζων τοῖς πράγμασι σοφὸς ἀνὴρ καὶ πολλὴν τὴν ἐμπειρίαν καὶ σύνεσιν πλουτῶν ἐς τὰ κοινά, καὶ διὰ τοῦτο μάλα τι (leg. puto μαλα π) πλείστης ἀπολαύων τῆς τοῦ κρατοῦντος εὐμενείας τε καὶ ῥοπῆς, καὶ πολλοῖς τοι βεβιωθὼν τοῖς χρήμασι διὰ ταῦτα, Νικήφορος ὁ ὀπὶ τοῦ κανικλείου. Οὗτος θωπευτικοῖς τοι λόγοις καὶ πράγμασιν ὑπελθὼν τὴν τοῦ βασιλέως φρόνημα, αἰτεῖ καὶ λαμβάνει γαμβρὸν ὀπὶ τῇ θυγατρὶ τὸν ῥηθέντα τοῦ βασιλέως υἱὸν Ἰωάννην. Addam Cantacuzen. I, c. 14, p. 45 : ὁ ὀπὶ τοῦ κανικλείου Νικηφόρος ὁ Χουμνος, σοφὸς ἀνὴρ καὶ θαυμάσιος ἐν φρονήσει, πολλῆς τε ἀπολαύων παρὸς βασιλέως εὐνοίας τε καὶ τιμῆς, δι' ἣν καὶ τὴν αὐτοῦ θυγατέρα Εἰρήνην τῷ υἱῷ αὐτοῦ τῷ δεσποτῇ Ἰωάννῃ πρὸς γάμου κοινωνίαν ἤγαγον ὁ βασιλεύς. De Caniclei dignitate vide Boivin. l. c.; Creuzer. ad Plotin. De pulcr. p. 398; Fabric. Bibl. Gr. t. VII, pag. 675.

(1) Cf. Simile exordium supra pag. 254.

ἢ καὶ μικρῶν ἡμμένος, τὰ μικρὰ μεγάλοις ὤγκωσε λόγοις· ἐγὼ δὲ, πολλῶν καὶ μεγάλων ὀνόντων τῷ κειμένῳ καλῶν, πόθεν ἂν κἀκ τίνος ἀρξαίμην ἀπορίᾳ συνίσχημαι (1), παρακαλοῦντος ἑκάστου καί πως ἐπισπωμένου πρὸς ἑαυτό. Κἂν γὰρ ἐπιβάλω τῷδε χαριζόμενος τὴν ἀρχὴν, ἐκεῖθεν ἄλλο παρακαλεῖ· κἂν πρὸς ἐκεῖνο βλέψω, πρακτέον εὐθὺς ἕτερον βιαίως ἀνθέλκει, καὶ τυραννεῖ βιαζόμενον, καὶ οὐκ οἶδ' ὅτῳ χαρισαίμην ἂν ἐμαυτόν· κἀντεῦθεν πάσχω πάθος ταὐτὸν τοῖς εἰσιοῦσι μὲν εἰς λειμῶνα μυριανθῆ καὶ εὐώδη, ποῖον δ' ἂν δρέψαιντο τῶν ἀνθέων ἀμηχανοῦσιν, ἁπάντων ἐπαγωγὰν ἐφελκόντων τὰς ὄψεις πρὸς ἑαυτά (2). Ὅμως οὖν εὐχαῖς πεποιθὼς καὶ πόθῳ τοῦ δι' ὃν τὸν ἀγῶνα τῆς μονῳδίας ἀνεσπασάμην, τοῦ Θεοῦ λόγου τῷ λόγῳ (3) συναιρομένου, τὴν ἀρχὴν ἐντεῦθεν ποιήσομαι.

Ἐκεῖνος εὐθὺς ἐκ παιδὸς ἐρασθὴς ἦν λόγων, καὶ λόγων οὐ μόνον ὅσοι παιδείας τῆς ἔξωθεν, ἀλλὰ καὶ ὅσοι φιλοσοφίας τῆς ἔσωθεν, ἣν καὶ δεόντως τις ἂν ὁρίσαιτο φιλίαν σοφίας εἶναι τῆς ἀληθοῦς καὶ τῆς καθ' ἡμᾶς ἐκκλησίας καὶ πίστεως. Ἐρῶν δὲ λόγων ἐκτόπως, ἀρετῶν ἐξόχως ἀντεποιεῖτο, ψυχὴν μὲν λαμπρύνων διὰ τῶν ἀρετῶν, σῶμα δὲ καλλύνων διὰ τῶν λόγων.

(1) Solennis oratorum hyperbole, qua se unde sumant initium nescire simulant. Exempla protuli ad Eurip. t. III, p. 311. Aristides Panath. t. I, p. 165 : εἰρημένον δὲ ὑπὸ πολλῶν πολλάκις, ὡς ἄρα οὐ ῥᾴδιον εὑρεῖν ὅθεν ἄρξεταί τις, ἐμὸν, οὐκ ἄλλο, τοῦτον τὸν λόγον εἶναι νομίζω τῇ χρείᾳ. Contraria est alibi hyperbole, Ciceronis, verbi causa, initio Manilianæ : « hujus » autem orationis difficilius est » exitum quam principium inve» nire » : quod e Lysia sumsisse jam a viris d. notatum est.

(2) Cf. similia pag. 270, 316.

(3) Cf. similia p. 249, 288; nam sibi in ineptiis placet.

Διτλῶν οὐσῶν δὲ τῶν ἀρετῶν, τῶν μὲν φυσικῶν, τῶν δ' ἠθικῶν, ἐρρύθμισε μὲν ἐκείνην διὰ τῶν ἠθικῶν, ἐσέμνυνε δὲ τοῦτο διὰ τῶν φυσικῶν, ἢ μᾶλλον διὰ τούτων μὲν τὴν ψυχήν, τὸ σῶμα δὲ δ' ἐκείνων, καὶ διὰ τῶν ἀμφοτέρων ἑκάτερα, δοκεῖν ἐθέλων οὐχ ἑτέρωθεν μὲν δεξιὸς, ἑτέρωθεν δὲ εὐώνυμος, ἀλλ' ἑκατέρωθεν ἀμφιδέξιος εἶναι, οἷά τις εὐφυὴς ζωγράφος συγκεραννὺς διάφορα χρώματα πρὸς εἰκόνος μιᾶς ἀνασλήλωσιν. Ἤδει γὰρ, ᾔδει θάτερον θατέρῳ καλῶς βοηθούμενον, καὶ πρὸς Θεὸν ἐγγίζον, μᾶλλον δὲ συνάπλον ἑκάτερον. Ἀμέλει καὶ λόγοις μὲν ὑπερήλασεν ἀρεταίνοντας, ἀρεταῖς δ' ὑπερήκοντισεν ἐλλογίμους, βουλαῖς δ' εὐφυέσι καὶ πράξεσιν ἅπαντας· καθά τις μέλισσα φιλεργὸς τῶν ἀνθέων ἀμφιπεριϊπταμένη τὰ κάλλιστα καὶ δρόσον οὐρανίαν ἀνιμωμένη, κηρεπλαστεῖ μὲν σύριγγας ἀντιθέτους καὶ ἑξαγώνους, φιλεργεῖ δὲ μέλι γλυκὺ, καὶ διὰ κηροῦ μὲν φῶς ἱερὸν ἀναφλέγει Θεῷ, μέλιτι δὲ βασιλεῖς ἑστιᾷ, ἡδύνει δὲ πένητας, ᾗ, διὰ πενήτων ὁ Θεὸς καινοτέραν ἑστίασιν ἑστιώμενος, μάλα λίαν εὐφραίνεται.

Ἀλλὰ ταῦτα μὲν ἔργα παιδὸς ἔτι τελοῦντος· ἐπειδὴ δ' ἔλθοι πρὸς ἥβην ἑς θ' ἡλικίαν ἀνδρὸς, « ἐνθ' ἀνδρὸς » ἀρετὴ διαείδεται », φαίη γ' ἂν Ὅμηρος (1), καὶ λόγων τελεωτέρων ἤρα ᾗ ἀρετῶν, οὐδ' ἐνταῦθα τῆς ἐφέσεως ἥμαρτεν, ἀλλ', ὅ φησι θεολόγος (2) σοφὸς,

Ἀρχῆς καλῆς κάλλιστον εἶναι καὶ τέλος,

εὖ ποιοῦν ἐν ἐκείνῳ συνέδραμε, καὶ παρὰ πᾶσιν ἦν ἀξιάγαστος. Ἀμέλει τοι καὶ θαυμαζόμενος ἐπεδίδου·

(1) Hom. Il. N, 277. (2) Gregor. Naz. t. II, p. 153.

καὶ γὰρ ὧν ἔπαινοι παρηγοῦνται, τούτοις ἐπιδόσεις ἐφέπονται, τοῖς ἐπαίνοις νυττομένοις ὡς κέντρις καὶ πρὸς κρείττους διανισταμένοις ἀγῶνας· ἔρως γὰρ κρειττόνων ἐπαίνων μειζόνων πόνων ὀλιγωρεῖ.

Ταῦτ' ἄρα καὶ παρὰ Θεοῦ καὶ βασιλέως ἀναδοχαὶ μεγαλοπρεπεῖς, δόξαι τε καὶ τιμαί, μείζους μὲν ἀφ' ἡττόνων, οὐκ μειζόνων δὲ μέγισται, κατὰ πρανῆ ῥοῦν τῶν παγμάτων συρρεόντων ἐπὶ τὸ βέλτιον. Ἐπὶ τίνα γὰρ ἐπιβλέπειν οἶδε Θεὸς, ἐπὶ ποῖον δὲ καὶ παρεγχέειν τὴν τῶν ἀγαθῶν σύρροιαν; ἢ μὴν ἐπὶ τὸν ὑψηλὸν μὲν τὸν νοῦν καὶ μετέωρον, πρᾶον δὲ καὶ ταπεινὸν τὴν διάνοιαν· « μακάριοι » γὰρ, φησὶν (1), « οἱ πραεῖς, » ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν· » οὐκ οἶδ' εἴτε τὴν κάτω ταύτην καὶ ῥέουσαν μέλι καὶ γάλα (2), ἣν Ἀβραὰμ τῷ πατριάρχῃ Θεὸς καὶ τοῖς ἐξ ἐκείνου πατριάρχαις καὶ παισὶν ἐπηγείλατο, εἴτ' οὖν τὴν ἐν παραδείσῳ καὶ οὐρανίαν, ἣν κατέσχε καὶ αὐτὴν Ἀβραὰμ, καθὼς Θεὸς ἐπηγείλατο.

Καὶ τὸ κεφάλαιον ὅσον δὴ τῆς εὐδαιμονίας ἄξιόν γε σκοπεῖν. Ὃν βασιλεὺς (3) ὁ μέγας μὲν τὴν ἀρχὴν, μέγιστος δὲ τὴν εὐσέβειαν, υἱὸν φίλτατον τῶν σπλάγχνων πεφήνεγκε, τὸν χρυσοῦν τὴν γνώμην καὶ τοὺς τρόπους χρυσαυγέστερον, Ἰωάννην (4) τὸν κεχαριτωμένον (5), τὸ τοῦ γένους ὡραΐσμα, τὸ τῆς βασι-

(1) Matth. Evangel. v, 5.

(2) Exod. III, 8.

(3) Andronicus Comnenus Palæologus.

(4) Joannes Palæologus, de quo supra p. 282.

(5) Hoc epitheto alludit ad ipsam nominis hebraici Joannis significationem. Glossarium Gr. ab Alberto editum p. 38 : Ἰωάννης, ὤ ἐστιν ἡ χάρις : vide ibi Albert. Adde Dutheil. in Notit. Mss. t. VIII, part. II, p. 158; Paquot. Mem. t. XVII, pag. 72. Joannes Hierosolym. Vita Joannis Damasceni pag. 231 : ὁ δὲ χαριτώνυμος

λείας ἀγλάϊσμα, τὸ τῆς φύσεως ἄγαλμα, ἐκεῖνον αὐτὸν, ὃν καὶ δεσπότην (1) ὑπέρτατον Ῥωμαίων ἀνειπὼν ἔστεψεν, ἐκείνῳ τὴν τοῦ μονῳδουμένου θεσπεσίαν κόρην (ὁ τετόλμιος οὗτος ἦν (2) κανικλείᾳ), νύμφην βασίλισσαν ὀλβιωτάτην φημίσας, ἐμνήστευσεν. Ὁ δ' ἀγαγόμενος συνεβίω, καὶ συζύγιον ἦσαν ὄντως χρυσοῦν, ἱερὸν ὁμοῦ τε καὶ σύμπνουν, ὁ Θεὸς συζεύξας εὐλόγησε καὶ ἡγίασεν, εὐθαλὲς ὂν ὥσπερ ὡραῖος παράδεισος, ζηλωτὸν θ' ὁρώμενον καὶ μακαριστὸν ἀκουόμενον. Ἐπεὶ δ' οὐκ ἦν ἀνέγκαι τὸν φθόνον ὁρᾷν τὰ κάλλιστα θάλλοντα, βάσκανον ἐπιβαλεῖν ὀφθαλμόν (3). Καὶ φεῦ! πῶς ὑποίσω τὸ πάθος; πῶς θρηνήσω τὴν συμφοράν (4); ὑπανακύπτει γὰρ δεινὸν ἐπὶ τῷ δεινῷ, καὶ μονῳδία διαδέχεται μονῳδίαν. Νοῦν ὁμοῦ καὶ λόγον τεθόλωμαι καὶ συγκέχυμαι, καὶ τὴν γλῶτταν λέγειν πεπέδημαι, καὶ τὴν χεῖρα γράφειν νενάρκημαι, καὶ καθάπερ εὐεργέτην ἐπικαλοῦμαι θᾶττον θάνατον ἥξειν μοι, τῶν δεινῶν μονῳδιῶν ἀπαλλάξοντα. Πίπτει μὲν οὖν ὁ δεσπότης (ἀλλ' ὤ! πῶς λέγω, καὶ μὴ διαῤῥήγνυται μοι καρδία, μηδ' ἐξεμεῖται τῶν ἐντὸς (5) ἡ διάπλασις;) ἐν ἥβης ἄνθει, ἐν ὥρᾳ νεότητος, ὁ πολὺς μὲν ἐν φρονήσει, πολὺς δ' ἐν συνέσει, πλείων δ' ἐν σώφρονι κατάστασει καὶ τελείοις γέρουσιν ἁρμοτταίουσι καὶ μεγάλων πράξεων ἐπιστήμοσι. Καὶ πεπτωκὼς μακαρίτης, ὁ ζῶν μακαριώτατος, γίγνεται, λιπὼν οἴμοι!

οὗτος ἀνὴρ καὶ πλήρης πνευματικῆς χάριτος.

(1) Erat enim titulo despotæ ornatus: vide Cantacuzen. quem modo apposui p. 282.

(2) Sic codex. Conf. p. 282.

(3) Forsan, ὀβελλοῦν ὀφθαλμόν. Sed et possunt verba esse non corrupta, at mutila et lacunosa.

(4) Meminisse videtur loci Libaniani supra p. 165.

(5) Conf. pag. 260, 279.

τὴν δεσπεσίαν βασίλισσαν ὀρφανὴν, τό γε ἧκον εἰς ἑαυτόν. Ἡ δ' (ὦ γενναίας ψυχῆς! ὦ γενναιοτέρου φρονήματος! ὦ παρασήματος ἀνδρείου καὶ ταῦτ' ἐν σώματι θήλεος!) νυμφεύεται μὲν εὐθὺς, θνητὸν ἀποβαλοῦσα δεσπότην, τῷ τοῦ παντὸς δεσπότῃ Θεῷ, ᾧ βασιλεία καὶ δεσποτεία αἰώνιος καὶ ἀΐδιος, κείρεται δὲ τὴν χρυσεοειδῆ καὶ χλιδῶσαν κόμην, ἀπαμφιάζεται δὲ τὴν βασιλικὴν χλαμύδα καὶ ἀμφιέννυται τὴν ἀγγελικὴν καὶ θείαν ὄντως στολὴν, καθείργνυσί θ' ἑαυτὴν τῷ θείῳ νεῷ τοῦ ἑαυτῆς νυμφίου φιλανθρώπου Χριστοῦ (1), ὃν φιλοτίμως αὐτὴ καὶ πολυτελῶς ἐξ αὐτῶν κρηπίδων ἀνεδείματο, δεύτερον οὐρανὸν ἐπὶ γῆς, καὶ πρὸς φροντιστήριον ἱερὸν ἱερῶν ψυχῶν συνεστήσατο, ἐν ᾧ σὺν γεννήτορσι τοῖς θείοις τὴν ἀγγελικὴν πολιτείαν μετιοῦσα σπουδαίως συμφιλοσοφοῦσά τε τὰ θεῖα, καὶ διὰ παντὸς, μετὰ Δαυὶδ τοῦ θαυμαστοῦ προφήτου καὶ βασιλέως, ἐναδολεσχοῦσα τοῖς τοῦ Θεοῦ δικαιώμασιν (2), ἀναστρέφεται.

Εἶχέ γε μὴν κἀνταῦθα καλῶς· καλὰ γὰρ πάντα τὰ διὰ τὸ θεῖον πνεῦμα, μετ' αὐτοῦ καὶ δι' αὐτοῦ κατορθούμενα· χρόνων δέ τινων παρεῤῥυηκότων, πάλιν ὁ φθόνος, βάσκανον ἐπιβαλὼν ὀφθαλμὸν, ἐπάγει σύγχυσιν τοῖς καλοῖς· προνοεῖ δὲ μᾶλλον ὁ Θεὸς ὅπως οἶδε τὰ κρείττω. Ἐκδημεῖ μὲν γὰρ ὁ πατὴρ τῇ βασιλίσσῃ τῶν τῇδε, καὶ πρὸς Θεὸν τὸν ποθούμενον ἐνδημεῖ. Καὶ μονῳδίας αὖθις δευτέρας ὑπόθεσις, τῆς τε πρωτέρας ἀνακεφαλαίωσις γίγνεται· καὶ μονῳδὸς, ὡς μήποτ' ὤφελον! ἐγὼ δυσκλεής· πρὸς γὰρ μίαν οὐκ ἐγχωρῶν, πῶς ἂν ἐν ἀμφοῖν διαρκέσαιμι; Ἐπειδὴ

(1) Sub novo Eulogiæ nomine. (2) Psalm. CXVIII, 23.

δὲ διὰ βραχέων τὸ τῆς πρότερας ἐπῄειν, φέρε δὴ δευτέρᾳ ταύτῃ καὶ ὑπογύῳ ἐνδοίην ὅσον οἷόν τ' ἂν ἐμαυτόν· Θεὸς δὲ λόγῃς συλλήπτωρ εἴη τῷ λόγῳ (1), ὑπὲρ οὗ καὶ λόγων ἀγῶνας ὁ πεπτωκὼς ἀνεσήσατο, δι' ὧν τὴν σεπτὴν ἐκκλησίαν ἐκόσμησε (2), τῷ βίῳ καταλιπὼν ἐμπυρεύματα μνήμης τοὺς λόγους.

Ἔδει μὲν οὖν ἄλλοις (3) μᾶλλον τῶν κατ' ἐκεῖνον σοφῶν, ὧν ἦν τε τὰ πρῶτα, καὶ οὓς τῷ διὰ Θεοῦ βασιλεύοντι προσῳκείωσε, καὶ πράγμασι δικαίους εἶναι (4) πενθῆσαι τὸν εὐεργέτην καὶ λόγῃς ἐπιταφίοις ἀξίοις κοσμῆσαι τὸν ἄνδρα, καὶ μὴ παρεικέναι μὲν ἐκεῖνον ἀγέρασον (γέρας γὰρ μονῳδία κειμένοις), ἢ μὴν σιγῇ παρελθεῖν παντελεῖ, καθαπερεὶ μηδενὸς συμβάντος δεινοῦ, ἐμὲ δὲ, τὸν μηδένα περὶ τοὺς λόγους (5), λόγῃς οἰσθισινοῦν σεμνύναι πενθίμοις, ὡς μή ποτ' ἂν ἐξίτηλα τὰ καλὰ γενέσθαι (6) τῷ βίῳ, μηδὲ παραῤῥυῆναι βυθῷ λήθης (7) ἠμαυρωμένα, συντηρηθῆναι δὲ καὶ τοῖς μεθ' ἡμᾶς γινωσκόμενα, διὰ λόγων βραχέων ταῖς ἐκείνων ὄψεσιν ὑποκείμενα. Καὶ γὰρ ἄτλα τὰς ὄψεις παρέδραμε λόγῃ ζωγραφήσαντες ἀνεσήλωσαν ὥσπερ τινὰς εἰκόνας, καὶ δίκην ἀγαλμάτων ἐμψύχων

(1) Conf. pag. 249, 283.

(2) Supersunt plures Nicephori Chumni de rebus sacris orationes non editæ.

(3) Forsan, ἄλλῃς.

(4) Locus non videtur integer.

(5) Eodem se præconio ornavit Epist. 6 : οἱ μηδένες περὶ λόγῃς ἡμεῖς.

(6) Color ductus ex Herodoti proœmio : ὡς μήτε τὰ γινόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται. Basilius Sel. De vita S. Theclæ p. 231 : ἐγὼ δὲ... ὅπῃ τὴν τῆς ἀποστόλου καὶ μάρτυρος Θέκλης ἱστορίαν ἐλήλυθα, οὐχ ὡς ἂν μὴ ἐξίτηλα μηδὲ ἄδηλα τῷ μακρῷ χρόνῳ γένηται.... Ibid. p. 293 : τὰ θαύματα ὑπό τε χρόνου συγχωθέντα καὶ λήθης, ἐξίτηλά τε καὶ ἀμυδρά πως γεγονότα.

(7) Leo Diac. p. 2 : ἱστορία... τὰ θνητὰ.... μὴ ἐῶσα τοῖς τῆς λήθης βυθοῖς παρασύρεσθαι. Niceph. Gr. VI, 1, 5 : λήθης κρυβέντα βυθοῖς.

τῷ παντὶ χρόνῳ συνέστησαν. Εἰ γὰρ μὴ λόγοι συνίσταισαν ἀνδρῶν βίους περιφανῶν καὶ πολιτειῶν εὐκλεῶν κατορθώματα, πάλαι ποτ' ἂν ἀπὸ μνήμης ἀνθρώπων ἐγένοντο, παρὰ μόνον τὸν κατρὸν ἐκεῖνον ἀνθήσαντα τὸν τοῦ πράττεσθαι· νυνὶ δὲ παραδοθέντα λόγοις, ἀνάγραπτα δηλαδὴ (1) τοῖς ἐπιδοῦσι καθίστανται, καὶ ζῶντας ὥσπερ τοὺς τεθνεῶτας δεικνύουσι. Ταῦτ' ἄρα ποιηταί τε καὶ συγγραφεῖς, Ὅμηροι, λέγω, Θουκυδίδαι τε καὶ Ἡρόδοτοι, τὰς τῶν ἡρώων ἀνδρῶν πράξεις ποιήσεσι καὶ συγγραφαῖς παρεδίδοσαν.

Ἀλλ' ἐπὶ τὸν κείμενον στρεπτέον ἤδη τοῦ λόγου τὸν ἄξονα, καὶ προσομιλητέον οἷα δὴ ζῶντι· οἱ γὰρ κατὰ Θεὸν ζήσαντες, κἂν ἐνθένδε ἀπαλλαγῶσι, τῷ Θεῷ ζῶσιν ἀεί.

Ὦ δίσκε τῶν ἀρετῶν, ὦ τῶν λόγων ἥλιε, ποῖ ποτε γῆς νῦν, καὶ ποῖον περιπολεύεις ζωδιακόν; παρὰ τίσι δὲ τὰς ἀκτῖνας προΐσχεις (2); ἆρα τοῖς οἰχομένοις; καὶ μὴν ἔδει τοῖς ζῶσιν· ἀλλὰ τοῖς ὑπὸ γῆν; ἀλλὰ βραδύνεις τὸν δρόμον, καί τοι δέον ὂν (3) ἐλαττονήσειν τὴν νύκτα καὶ θᾶττον ἀνατελεῖν τοῖς ὕπερθε γῆς, ἐφ' ᾧ μεγίστην φρυκτωρήσειν ἡμέραν καὶ θέρμης ἐμφορήσειν οὓς τῷ τε σκότει καὶ τῷ ψύχει τοῦ τῆδε βίου παρῆκας. Ἢ σὺ μὲν τὴν ἀνωτάτην καὶ χρονίαν ζώνην περιπολεῖς, ἡμῖν δὲ τὴν κατωτάτω καὶ σεληναίαν κατέλιπες, καί, τοσοῦτον ἀφεστῶς τῆς σελήνης, ἐκείνῃ μὲν σκοτομήνην, ἡμῖν

(1) Codex, δῆλα δή.
(2) Conf. similia p. 275.
(3) Hac locutione utitur Epist. 35 : δίς που γεγραφότος παιεύσης ἑβδομάδος, δέον ὂν τρίς. Epist. 10 : ἐπαγγέλλῃ μὲν τῷ διδασκάλῳ πολλά, πράττεις δὲ ὐδ' ὀλίγα, δέον πράξει τὴν ἐπαγγελίαν νικᾷν : codex, δέον ὂν, punctis quidem altero ὂν notato, ut delendo, sed quod receperim libenter, duobus aliis locis firmatum.

δὲ νυκτομαχίαν περυξένησας; Ὦ! πῶς δράσας ἔχεις τοιαῦτά; ποῦ δὲ τὸ συμπαθὲς καὶ φίλοικτον ἔκρυψας; πῶς ὃν ἐπόθεις ἀπὸ ψυχῆς βασιλέα παρῆκας; πῶς, ἢν μᾶλλον ἀνέπνεις ἢ τὸν ἀέρα (1), θυγατέρα παρεώρακας καὶ βασίλισσαν; πῶς τὴν θεσπεσίαν πρὸς τοῖς φιλτάτοις μητέρα; πῶς παρακοιμώμενον (2) τὸν σοφὸν ἐπὶ λόγοις Φαέθοντα, ὃν ἐν στρατηγίαις ἄλλον ἦσθα (3) κρίνων Θεμιστοκλέα, τὴν ψῆφον οὐκ εὐνοίᾳ δεκάζων; πῶς τοὺς καθ' αἷμα προσήκοντας βασιλεῖ, τοὺς μεγιστᾶνας, τοὺς τῆς συγκλήτου, τοὺς τῆς βουλῆς, τὴν ἐκκλησίαν, τὴν σύνοδον, τὴν πολιτείαν, τὴν γερουσίαν, ὧν ἁπάντων ἦσθα τὰ πρῶτα, φύσεως εὖ ἔχων εὐφυεστάτης πρὸς ἅπαντα; καὶ πᾶσιν ὡς ἀστὴρ ἑωσφόρος ἡλίου, τοῦ βασιλέως λέγω, περέλαμπες. Ὦ! ποῦ καὶ πῶς ταῦτα πάντα παρῆκας;

Ἀρεταί, καὶ Μοῦσαι, καὶ Λόγοι, νῦν, εἴ τις αἴσθησις,

(1) Similia supra p. 258, 275.

(2) Ὁ παρακοιμώμενος aulæ Byzantinæ latine cubicularius vocandus est. Matthæus De officiis, post Codinum, p. 39 : τῆς δὲ πατρίας (πατράδος) οὔπω· Ὁ γὰρ παρακοιμώμενος μεγάλης τῆς σφενδόνης, Τοῦ δὲ κοιτῶνος ἕτερος....

(3) Allegoricus ille Phaethon fuit Joannes vocatus, ut patet ex loco apud Creuzerum post Plotin. De pulcrit. p. 401. Cangius, in Glossarii indice p. 30, ait in codice Colberteo haberi aliquot Nicephori Chumni epistolas « hoc titulo, τῷ παρακοιμωμένῳ » τῷ Χούμνου, deinde τῷ Φιλιππο- » πόλεως. » Sed fallitur vir d.; nam sunt epistolæ filii, non patris, atque in errorem suum majoremque traxit virum alium d., qui, lapsu calami, scribens τῷ Φιλιππουπόλεως, credidit Nicephorum Chumnum Philippopoli natum esse, quum τῷ Φιλιππουπόλεως, *episcopo* scilicet *Philippopoleos*, illum significet hominem cui Chumnus filius scribit. Addam codicem illum Colberteum nunc esse in Bibliotheca regia sub numero 1000, et in eo reperiri p. 156 illam quam indicavit Cangius epistolam, cum Χούμνου, non Χύμνυ, nomine. Patris Epistolas 172 ad editionem fere paratas habeo, quibus et filii septem alias adjungam. Habuit Nicephorus plures uno filios : cf. p. 299.

δεῦρ' ἴτε, πενθήσατε τὸν ὑμᾶς μᾶλλον, ἢ περὶ ὑμῶν κοσμηθέντα, κοσμήσαντα. Σειρῆνες (1) ἐμμελεῖς καὶ λιγύφθογγοι, τὸν μουσικὸν Ὀρφέα, καὶ λιγὺν, οὐχὶ Πυλίων, ἀλλὰ Ῥωμαίων ἀγορητὴν,

Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδὴ (2),

σιωπῶντα θρηνήσατε. Οἱ περὶ λόγους σχολάζοντες τὸν λόγιον Ἑρμῆν καὶ βαθὺν ἐν λόγοις σιενάξατε. Οἱ περὶ ῥητορείαν δεινοὶ τὸν ἄκρον ῥητορικὴν, τὴν πυρὸς μένος πνέουσαν, κλαύσατε. Οἱ φιλόσοφοι δακρύσατε τὸν ὄντως φιλόσοφον, καὶ Πλάτωνας ἐπισιομίσαντα καὶ Πλωτίνους πεφιλοσοφηκότας περὶ ψυχῆς (3)· ὀρφανοὶ τὸν πρεσβύτην, χῆραι τὸν πρεσμηθέα, πίωχοὶ καὶ πένητες τὸν τροφέα, δεόμενοι τὸν χορηγὸν, ἀσθενοῦντες τὸν ἰατρὸν, καθειργμένοι τὸν λυτρωτὴν (τί δεῖ μηκύνειν, ἐξὸν λόγῳ βραχεῖ παρασιῆσαι τὸ σπουδαζόμενον;), οἱ πάντες τὸν πάντα πᾶσιν ὅτου δέοιτ' ἄν τις ἀφθόνως πορχέοντα.

Οὐκ ἦν μὲν ἡμῶν τῶν οὐδένων, ἄνδρες λόγων διαιτηταὶ, δεόντως μονῳδῆσαι τὸν τοσοῦτον καὶ τηλικοῦτον, ἀλλ' ἢ ῥητόρων δεινῶν ἢ (4) συγγραφέων σοφῶν, Δημοσθένους, Ἡροδότου, Θουκυδίδου τε, καὶ τῶν ὅσοι

(1) Sunt similia p. 266, 277.

(2) Hom. Il. A, 249.

(3) Exstat adhuc Nicephori Chumni liber De anima adversus Plotinum, quem edidit, post Plotinum De pulcritudine, Creuzerus. De hoc ipso libro Theodorus Hyrtacenus Epist. VI, ad Nicephorum Chumnum: φήμη περιθέει πολλὰς οὐκ ἄχαρις· ἡ δ' ἔστι τὴν σὴν μεγαλόνοιαν ἐξεπιτοχίναι λόγον γνησίον περὶ ψυχῆς, ὃν, φασὶν, εἰ πεμόντες Πλάτων τε καὶ Πλωτῖνος, καὶ ὅσοι τῶν φιλοσόφων κόμματος, ἐπῄεσαν, τάχ' ἂν αἰδεσθέντες ἀπῄεσαν. Videnda quæ est de eodem argumento ejusdem Epistola septima; et adde Creuzer. ad Chumni librum p. 403.

(4) Forsan ἢ scrib. pro καί.

τοῦ τοιούτου (1) κόμματος· ἴσως γὰρ ἂν ἐκεῖνοι τῆς ἀξίας ἔτυχον· ἡμεῖς δὲ τοσοῦτον ἐκείνων λειπόμεθα, ὅσον ἂν ἀστέρες πάντες ἡλίου. Ἆρ' οὖν ἔδει περὶ τοῦτο παντελῆ στέρξαι σιγήν; οὐμενοῦν, φάναι δέ τι καὶ μέτριον, λογογράφοις ὕλην λόγων ἐσόμενον, ὡς ἂν ἀπὸ βραχέος σπινθῆρος πυρσὸς ἀναφθείη περιφανής· « μετὰ μεγάλων γὰρ », φησὶ Σοφοκλῆς (2), « καὶ » βαιὸς ἀεισ' ἂν δράσειε, καὶ μέγας ὀρθοῖθ' ὑπὸ » σμικροτέρου. » Τοιοῦτος Ὕλας Ἡρακλεῖ (3), βραχὺς τὸ δέμας, μεγίστων ἄθλων συνεφαπτόμενος.

Ἦν μὲν καὶ ζῶν ὁ μακαρίτης ἐγκωμίων ὑπόθεσις, εἴ τις ἂν ἐγκωμιάζειν ἠρεῖτο, πάσης ἀρετῆς ἰδέαν καὶ πᾶν εἶδος λόγων πανταχόθεν ἀναμαξάμενος, ἢ γ' ἔφαμεν φθάντες, κ̓ οὐδὲν οὐδενί πω τῆς ἴσης παραχωρῶν, καὶ πεσὼν δὲ μονῳδίας ὕλη λαμπρά. Ὦ! τί πρὸς εἰπὼν, τί δ' ὀνομάσας, ἀξίως ὀνομάσαιμ' ἂν κ̓ προσείποιμι; Ἄργον τὸν πανόπτην λόγος οἶδεν ἄνδρα τεράστιον, ὅλον ὅλως ὠμματωμένον, ὥστε τῷ πολυειδεῖ καὶ στίλβοντι τῶν ὀμμάτων τὴν Ἰνὼ βοῦν καταπεπληγμένην οἰστρηλατεῖσθαι καὶ πλανᾶσθαι γῆς πανταχῆ· ὁ δ' ἐν οὐδενὶ τῶν πραγμάτων ἀργὸν ἐπέβαλλεν ὀφθαλμόν, ἀλλὰ, καὶ τὰ μέλλοντα προβλέπων καὶ τὸ δέον ἀπλανῶς στοχαζόμενος, ἐξελέγετο μὲν τὰ κρείττω, προφθάνων δὲ τοὺς καιροὺς τὰ συνοίσοντα διῴκει λαμπρῶς, Λυγκεὺς (4) ὢν ἀτεχνῶς, οὐ τὰς ὑπὸ γῆν ἀνιχνεύων τῶν μετάλλων (5) ***

(1) Inserui τοιούτου.

(2) Memoriter, non diligenter, locum adhibet ex Ajace 160: Μετὰ γὰρ μεγάλων βαιὸς ἄεισ' ἂν, Καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων.

(3) Codex, ὕλλας ἦν ρακλεῖ.

(4) Codex, λυγκεύς.

(5) In hac voce codex deficit.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΟΥΜΝΟΥ

ΠΡΟΣ ΤΗΝ ΕΑΥΤΟΥ ΘΥΓΑΤΕΡΑ ΒΑΣΙΛΙΣΣΑΝ,

ΕΠΙ ΤΩ ΠΑΘΕΙ ΤΗΣ ΧΗΡΕΙΑΣ,

ΑΥΤΗΣ ΕΞΚΑΙΔΕΚΑΤΟΝ ΑΓΟΥΣΗΣ ΧΡΟΝΟΝ.*

Ἀνεῖται δὲ πρὸς ἦθος κατηφὲς καὶ σαφήνειαν ἑρμηνείας, καὶ δὴ παπαίνωται, τοῦ πάθους καὶ τοῦ προσώπου χαλῶντος καὶ ὑπεκλύοντος.

Ἐγώ σε, βασίλισσά μου, φίλτατον παιδίον ἐμόν, ἐξ ὅτου καὶ τῶν μητρικῶν ἀπόρραγεῖσαν εἶδον ὠδίνων καὶ βρέφος ἡμῖν ἀποτεχθεῖσαν οἰκτιρμοῖς μεγάλοις Θεοῦ, πάντα εὐθὺς ἡγησάμενος ἐθέμην, ζωὴν καὶ τονὴν, καὶ φῶς τῶν ἐμῶν ὀμμάτων, καὶ ἀγαλλίαμα καρδίας, καὶ τρυφὴν καὶ τέρψιν ψυχῆς, καὶ πᾶν ὅ τι τοιοῦτον ἢ καὶ τῶν τοιούτων ἡδύτερον πλέον καὶ τιμιώτερον καὶ χρεῖττον. Καί γε περὶ τὰς σὰς ἀνατροφὰς

* E codice regio 2105, p. 271. Filia, ad quam scribit Nicephorus Chumnus, Irene illa est de qua vide dicta supra pag. 282, ubi et de Nicephoro egi. Apponam Cangii locum e Bibliotheca Fabricii Græca t. VII, p. 675, ut emendem: « habetur in bibl. regia num. 751 codex, continens » varia opuscula et epistolas Nicephori Chumni, in quibus » sunt sermones consolatorii duo, » quorum alter ad imperatorem » scribitur de morte despotæ filii, » alter ad ejusdem Chumni filiam imperatricem, βασίλισσαν, » de illius viduitate, cujus tum » annus erat sextus decimus. » Notandum est errorem esse in numero 751, qui revera est 1751. Similis est error in Cangiani Glossarii indice p. 30; ibi enim dicitur Nicephori opuscula varia et epistolas haberi in cod. regio 1754, quum scribendum sit 1751. Codex ille 1751 idem est ac ille quo utor, numero nunc signatus 2105. Addam, quod nec est inutile, codicem Chumni 2964, quem videndus in notis ad Gregoram p. 761 Boivinus allegat, eumdem etiam esse illi meo 2105.

λίαν ἐπίοημένος, τοῦτο καὶ διὰ πάσης ἐποιούμην εὐχῆς, Θεὸν ἀεὶ καθικετεύων τὴν μὲν βρεφικὴν ὑπερβᾶσαν κατιδεῖν σε ἡλικίαν, εἰς τελεωτέραν δ' ἐλάσασαν, καὶ οἵαν ὁ πάνυ τι πόθος ἡμῶν καὶ τὸ τῆς ἐπιθυμίας σφοδρὸν ἐξεζήτει. Κἀκεῖνα δ' ἐν πάσαις ἤμην ταῖς ἱκεσίαις σὺν πολλῷ τῷ δέει πεποιημένος, μηδέν σοι μηδέποτε μηδαμῶς συναντῆσαι τῶν ἐν τῷ βίῳ τούτῳ δυσχερῶν, μηδὲ γενέσθαι μοι μηδέποτε ὀδυνωμένης αἰσθέσθαι τῆς σῆς καρδίας, μηδὲ σπεναγμὸν ἀκοῦσαι ἐκ συντριβῆς ταύτης ἀναπεμπόμενον καὶ σπενοχωρίας, ἐπεισπεσόντος τινὸς τῶν ἐκθλιβόντων καὶ λύπης παρεξένων αὐτῇ, μηδέ γε δάκρυον βλέψαι τῶν σῶν ἐκχυθὲν ὀφθαλμῶν, μηδὲ σκυθρωπότητά τινα κατιδεῖν μήτε κατήφειαν ἐπὶ τοῦ σοῦ καλοῦ καὶ ὡραίου προσώπου, καὶ γαλήνης καὶ πασῶν γέμοντος χαρίτων. Καὶ ἠγάπησα μᾶλλον, καὶ πάνυ τι ἠγάπησα, καὶ θερμῶς ἐπηυξάμην θανάτῳ πρότερον τὴν ψυχὴν ἀποβαλέσθαι, καὶ ἤν ἄν μοι καὶ γλυκὺς ἐκεῖνος ὁ θάνατος, ἢ δυσχερείας τινὸς εἰς αἴσθησιν ἐλθεῖν ἄλγος παρεξενούσης τῇ σῇ καρδίᾳ.

Ὅσα δὲ καὶ οἷα μήτηρ φίλτρων ἀῤῥήτων ὑπερβολαῖς ἀεὶ διετέλεσε περὶ σὲ σπουδάζουσα καὶ ἐνδεικνυμένη, τὴν ὅλην ἐκχέασα ψυχὴν, τὸν ὅλον πόθον, καὶ γαλουχοῦσά σε καὶ περιπλυσσομένη, καὶ φέρουσα διὰ παντὸς ἐν ἀγκάλαις, καὶ μηδὲ κατὰ μικρὸν ἀποστῆναι τῆς σῆς θέας μηδαμῶς ἀνεχομένη! ὅσους δὲ καὶ τοὺς δρόμους ἡμερινούς τε καὶ νυκτερινοὺς παρὰ τοὺς θείους κατέτεινεν οἴκους, γυμνοῖς τοῖς ποσὶ πεζῇ βαδίζουσα καὶ παρσαλαιπωροῦσα, καί γε φθάνουσα πρὸς τὰς ἀχράντους καὶ σεπτὰς εἰκόνας,

καὶ τούτων ἐπίπρεσθεν τὰς εὐχὰς καὶ θερμὰς ποιούμενη τὰς ἱκεσίας ἐκ βάθους καρδίας ζεούσης, κἀκεῖνα πρὸς Θεοῦ ἐκζητοῦσα!

Ὅσα δὴ καὶ Θεὸς αὐτὸς ἀγαθὰ μεγάλα, καὶ ὑπερβάλλοντα πᾶσαν ἡμετέραν εὐχήν, ἀπαρέμιλλά σοι πλουσίως καὶ φιλοτίμως παρέσχετο χορηγήσας! κάλλος ὑπερφυὲς ψυχῆς ὁμοῦ τε καὶ σώματος, συναίσθησιν θείου φόβου, ἐντολῶν Χριστοῦ τήρησιν, κοσμιότητα ἤθους, καὶ πᾶν ὅτι κάλλιστον, καὶ νικῶν ἕτερον ἅπαν τὸ πρὸς τοῦτο παραβαλλόμενον.

Καὶ ταῦτα ὁρῶντες ἐχαίρομεν οἱ σὲ τεκόντες ἡμεῖς, καὶ πάντα σκιρτῶντες ἦμεν καὶ ἀγαλλιώμενοι, καὶ τιμὴν καὶ μέγα κλέος καὶ δόξαν τοῦ γένους ἡμῶν οὐκ ἐνομίσαμεν μόνον, ἀλλὰ καὶ βεβαίως προσεδοκήσαμεν, ἐπὶ Θεὸν αὖθις θέμενοι τὰς ὅλας ἐλπίδας καὶ τὴν αὐτὸν παναχράντως καὶ παναμώμως καὶ πανυπεράγνως τεκοῦσαν.

Καὶ τῶν ἐλπίδων τούτων καὶ τῆς χρηστῆς ταύτης καὶ καλῆς προσδοκίας οὐ διεψεύσθημεν. Ἐπειδὴ γὰρ καὶ πρὸς χρόνον καὶ ἡλικίαν ἧκες ἁρμόζουσαν γάμῳ, κινεῖ Θεὸς τὸν δι' αὐτοῦ φιλανθρώπως ἡμῶν βασιλεύοντα (1), καὶ προσλαμβάνεται καὶ ἀνάγει σε μεγέθους πρὸς ὕψος, τιμῆς καὶ δόξης, ἧς ἡμεῖς οὐδ' ἂν εὐχαῖς θεῖναι οὐκ ἂν ἐθαρρήσαμεν, οὐδ' ἂν εἰς νοῦν ἐβαλόμεθα. Τὰ δ' ἐφεξῆς τίνα; Ἡμεῖς μὲν, μηδὲν εἰδότες τοῦ ἐπὶ τοῦ ὄντος (2) καλοῦ καὶ συμφέροντος, πρὸς ἑτέρους ἡτοιμάζομεν γάμους, μηδὲν τοῖς σοῖς θεοφιλέσι τρόποις καὶ τῇ καθαρωτάτῃ συντελοῦντας ψυχῇ, ὡς φανερῶς ἐπὶ τοῦ τέλους νῦν ἐξεφάνη ἀφ'

(1) Imperatorem Andronicum. (2) Forsan, τοῦ ὀπόντος.

οἵου χρημνοῦ καὶ βαράθρου Θεὸς προειδὼς ἐξείλετό σε, οἵου καὶ οἴκου, πάσης ἀνομίας γέμοντος καὶ δυσσεβείας. Καὶ σφάλλει δὴ καὶ καταργεῖ τότε τὰς ματαίας βουλὰς καὶ σπουδὰς ἡμῶν, καὶ περιφυλάττει καὶ περισώζει καὶ ἐξαιρεῖταί σε τοῦ ὀλεθρίου ἐκείνου κακοῦ. Ἡμεῖς δ', ὅπερ ἔφημεν, μηδὲν εἰδότες τῆς τοῦ εὐεργέτου Θεοῦ προνοίας καὶ τῆς πρὸς τὸ κρεῖττον ἐμβιβάσεως σοφῆς οἰκονομίας, ἠσχάλλομεν, ἠνιώμεθα, ἀπελεγόμεθα τὴν ζωὴν, ὡς μεγάλου δή τινος διαμαρτόντες καλοῦ, τἀναντίον ἐπὶ τῆς ἀληθείας ὄντος, κἂν ἡμεῖς ἠγνοοῦμεν.

Καὶ λέγω δὴ ταῦτα καὶ ἀνακινῶ πρὸς μνήμην, ὡς ἂν δὴ καὶ τὴν σὴν ἐν γαλήνῃ κατασήσω ψυχὴν, ἀνενεγκοῦσαν ἐκ τοῦ μεγάλου κλύδωνος καὶ τῆς πολλῆς ταραχῆς τῶν ἐπικλυζόντων συχνῶν κυμάτων, καὶ βυθιζόντων ταύτην πικρῶν λογισμῶν ὡς εἰς θαλάσσης βάθος, εἰς βυθὸν ὀδύνης, ἐν ᾧ κατήγαγεν ἡμᾶς τὸ ὑπερβάλλον μέγεθος τῆς ἀφορήτου ταύτης συμφορᾶς. Καὶ δέος μήποτε οὐχὶ τῶν σωμάτων πνίγμονὴν μόνον, ἀλλὰ καὶ αὐτῶν ὄλεθρον ὑποσαίημεν τῶν ψυχῶν. Ἵν' οὖν τὸ πολὺ καὶ μέγα τοῦτο νέφος καὶ τὴν βαθεῖαν ἀχλὺν, καὶ σκοτόμαιναν τὴν ἐκ τοῦ πάθους ἐπιχυθεῖσαν ἡμῖν, ἐκ τῆς σῆς ἀποτινάξῃς καρδίας, καὶ διαβλέψῃς πρὸς τὸ μέγα πέλαγος τῶν οἰκτιρμῶν τοῦ τὰ κατὰ σὲ οἰκονομοῦντος συμφερόντως σωτῆρος Χριστοῦ, διὰ τοῦτο καὶ τοὺς παρόντας ποιοῦμαι λόγους, καὶ εἰς ἐνθύμησιν ἄγω καὶ μνήμην τὰ προλαβόντα ὑπὲρ πάντα νοῦν ἡμῶν πρὸς εὐεργεσίαν γεγενημένα.

Προσβῆναι δὲ καὶ τοῖς ἑφεξῆς βούλομαι μέν· σπαράττεται δέ μου καὶ κλονεῖται καὶ συνταράττεται ἡ

καρδία, καὶ οὐ δύναμαι κατέχειν αὐτὴν, ἐς βάθος αὐτῆς καθικνουμένης καὶ συχνὰ κεντούσης τῆς ἐκ τοῦ πάθους δεινῆς ῥομφαίας. Καὶ οὐκ οἶδα τί πράξω, τοῦ μὲν προκειμένου σκοποῦ πρὸς λόγους ἕλκοντος παρακλήσεως καὶ παραμυθίας, τῆς δέ γε συμφορᾶς ἐκεῖθεν καθελκούσης καὶ πρὸς θρήνους καὶ οἰμωγὰς ἀγούσης καὶ δακρύων πηγάς.

Ὦ! οἷον γὰρ σκότος πικρὸν τοὺς ἐμοὺς ἐκάλυψεν ὀφθαλμοὺς, δριμύσσον ὡς ἐκ καπνοῦ τηγανιζομένης καρδίας, καὶ ὅλους ἐκβιαζόμενον κενῶσαι καὶ ῥυῆναι ποιῆσαι! οἷα ὑπέμεινα καὶ ἰδεῖν καὶ ἀκοῦσαι ὁ τάλας ἐγώ! οἵας ἀγγελίας περὶ σοῦ, θύγατερ, ἐν ἑῴωσαις δέξασθαι φρεσί!

Δέσποινά μου, τὸ φῶς τῶν ἐμῶν ὀμμάτων, ἡ γλυκυτάτη ὄψις, τὸ ἐρασμιώτατον κάλλος, ἡ μόνη ἐν πᾶσι τοῖς πρὶν ἐπερχομένοις σκυθρωποῖς παρήγορος ἐμοὶ καὶ παραμυχὴ, πῶς ἔτι καὶ ζῶ καὶ πνέω, καὶ οὐκ εὐθὺς νεκρὸς ἐφάνην μετὰ τὴν σὴν ταύτην θανατηφόρον ἐμοὶ συμφοράν; οἵαν προέπεμψά σε καὶ οἵαν ὑποδέξομαι! εἴπερ ἄρα καὶ δυνήσομαι μέχρι τούτου καρτερῆσαι καὶ ζῆν. Κρεῖττον ἦν ἐμοὶ σβεσθῆναι τὸν ὅλον ἥλιον ἢ τὴν πᾶσαν ὄρασιν ἀποβαλέσθαι, ἢ ἐν τοιούτῳ κατιδεῖν σε ζοφωθεῖσαν σχήματι, ὁποῖον δή σε καὶ ἐνέδυσε καὶ περιέβαλε τὸ πολὺ καὶ μέγα πλῆθος τῶν ἐμῶν ἁμαρτιῶν.

Ἀλλ' ἵνα μὴ ἐν τοῖς τοιούτοις μηκύνων, ἀντὶ παρακαλοῦντος καὶ κουφίζειν πειρωμένου τῶν ἀλγεινῶν, γένωμαί σοι σφοδροτέραν μᾶλλον ἀνάπτων τὴν φλόγα καὶ τοὺς ἄνθρακας ἐκκαίων τοῦ πάθους καὶ τῆς συμφορᾶς, ταῦτα μὲν ἐν τῷ νῦν ὄντι σιγήσειν μοι δοκῶ,

εἰς ἑτέρους δὲ παραπέμψω λόγους μονῳδιῶν καὶ θρήνων ἐπιταφίων.

Σὺ δὲ, βασίλισσά μου, γλυκύτατον ἐμὸν φῶς, ἡ μηδέποτε ἀπαθῶς ἀνασχομένη καὶ μεγάλης χωρὶς ὀδύνης συγγενοῦς ἡμᾶς καὶ κατηφεῖς ἰδεῖν, ἢ δάκρυον τῶν ἡμετέρων ἐκπεσὸν ὀφθαλμῶν, ἴδε νῦν ὁποῖα πάσχομεν, καὶ τὴν ἀπαραμύθητον ὀδύνην ἴδε τῆς καρδίας ἡμῶν, καὶ γενοῦ κἂν τούτῳ θαυμαστή τις παρήγορος, ὡς καὶ τἆλλα πάντα πάντες θαυμάζουσι τὰ κατὰ σέ· ἐπεὶ μηδ' ἔστιν ἄλλος, ὡς ἔπος εἰπεῖν, ὃν ἀνθρώποις τρόπος ἡμᾶς δυνάμενος παραμυθήσασθαι καὶ παρακαλέσαι, εἰ μὴ σὺ δείξεις αὐτοῖς ἔργοις καὶ πράγμασι, καὶ μὴ ῥήμασι μόνοις καὶ λόγοις, ὅτι γενναίως καὶ καρτερεῖς καὶ ὑποφέρεις αὐτὴν δὴ ταύτην, τὴν διὰ σὲ, ἀνυπόστατον ἡμῖν, συμφοράν.

Πολλὴ μὲν αὕτη καὶ μεγάλη καὶ ὑπερβολῆς ἁπάσης ἐπέκεινα· ἀλλὰ καὶ πολὺς ὁ τῆς σῆς χριστιανισμὸς ψυχῆς, πολλὴ καὶ ἡ εὐλάβεια καὶ μηδεμίαν ὑπερβολὴν ἀπολείπουσα, πολλὴ καὶ μεγάλη καὶ ἡ πρὸς Θεὸν πεποίθησις. Ὅση δὲ καὶ οἵα (1) βεβαία καὶ ἀσφαλὴς καὶ ἡ πρὸς τὴν παυπέραγνον αὐτοῦ μητέρα ἐλπίς! Ἔχεις, εἰ βούλει, καὶ πολλὰς ἑτέρας καὶ μεγάλας εἰς νοῦν βαλέσθαι καὶ ἀναλογίσασθαι τὰς ἀφορμὰς πρὸς εὐχαριστίαν καὶ ἀνθομολόγησιν αὐτοῦ τοῦ εὐεργέτου καὶ σωτῆρος Χριστοῦ, ἅμα δὲ καὶ πρὸς παραμυθίαν σὴν καὶ τελεωτάτην παράκλησιν. Ἔχεις καὶ θαρρῆσαι πολλὰ καὶ μεγάλα ἐπὶ τῷ ἐλέει καὶ τοῖς ἀφράστοις καὶ ἀνεκδιηγήτοις οἰκτιρμοῖς αὐτοῦ. Ἰδού σοι καὶ βασιλεὺς ὁ φιλανθρωπότατος πάντων καὶ φιλοχριστότατος, ἰδοὺ καὶ ἡ τὸν ἴσον

(1) Malim οἷα, adverbialiter, pro ὡς βεβαία, quam firma.

τρόπον φιλοχρηστότατη καὶ συμπαθεστάτη δέσποινα καὶ βασιλὶς ἡμῶν, ἀντὶ πατρὸς τὰ πάντα καὶ μητρὸς, καὶ γίνονταί σοι καὶ ὡς γνησίως τεκόντες. Οὕτω δὴ καὶ πᾶσαν φροντίδα τῶν κατὰ σὲ ποιοῦνται.

Ἐγὼ δὲ, καὶ ἡ γεννήσασά σε μήτηρ, καὶ ἀδελφοὶ (1), ἐκεῖνο καὶ βουλόμεθα καὶ διὰ παντὸς ὑπάρξομεν πρὸς σὲ, ὅσον ἂν καὶ αὐτὴ βουληθείης καὶ ἀγαπήσαις, ἢ καὶ, ὡς κυρία, προστάξαις, καὶ κύκλῳ περὶ σὲ στρεφόμενοι ἀεὶ, ὡς δοῦλοι δή τινες, πάντα καὶ σπουδάσομεν ἐκ παντὸς τρόπου προθυμῶς θεραπεῦσαι· καὶ οὐδὲν οὐδαμῶς ἔσται τῶν σῶν θελημάτων ἀτέλεστον, ἡμῶν ἐκπληροῦν δυναμένων. Μόνον δίδου ἡμῖν ἐκτὸς πάσης σκυθρωπότητος καὶ κατηφείας τὸ σὸν ἐνορᾷν πρόσωπον, τὴν σὴν ὡραιοτάτην μορφὴν, τὸ γαληνότατον καὶ κοσμιώτατον ἦθος, τοὺς γλυκυτάτους καὶ φόβου Θεοῦ γέμοντας ὀφθαλμούς· δὸς καὶ ὑπομειδιῶντα τὰ σὰ χείλη κατιδεῖν· καὶ τοῦ λοιποῦ ὁ πᾶς ἡμῖν ἔσται χρόνος οὐδὲν ὀδυνηρός. Ἐν τούτῳ τῷ τρόπῳ τὴν ὅλην περὶ ἡμᾶς δεῖξον ἀγάπην σὴν καὶ στοργήν· ἐν τούτῳ τοὺς σε τεκόντας παραμυθήσασθαι καὶ βουλήθητι καὶ πράξον· ἐν τούτῳ σπούδασον καὶ βοηθῆσαι τῇ ἡμετέρᾳ ζωῇ. Ὁρᾷς καὶ γὰρ ὅπως ὑπὸ τοῦ πάθους ἐκλύεται ἤδη καὶ ὑπορρέει, καὶ καθυπάγεται πρὸς φθοράν.

Νόμος ἄνωθεν καὶ δεδομένος παρὰ Θεοῦ καὶ ἀνθρώπινος, πάντα καὶ μικρὰ καὶ μείζω, ὅσα δὴ καὶ βούλονται πατέρες, ὀφείλειν (2) παῖδας τοὺς ἐξ αὐτῶν. Καὶ ἡ τοῦ νόμου τοῦδε τήρησις πολλὰς ἔχει καὶ παρ'

(1) Horum unus fuit Joannes Chumnus. Vide supra p. 290.

(2) Deest forsan verbum πράττειν, aut tale aliud.

αὐτῷ Θεῷ κειμένας τὰς ἀμοιβάς· οὐ μὴν ἀλλὰ καὶ ἄνθρωποι οὐδὲν τοῦδε τιμιώτερον, οὐδέ γε κρεῖττον εἰς ἀρετῆς λόγον, νομίζουσι. Ταύτην τὴν ὀφειλὴν ἀπόδος ἡμῖν, ἡ τὴν πᾶσαν σπουδὴν πρὸς ἐκπλήρωσιν τῶν τοῦ Θεοῦ νόμων καὶ τῶν ἐνταλμάτων αὐτοῦ καταβαλλομένη, καὶ ὡς ἂν ἐν πᾶσι θεραπεύῃς αὐτόν. Ἐν σοὶ καὶ ζῶμεν καὶ πνεόμεν καὶ ἔτι τὸ φῶς ὁρῶμεν, καὶ οὐχὶ πάσας εὐθὺς ἅμα τῷ πάθει ἀποβαλόμεθα τὰς αἰσθήσεις, οὐδ' ἐξέστημεν ἁπάσης φρενός. Εἰ γοῦν καὶ ἔτι βούλει ζῶντας εἶναι καὶ αἰσθανομένους ἡμᾶς, αὐτὸ δὴ τούτου πρώτου καὶ ἐπαισθάνεσθαι μετὰ γενναίου πράξον τοῦ φρονήματος, γενναιοτάτης καὶ τῆς καρτερίας· τίνος δὴ λέγω; ἀθυμίας πάσης καὶ πικρίας ἀπηλλάχθαι τὴν σὴν ψυχήν· καὶ εἰ τοῦτο πρὸς εὐεργεσίαν δώσης ἡμῖν καὶ χαρίσαιο, ζωώσεις, εὖ ἴσθι, νεκρωθέντας ἤδη, καὶ οὐδὲν ἔτι λοιπὸν ἐν τῷ βίῳ τούτῳ πικρὸν ἡμῖν καὶ δακνηρόν. Πόσον δὲ καὶ παρὰ τῷ Θεῷ νομίζεις λογισθῆναι τοῦτο; πόσον καὶ παρὰ τῇ φιλανθρώπῳ τοῦδε μητρί; ὅτι διὰ πατέρα καὶ μητέρα, οἰκτειρήσασα τούτους, κινδυνεύοντας ἐκ πικρᾶς ὀδύνης ἀπορραγῆναι τῶν ψυχῶν, ἐφάνης σὺ γενναιοτέρα τὴν καρτερίαν, καὶ, ἀντὶ τοῦ ὑπ' αὐτῶν παρακαλεῖσθαι μᾶλλον σέ, σὺ τούτους ἐφάνης θαυμασίοις τρόποις παραμυθίας ἐξ αὐτοῦ θανάτου ῥυσαμένη καὶ αὖθις ἀποκατασήσασα πρὸς ζωήν.

Ἐδόξασέ σε Θεός, καὶ, πρὸς μέγα καὶ μέγιστον ὕψος ἐπάρας, μεγάλως ἐδόξασε. Καὶ τὰ μὲν δὴ πρῶτα δῆλα, καὶ οὐδεὶς ἀμφιβάλλει, ἐπεὶ καὶ μεθ' ὑπερβαλλούσης ἐξέλαμψε τῆς τιμῆς· ἃ δὲ νῦν δεδυσλυχηκότες ἀθλίως κατεφάνημεν πράξαντες, οἷα δὴ καὶ

ταῦτα! Ῥωμαῖοι πάντες ὡς ταὐτὰ παθόντες ἡμῖν ὀν ζόφῳ δή τινι κατηφείας ὁρῶνται, πολλὰ καὶ συγκοπτόμενοι καὶ συμπενθοῦντες. Καὶ γέμουσι τὰ πάντα θρήνων ἐπὶ τῇ καθ' ἡμᾶς συμφορᾷ, καὶ βασιλέων οἶκοι καὶ ὅσοι μέγιστοι μετ' αὐτοὺς, ἠ ἀγυιαὶ πόλεων, καὶ οὐδείς ἐστιν ὃς οὐχὶ κοινωνὸς γίνεται τοῦ πάθους ἡμῶν. Γέμουσι καὶ ναοὶ οὐκ ἐξοδίων μόνων καὶ ἐπιταφίων ἀσμάτων, ἀλλά τοι (1) καὶ τῶν θερμῶς ὀλολυζόντων ἠ γεραὰς ἀφιέντων φωνὰς, καί γε περιπαθῶς τοὺς θρήνους μειζομένων.

Πόσην γοῦν ἡ τοσαύτη τῶν οὕτως καὶ κατὰ τοσοῦτον συναλγούντων κοινωνία βουλομένοις ἡμῖν τὰ εἰκότα λογίζεσθαι φέρει τὴν παραμυθίαν! Μὴ τοίνυν ἅπερ ὀφείλομεν εἰς ἀφορμὰς τιθέναι καὶ προφάσεις ἀναψυχῆς, αὐτοῖς τούτοις χρώμεθα πρὸς τὐναντίον, ὅτι μηδὲ δίκαιον τῶν μὲν λυπηρῶν αἰσθάνεσθαι καὶ τοῦ εἰκότος πλέον, τῶν δέ γε πρὸς παράκλησιν ἡκόντων ἀναισθήτως ἔχειν δοκεῖν, καὶ μηδεμίαν τῶν τοιούτων ποιεῖσθαι μηδαμῶς ἐπιστροφήν.

Τὸ μὲν πάθος κοινὸν σοὶ καὶ πρὸς ἄλλας· πολλὰς γὰρ ἂν καὶ μυρίας εὑρήσεις ἐξετάζουσα ἔν τε τῷ παρόντι, ἔν τε τῷ παρελθόντι βίῳ, χρησαμένας ταῖς αὐταῖς συμφοραῖς· τὸ δὲ τῆς τιμῆς μὴ μόνον οὐ κατ' ἴσον, ἀλλ' οὐδ' ἐγγὺς δόξης τῆς σῆς, οὐδεμία ἄλλη τῶν ἁπασῶν ἀπηνέγκαλο· ὅπερ δή σοι, τοῦ Θεοῦ καὶ βεβαιοῦντος, παραμείνοι μέχρι παντὸς, μέχρις ἂν δηλονότι ἠ γένος ἀνθρώπων παραμείνοι τῷδε τῷ βίῳ.

(1) Cod. ἀλλά π. Et ἀλλά π exhibet Cangius, qui, Glossario Græcitatis in voce Ἐξόδιον, Nicephori verba, ab γέμ. ἠ ναοὶ ad φωνὰς, adtulit. Pro μόνων Cangius habet μόνον.

Ταῦτα δὲ πάντα πότερον λύπης ἔχει σοι μᾶλλον καὶ ὀδύνης ἀφορμὰς, ἢ πολλὴν καὶ μεγάλην τὴν ὀφειλὴν εὐχαριστίας ἁπάσης καὶ ἀνθομολογήσεως πρὸς Θεόν; ἢ τοῦτο πάντως. Καὶ οὐκ ἂν ὅσον εἰκὸς ἀποτίσαιμεν εὐχαριστοῦντες αὐτῷ, ἅμα δ' εὐχαριστοῦντες καὶ τῇ πανυπεράγνῳ τούτου μητρὶ, ἧς ταῖς μεσιτείαις ὑπὲρ πάντα νοῦν ἡμῶν, ὑπὲρ αἴσθησιν πᾶσαν, τὰ τοιαῦτα Θεὸς οἰκονομῶν ἄγει σοφῶς πρὸς ὃ καὶ μᾶλλον ἐκεῖνος οἶδε τέλος, ὀδύνης ἁπάσης καὶ λύπης ἀνώτερον; Ἐπειδὴ γὰρ οὐ σώμασι μόνον ζῶμεν ἄνθρωποι, ἀλλὰ καὶ ψυχαῖς ἀθανάτοις, καὶ πολλῷ δὲ μᾶλλον ψυχαῖς ἢ σώμασι φθειρομένοις, οἵ γε θεογνωσίας ὑγιοῦς ἠξιωμένοι καὶ ἀσφαλοῦς τῆς ἐν Χριστῷ Ἰησοῦ πίστεως, πρὸς ἐκεῖνα μεταχαλούμενοι τὰ μηδέποτε λήγοντα ἀγαθὰ, εἰκότως καὶ δοκιμαζόμεθα ἐν τοῖς παροῦσι τούτοις καὶ ματαίοις καὶ ῥεούσι καὶ παρερχομένοις, καὶ μηδὲν βέβαιον μηδὲ στάσιμον ἔχουσιν. Ἂν γοῦν καὶ γενναῖοι δή τινες φανῶμεν εὐψυχῶς φέροντες τὴν δοκιμασίαν, ἅμα δὲ καὶ ἐπὶ πᾶσιν εὐχαριστοῦντες τοῖς τῷ δοκιμάζοντι Θεῷ δεδοξμένοις καὶ ἡμῖν ἐπεννενεξμένοις, οὐχ ἁπλᾶ μόνον ἀπολαμβάνομεν κἀνταῦθα, ἀνθ' ὧν πληγέντες εὐχαρίστως ἐκαρτερήσαμεν, ἀλλὰ καὶ πολλαπλᾶ, μείζονος τῆς ὑστάτης εὐλογίας ἐπιτυγχάνοντες καὶ τῆς πρώτης, ὡς καὶ ὁ γενναῖος ἐκεῖνος καὶ ἐν πάσαις ταῖς συμπεσούσαις συμφοραῖς, ἐν πᾶσι τοῖς τοῦ πειράζοντος μηχανήμασιν ἀκατάσειστος ἔτυχεν Ἰώβ. « Πορευόμενοι (1) ἐπορεύοντο » φησὶ, « καὶ ἔκλαιον, βάλλοντες τὰ σπέρματα αὐτῶν· » καὶ, « ἐπὶ (2) νεκρῷ » φησὶ « κλαῦσον· » καὶ αὖθις, « ἐπὶ

(1) Psalm. cxxv, 6. (2) Sirach. xxii, 11.

» νεκρῷ κατάγαγε δάκρυα, καὶ δεινὰ πάσχων ἔναρξαι » θρήνου (1)· » οὐ μὴν ἀλλὰ καὶ ἐν τῇ ὑπομονῇ ἡμῶν κτήσασθαι τὰς ψυχὰς ἡμῶν (2) Χριστὸς ὁ σωτὴρ ἐμβοᾷ καὶ διαμαρτύρεται, ἣν ὑπομονὴν ἐγὼ μικτὸν φημι σπέρμα δάκρυσι καὶ κλαυθμοῖς, ὡς καὶ τὰ τῶν περὶ τὴν γῆν πονούντων μικτὰ δάκνουσι πόνοις καὶ ἱδρώτων κρουνοῖς. Κἀκεῖ μὲν τὸ πλέον τῶν δραγμάτων, ἃ δὴ καὶ μετὰ χαρᾶς αἴροντες ἔρχονται καὶ ἀγαλλιάσεως, ἀχρεῖον καὶ ὕλη πυρὸς καταπατηθὲν καὶ ἀπορριφέν· ἐνταῦθα δὲ τὸ ἐκ τῆς ὑπομονῆς ὅλον, ἀκήρατος καρπὸς, ἀποθήκαις οὐρανίαις θησαυριζόμενον καὶ μηδαμῶς μηδέποτε δαπανώμενον, κἀνταῦθα δὲ πολλὰς ἐκ Θεοῦ καὶ μεγάλας ἐφελκόμενον τὰς ἀμοιβὰς, τοῦ καὶ διαῤῥήσσοντος τοὺς σάκκους τοῖς πικρὰ πάσχουσι, καὶ περιζωννύοντος εὐφροσύνην, καὶ τὸν κοπετὸν στρέφοντος εἰς χαρὰν (3). Πιστεύων δὲ καὶ Δαυὶδ ἐν γῇ τῶν ἀεὶ ζώντων ἰδεῖν τὰ ἀγαθὰ (4), ὅδεν ἕτερον εὐθὺς καὶ πρὸς σὲ γραφεὶς λέγει, ἢ ὅτι ὑπόμεινον τὸν Κύριον, καὶ ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, ὡς τῆς μακαρίας ἐκείνης θέας ὅδαμόθεν ἑτέρωθεν ἢ ἐκ τῆς ὑπομονῆς καὶ ἀπαντώσης καὶ γεγενημένης.

Ἔκλαυσας γοῦν καὶ σὺ μεγάλα καὶ πεπτὰ καὶ ποταμοὺς δακρύων κατήνεγκες, πολλοὺς μὲν καὶ πρὸ τῆς συμφορᾶς, πολλοὺς καὶ ἐν αὐτῷ τῷ πάθει καὶ τῇ συμφορᾷ,

(1) Sirach. XXXVIII, 16, cum varietate.

(2) Christus apud Lucam XXI, 19: ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

(3) Psalm. XXIX, 11: ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί· διέῤῥηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην.

(4) Psalm. XXVI, 13, 14: πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων. — Ὑπόμεινον τὸν Κύριον· ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον.

πολλοὺς καὶ μετὰ τὴν συμφορὰν, ὅλην τὴν καρδίαν ἐνδοῦσα τῇ φλογὶ καὶ τῷ καύσωνι καὶ τῷ ἐξ αὐτοῦ μαρασμῷ· δεῖξον λοιπὸν κατ' ἴσον μέτρον καὶ τὸ τῆς ὑπομονῆς, καὶ Χριστῷ τοῦτο προσιάσσοντι καὶ ζητοῦντι θῦσον καὶ καρποφόρησον, καὶ τῇ ἐντολῇ ταύτῃ κτῆσαι τὴν σὴν ψυχὴν, κτήσασθαι δὲ καὶ ἡμᾶς τὰς ἡμῶν πρᾶξον, κινδυνευούσας ἤδη καὶ καταποθῆναι καὶ ἐκλελοιπέναι ταῖς ἀθυμίαις τῷ μηδαμόθεν ἄλλοθεν ἀναψυχὴν καὶ παράκλησιν δύνασθαι δέξασθαι, εἰ μὴ σὺ, ἐκνικήσασα ταῖς τῆς εὐλαβείας ὑπερβολαῖς καὶ πρὸς Θεὸν πεποιθήσεσιν, ἅμα δὲ καὶ τῷ γενναίῳ καὶ σταθερῷ τοῦ φρονήματος, κρείττω σεαυτὴν δείξεις καὶ ὑπεράνω γενομένην τοῦ μεγάλου τοῦδε πάθους καὶ τῆς ὅλης ἡμᾶς χειρωσαμένης καὶ κατενεγκούσης συμφορᾶς. Καὶ τοῦτον δὴ τὸν τρόπον, ἡ τὰ πάντα θαυμασία σὺ, καὶ θαυμαστὴ παρήγορος ἡμῖν κατασταίης, μὴ ῥήμασι μόνοις καὶ λόγοις, ἀλλὰ καὶ ἔργοις αὐτοῖς φανερὸν τιθεῖσα ὅτι καὶ παρεκαλέσατο καὶ τελέως παρεκαλέσατό σε Θεὸς, τῆς μεγάλης ταύτης ὑπομονῆς ἀμειψάμενος καὶ τῆς θαυμαστῆς καρτερίας. Ταύτην ἐγώ σοι, βασίλισσά μου, τὴν δέησιν, ταύτην προσάγω τὴν ἱκεσίαν, καὶ δέξαι πεισθεῖσα, ἡ καὶ τὰ πάντα καὶ βουλομένη καὶ σπουδάζουσα τοῖς σὲ τεκοῦσιν ἡμῖν πράττειν κεχαρισμένα. Καὶ μὴ παρίδῃς μηδ' ἐν τοῖς παροῦσι θερμῶς, ὁρᾷς δ' ὁπόσον, καθικετεύοντα τὸν πατέρα, καὶ μηδαμῶς ἑτέρως ἥκιστα δυνάμενον ζῆν, ἢ εὐθυμοτέρας ἀγγελίας δεχόμενον περὶ σοῦ, καὶ τῶν νῦν πικρῶς θορυβούντων καὶ τὴν ὅλην καρδίαν σπαραττόντων καὶ νεκρούντων κουφιζούσας λογισμῶν. Ναὶ ταῦτα, καὶ εἴ τι πλέον δύνῃ, πρᾶξον εἰς

ἐμὴν παραμυθίαν, ᾗ Θεὸς ἔσται σοι κἀνταῦθα κηδεμὼν καὶ χορηγὸς ἐλέους παντὸς, ὁ καὶ τῶν ἀῤῥήτων πατὴρ οἰκτιρμῶν. Οὐ μὴν ἀλλὰ καὶ ἐν τοῖς οὐρανίοις ἔσται σοι πρυτανεύων καὶ χαριζόμενος τὴν ἀνέκφρασιν ἐκείνην καὶ μηδέποτε μηδὲν πέρας ἔχουσαν εὐφροσύνην, πρεσβευούσης καὶ μεσιτευούσης πρὸς τοῦτο τῆς παναχράντου καὶ παναμώμου καὶ πανυπεράγνου μητρὸς αὐτοῦ.

ΤΟΥ ΑΥΤΟΥ

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ

ΕΠΙ ΤΗ ΤΕΛΕΥΤΗ

ΤΟΥ ΔΕΣΠΟΤΟΥ ΤΟΥ ΚΑΙ ΥΙΟΥ ΑΥΤΟΥ.*

Ἐγὼ νῦν ἐπιστεῖλαι βουλόμενος καὶ τὰ τῆς ἐπενεχθείσης καὶ κατασχούσης ἡμᾶς ἀνελπίστου, χαλεπῆς, μεγάλης συμφορᾶς σκῆψαι καὶ μηνύσαι, οὐκ οἶδ' ὅ τι χρήσομαι καὶ τί πράξω, τοῦ πάθους ἐς βάθος βάλλοντος καὶ πλήττοντος τὴν καρδίαν, καὶ κατὰ μέσης ἰκνουμένου καὶ χωροῦντος αὐτῆς, καὶ μή τί γ' σκχωρῶντος (1), μηδ' ἀνιέντος νοῦν ἑστάναι καὶ λογισμοὺς, μηδὲ τὴν διάνοιαν ἐῶντος τὰ ἑαυτῆς σνεργεῖν, καὶ γλῶττλαν λαλεῖν, πεπεδημένην ἤδη τῷ βάρει καὶ τῷ μεγέθει τῆς συμφορᾶς, ὥστε δὴ καὶ λείπεσθαι σιγᾷν ἡμᾶς μᾶλλον, καὶ ὅλον τὸ καθ' ἡμᾶς θρήνους εἶναι (2) καὶ πένθη καὶ ὀδυρμοὺς, καὶ πηγὰς δή τινας καὶ ποταμοὺς ἀφιέναι δακρύων.

Ἀλλ', οἴμοι! πῶς, ὑπομείνας καὶ καρτερήσας, εἴπω; πῶς εἰπὼν οὐκ εὐθὺς ἐκπνεύσω, ῥαγείσης καὶ διαπε-

* Ex cod. regio 2105, p. 278. Imperatorem Andronicum Palæologum seniorem consolatur Nicephorus Chumnus de morte filii Joannis Palæologi, despotæ dignitate ornati, ejus ipsius cujus viduam præcedenti epistola est consolatus. Obiit Joannes Palæologus a. 1304. Conf. supra p. 282, 285.

(1) Forsan, ἐγχωροῦντος.

(2) Codex, εἶναι. Mutatio facta est facilis, nec placet tamen. Malim, quod et facillimum, ἴναι.

σούσης μοι τῆς ζωῆς; πῶς ἀὴρ ὑπενέγκοι τὴν ἐκ τῆς γλώττης καὶ τῆς συμφορᾶς καὶ τοῦ πάθους δεινὴν ταύτην καὶ πάνδεινον βαρυτάτην πληγήν; τίς ἀκοὴ ἐστῶσα φέρει τὴν ἀγγελίαν; τίνα μὴ σπαραχθήσεται σπλάγχνα; τίς οὐ κατασεισθήσεται λογισμός;

Οἴμοι τοῦ κοινοῦ πάθους καὶ τοῦ μεγέθους τῆς κοινῆς πάντων, κοινῆς τῶν Ῥωμαίων συμφορᾶς! Τέθνηκεν ὁ γλυκὺς δεσπότης, ὑπὸ γῆν ἔδυ· συνέκρυψεν αὐτὸν τάφος. Κεῖται νῦν ἄφωνος, ἄπνους, μικρὰ (1) δ' ὅσον οὔπω καὶ βραχεῖα κόνις, ὁ πολὺς ἐκεῖνος ἐς ἀγαθὰς ἐλπίδας ἡμῶν· κεῖται, μήτ' ὀδυρομένων, μήτ' οἰμωζόντων ἡμῶν, μήτε θρηνούντων μηδὲν ἡσθημένος (μέμυκεν ἐκείνου χείλη, μέμυκεν ὄμματα, βέβυσται τὰ ὦτα), μήτε πρὸς ἡμᾶς ὁρῶν δακρύοντας, μήτ' ὀλολυγμῶν ἀκούων, οὐδὲ χείλη, οὔτε γλῶττιαν κινῶν, ὥστε δὴ καὶ λαλῆσαί τι, καὶ παρακαλέσαι μὲν τὸν πατέρα, παρακαλέσαι δὲ τὴν μητέρα (2), καὶ κοφίσαι τὰς ὀδύνας αὐτῶν, καὶ γοῦν ἰάσασθαί πως καὶ ἐξημερῶσαι τὴν πικρίαν, καὶ καταμαράναι τὴν τῶν πατρῴων ὁμοῦ καὶ μητρῴων σπλάγχνων πλείστην ὅσην φλεγμονήν. Ἀλλ' ὤμοι τῆς φύσεως, ὅτι βραχύβιος, ὅτι ῥευστὴ καὶ φθαρτή, καὶ θνητὸς ὁ ἄνθρωπος, ζῶον τὸ τιμιώτατον, κτίσεως αἰσθητῆς ἁπάσης ὑπερηρμένον, εἴπερ δι' αὐτὸν ἡ κτίσις, καὶ γοῦν ἑαυτῷ μηδὲν ὁμότιμον ἔχον, ἅτε δὴ καὶ παρὰ Θεοῦ ἐμπνευσθὲν καὶ θείας μετεσχηκὸς εἰκόνος, καὶ δοχεῖον γενόμενον ὅλου Θεοῦ, σήμερον μὲν ὢν καὶ μεθ' ἡμῶν ὤν, αὔριον δ' ἀπιὼν, καὶ εἰς τὸ μηκέτ' εἶναι μηδαμῶς ἀναλύων, ὁ πολὺς οὗτος καὶ τοῦ φαινομένου

(1) Codex, μικρόν.

(2) Irenen illam quam laudavit Theodorus Hyrtacenus supra pag. 269.

παντὸς ὑψηλότερος, ἐκ γῆς καὶ πνεύματος, ψυχῆς θείας καὶ νοερᾶς, δεδημιουργημένος, εἶτ' ἐκεῖθεν ὀλισθήσας καὶ πεσὼν κάτω, βαρηθεὶς ἅμα καὶ πεδηθεὶς τῇ ἁμαρτίᾳ, καὶ δὴ τρυγήσας, εἰπεῖν, τὴν φθορὰν ἐξ ἀπηγορευμένου ξύλου, καὶ βρῶσιν πικρὰν ἀλλαξάμενος τῆς ζωῆς! Καὶ τοίνυν φεῦ μοι καὶ τῆς καταχρίσεως ἐκείνης καὶ τῆς φωνῆς, « Γῆ εἶ (1) καὶ εἰς γῆν » ἀπελεύσῃ », αἰεὶ κρατούσης! Καὶ ὥσπερ κεκοινωνήκαμεν καὶ συμμετέσχομεν σώματος καὶ σαρκὸς τῷ πρωτοπάτορι (2), οὕτω δήπουθεν ἐσμὲν καὶ συμμετασχόντες τοῦ καταχρίματος. Καὶ φεύγει τοίνυν τὴν ἀπόφασιν οὐδὲν, οὔτε γῆρας, οὔτ' ἀκμὴ, οὔτε νεότης, οὐχὶ βρεφῶν καὶ παίδων ἢ καὶ μειρακίων αὔξησις καὶ ἀπαλότης· ἀλλὰ πάνθ' ὑπείκει, καὶ οὐκ ἔστιν ἡμῖν θαρρεῖν ἐπ' οὐδενὶ τούτων, ἀλλ' αὔριον εἶναι μᾶλλον πιστεύειν ἑστάναι καὶ παραμένειν, καὶ ῥοαῖς καὶ πνοαῖς ἀνέμων, καὶ σφαίρας τινὸς καθ' ἡμᾶς φερομένης ἢ καὶ κύκλου τὰ δοκοῦντ' ἄνω μὴ καὶ περιολισθαίνειν νομίζειν καὶ πίπτειν κάτω, ἢ ῥεύμασι καὶ φορᾶς ἐμπιστεύειν καὶ κατὰ πρανὲς κυλίνδροις ζωῆς ἀνθρώπων (3). Καὶ δῆτα πᾶς ἄνθρωπος χόρτος, καὶ ταυτὸν καὶ ἴσον ἀμφοῖν τὸ τῶν ἡμερῶν μέτρον, καὶ τὸ τῆς δόξης πάντων ἀνθρώπων ὡς ἄνθος χόρτου· Δαυὶδ ταῦτα φασὶ καὶ Ἡσαΐας (4)· « Ὁ χόρτος ἐξηράνθη καὶ τὸ » ἄνθος ἐξέπεσε. » Καὶ ἡμεῖς νῦν ταῦτ' ἐπὶ σοὶ ταὐτὰ παθόντι (ἢ οὐχὶ τοῦτο;), χθὲς μεθ' ἡμῶν ὄντι καὶ συλλαλοῦντι καὶ προσδιαλεγομένῳ, νῦν δ' ἀφ' ἡμῶν

(1) Genes. III, 19.
(2) Adamo scilicet.
(3) Sic codex, loco vix sano.
(4) David Psalm. CII, 15: ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξαν-

οἰχομένῳ καὶ ἀπιόντι, καὶ μηδὲν τῶν πρότερων μηδαμῶς ὄντι. Σὺ γὰρ τὸ τῆς νεότητος ἄνθος, σὺ καὶ τὸ τῆς φύσεως τοῦ σώματος ἀκμάζον, σὺ καὶ ἡ μεγάλη ἐλπὶς καὶ ὑπόσχεσις βίου τοῦ γ' ἐφεξῆς πόρρω που καὶ ἐπὶ μακρὸν ἐς πλεῖστον ὅσον ἥξειν, σὺ καὶ δεσπότης ἡμῖν ἐκ βασιλέων μεγάλων, τοῦ μὲν πάππου, τοῦ δὲ πατρὸς, τοῦ δ' ἀδελφοῦ (1)· ἀλλὰ νῦν ποῦ ταῦτα πάντα; κατὰ γῆς ἔδυ, οἴχεται, ἐρρύη. Ὦ τῆς ἀώρου ταύτης τομῆς! ὦ θάλλοντος σώματος καὶ δοκοῦντος μὲν κρατεῖν ἐν ῥώμῃ ζωῆς καὶ δυνάμει, ῥᾷστα δ' οὕτω καὶ ὀξέως τμηθέντος καὶ πεσόντος! ὦ φυτοῦ ῥίζης ἀγαθῆς, καὶ πάντων καὶ παντοίων ἀγαθῶν γονίμου, καὶ δὴ τ' αὐτὰ δὴ ταῦτα κατ' ἴσον γε τὸν τρόπον ἡμῖν καὶ προμνησλευομένου καὶ ἐπαγγελλομένου, ἄφνω δ' ἐκκοπέντος καὶ ἀπομαρανθέντος αὐτοῖς τοῖς ἄνθεσιν, αὐτοῖς τοῖς κατακόσμοις κλάδοις, αὐτοῖς τοῖς ὑπεμφαινομένοις καὶ παραγυμνουμένοις ἤδη καρποῖς! Ὦ ἄθλιος ἐγὼ καὶ σχέτλιος λογογράφος, μὴ πράξεις σὰς, μηδ' ἀρισλείας, μηδ' ἔργα λόγοις κοσμῶν· τῇ σῇ προσήκοντα φύσει, βεβαίας ἡμῖν παρεχομένῃ τὰς ἐπ' αὐτοῖς ἐλπίδας! ἀλλὰ τί; θρηνῳδὸς πάρειμι, τῆς εὐφημούσης ῥαγείσης μοι λύρας καὶ μουσικῆς, καὶ μεταβαλουσῶν τῶν χορδῶν ἐς ᾄσματα σκυθρωπά. Ἡ τάχα καὶ μετὰ τυμπάνου πρόσειμι τῷ τάφῳ, τῆς καρδίας οὐκ ἔτι ζώσης, ἀλλ' ὅλης, εἰπεῖν, συννεκρωθείσης καὶ ἀποτυμπανισθείσης, καὶ κρούοντος αὐτὴν τοῦ πάθους, καὶ, τῆς συμφορᾶς πλητλούσης καὶ

θύσει. —Isaias XL, 8: ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε.

(1) Avus enim fuit imperator Michael Palæologus; pater Andronicus senior; frater Michael Palæologus.

μασιζούσης, ὑπηχούσης ἀβούλητα καὶ ἃ μήποτ' ἤλπισεν οὐδ' ἐπὶ ταύτην οὔμενουν ἀνέβη.

Καὶ ἡμεῖς μὲν ταῦτα· τί δὲ σύ, ὁ κραταιὸς ἡμῶν βασιλεὺς, ὁ καὶ τοῦ κειμένου καὶ θρηνουμένου πατὴρ, καὶ τὴν καρδίαν καὶ τὴν αὐτῆς πᾶσαν κίνησιν χειρὶ Θεοῦ καὶ βουλήμασιν ἐμπαρασχών, κ᾽ τῇ γε ἀπείρῳ σοφίᾳ σκείνου καὶ τῇ κατὰ ταύτην ὑποθεὶς προνοίᾳ, καὶ ὅπερ ἐξ αὐτοῦ ἔλαβες, ἡμῶν ἄρχειν καὶ κρατεῖν καὶ γοῦν ἡμῖν χρῆσθαι καὶ τοῖς ἡμῶν καθ' ὅ τι καὶ βούλοιο, τοῦτ' αὖθις ἀνταποδοὺς, σοῦ δηλονότι βασιλεύειν καὶ κρατεῖν σκεῖνον, καὶ τῶν μαρτυρίων αὐτοῦ κ᾽ δικαιωμάτων κ᾽ θελημάτων (1) σπουδάζων ἀκριβὴς φύλαξ καὶ πληρωτὴς εἶναι, καὶ τούτοις αἰεὶ προσανέχων, καὶ ἐν τούτοις ζῶν τὴν μακαρίαν ὄντως ζωὴν καὶ τῆς μελλούσης πρόξενον καὶ ἀϊδίου, ὁ τὰ κατὰ σὲ πάντα σκείνῳ γ' ἐπιτρέπων ἄγειν κ᾽ φέρειν ὅπως ἂν καὶ καθὼς ἂν καὶ ὅποι βούλοιτο, καὶ ἀγαπῶν ἐν τούτῳ μᾶλλον κ᾽ πειθόμενος τοῖς ἐκείνου προστάγμασι, καὶ ἴδιον μὲν οὐδὲν οὔτ' εἰδὼς οὔτε λογιζόμενος, οὔτε πρόσω οὔτ' ἀπίω (2), οὔθ' ἥκον οὔτ' ἀφιστάμενον, οὔτε διδόμενον οὔτ' ἀφαιρούμενον, ἀλλ' οὐδὲ χρηστὸν καὶ συνοῖσον, οὐδ' ἀγαθὸν οὐδὲ καλὸν οὐδὲν, ὃ μὴ τῷ Θεῷ δήπου καὶ δεδοκίμασται καὶ δοκεῖ (οὐ γὰρ τοῦ μόνου ἀγαθοῦ καὶ πᾶν ἔστι γε τὸ μὴ ψευδόμενον, ἀλλ' ἀληθεῦον καὶ ὄντως ὂν ἀγαθόν), τί κ᾽ νῦν σύ; ἔχεις ἀποχρώσας ἐξ αὐτοῦ Θεοῦ τὰς παρακλήσεις κατὰ τὸ πλῆθος τῶν τῆς σῆς καρδίας ὀδυνῶν, καὶ λέγεις μετὰ τοῦ Δαυὶδ, ἀπαναινόμενος ὑφ' ἑτέρων παρακληθῆναι,

(1) In nonnullis respicit Psalmum CXVIII, 109, 111, 112.

(2) Forsan, ἀπὸν, quod antithetico πρόσω aptius convenit.

« Ἐμνήσθην (1) τοῦ Θεοῦ καὶ ηὐφράνθην », παρακαλοῦντός σε καὶ παραμυθουμένου, πεῖραν εἰληφὼς τῆς ἐκείνου περὶ σὲ χρηστότητος ἐν πολείστοις ὅσοις, καὶ ἱστορεῖς δὴ ταῦτα καὶ ἀναλαμβάνεις ἐν τῇ καρδίᾳ, ὡς καὶ νῦν πεῖραν ἔλαβες τῆς νουθεσίας; ἢ δεῖ καὶ ἡμᾶς πρὸς τὴν σὴν γενναίαν ἐπάδειν καὶ καρτερικωτάτην ψυχὴν καὶ τὰ πάντα θεοφιλῆ; καὶ βούλει μὲν συλλυπουμένους ἡμᾶς, βούλει δὲ καὶ παρακαλοῦντας εἶναι; Ἀλλά τοι (2) τούτων τὸ μὲν ἡμῖν καὶ κατὰ χρέος πρόσηκει καὶ κατὰ γνώμην ἔστι καὶ βούλησιν, καὶ συναλγοῦμεν, καὶ συμπενθοῦμεν, καὶ κλαύσομεν τὸν λοιπὸν τῆς ζωῆς χρόνον καὶ διὰ παντὸς θρηνήσομεν, καὶ ταῖς λύπαις αἰεὶ συνεσόμεθα, κρατοῦντος ἀεὶ τοῦ πάθους καὶ τῆς ἐπὶ τούτῳ μνήμης τῶν καὶ μικροψύχων ἡμῶν, καὶ μή τί γε δεδυνημένων γενναῖον οὐδὲ μεγαλόψυχον ὅδεν, οὐδ' εἰδότων Θεοῦ κριμάτων βάθος καὶ θησαυροὺς ἀφανεῖς καὶ ἀπόρρητους κειμένους ἐν αὐτοῖς· ἔστιν ἡμῖν καὶ δυνατὰ δὴ ταῦτα τὰ λυπηρά· ἰσχύσαι δὲ παρακαλέσαι, καὶ ψυχαγωγίαν τινὰ καὶ παραμυθίαν πρᾶξαι, τῆς σῆς θείας ἀπιομένην καὶ πάνθ' ὑπερφρούσης ψυχῆς, καὶ μάλιστα ἐν οἷς ἂν καὶ γνοίης δοκιμασίαν εἶναί τινα καὶ πύρωσιν (3) ἐκ Θεοῦ, πόθεν ἡμῖν ἔσται τοῦτο, καὶ παρὰ τίνος γένοιτ' ἄν;

Μέγα μὲν οἶδ' ὅτι κἀγὼ παράδοξον ἐρῶ· λεγέτω δέ τις τοῦτο κἀγὼ τολμηρόν, κἀγὼ τάχα γε οὐδ' ἐπιτρέψει· ἀλλ' αὐτὸς ὁ πάντα φιλάνθρωπος, ὁ πάντ' ἀγαθὸς, ὁ πάντ' εὐμενὴς, δὸς εἰπεῖν καὶ τοῦτο· τὸ ποῖον λέγω; αὐτὸς

(1) Psalm. LXXVI, 3.
(2) Codex, ἀλλά π.
(3) Junguntur δοκίμιον et πύρωσις, Prov. XXVII, 21.

ἂν ἡμᾶς μᾶλλον παρακαλέσαις, αὐτὸς οὐκ ἀνέξῃ ἐπὶ μακρὸν ὁρᾶν θρηνοῦντας, κλαίοντας, πενθοῦντας, ὀδυρομένους, σκυθρωπάζοντας, κατηφεῖς ὄντας, ἐπισυνάζοντας, ἐζοφωμένους τῷ σκότει καὶ τῇ ἀμαυρώσει τῆς κοινῆς ταύτης καὶ μεγίστης ὄσης Ῥωμαίοις ἅπασι συμφορᾶς. Πράξεις δὲ τοῦτο πῶς; εἰ τὸ σκυθρωπὸν αὐτὸς πρῶτος καὶ κατηφὲς ἀποθέμενος καὶ ὅσον ἐκ τοῦ συνενεχθέντος εἰκὸς, ἐξ ἄγαν μεγαλοψυχίας καὶ γενναίου φρονήματος καὶ ὄντως βασιλικοῦ, καὶ πάνθ' ὑπείκοντος Θεῷ, καὶ ὑπὸ τὴν αὐτοῦ κραταιὰν χεῖρα ταπεινουμένου, καὶ γε πειθομένου πᾶσι τοῖς δοκοῦσιν αὐτῷ, καταμηνύσεις ἡμῖν ἐντεῦθεν καὶ ἐξ αὐτοῦ γε τοῦ φαινομένου σχήματος, καὶ παρυποδείξεις τὴν ἐντὸς γαλήνην καὶ τοὺς κεκρατηκότας τοῦ πάθους λογισμοὺς, καὶ τὴν ἐκ Θεοῦ χειρὸς ἡμμένην καρδίαν σὴν καὶ ἐν ταύτῃ στρεφομένην ἀεὶ καὶ περιθαλπομένην, ἤδη καὶ ὑπερνηξαμένην τῆς ἐπανστάσης ταύτῃ πικρᾶς θαλάσσης ἐκ τοῦ πάθους καὶ τῆς συμφορᾶς, τοῦ παρακαλοῦντός σε Θεοῦ εἰπόντος αὐτῇ, « Σιώπα (1), πε- » φίμωσο », εἰπόντος καὶ τοῖς ἀγριαίνουσι κύμασιν, « Ἐν ταύτῃ (2) συντρίβητε », καὶ δῆτα συντριβέντων ἐν αὐτῇ καὶ ὑποχεχωρηκότων ταῖς τοῦ σωτῆρος ταύταις ἐντολαῖς καὶ τοῖς ἐκείνου προστάγμασιν.

(1) Verba Christi apud Marcum IV, 39.

(2) Job. XXXVIII, 11 : εἶπα δὲ αὐτῇ (τῇ θαλάσσῃ)· Μέχρι τούτου ἐλεύσῃ καὶ οὐχ ὑπερβήσῃ, ἀλλ' ἐν σαυτῇ συντριβήσεται σου τὰ κύματα. Vulgata : « et *hic* confringes tu- » mentes fluctus tuos. » In quibus *hic* videtur verborum ἐν ταύτῃ esse versionem : utique verba ἐν σαυτῇ si invenit, ea non vertit ille interpres.

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΚΥΡΟΥ

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ,

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ,

ΕΓΚΩΜΙΟΝ

ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ

ΚΥΡΟΝ ΜΙΧΑΗΛ ΤΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ

ΚΑΙ ΝΕΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΝ. *

Καινὸν οὐδὲν, θειότατε βασιλεῦ, εἰ τοιοῦτός τε ὢν, καὶ οὕτως ὑπ' ἀπορίας κατειλημμένος καὶ ἀσθενείας, μέρος τῶν σῶν ἐπαινετῶν καὶ αὐτὸς ἐγενόμην, καὶ οὐχ ὑπεσλάλην, οὐδ' ἐδειλίασα, πρὸς τοσοῦτον ἐμαυτὸν καθιεὶς τὸν ἀγῶνα (1), ὃν ὡς ἀληθῶς καταδύναι

* E codice regio 3010, p. 71. Gregorius, a patria vulgo Cyprius cognominatus, vir fuit disertissimus et ad veterum elegantiam fere assurgens, cujus in res non excurram, post Fabricii, Bibl. Gr. t. VIII, p. 57, diligentiam. Mihi satis erit paucula nunc proferre ex inedita Nicephori Chumni oratione, quam fortasse olim integram edam: locus exstat in codice regio 2105, p. 310, 2: καθηγεμὼν ἐμοὶ καὶ παιδευτὴς καὶ μυσταγωγὸς ὑπῆρξε καὶ διδάσκαλος μέχρι παντὸς τοῦ κατ' αὐτὴν βίου (εἴθε δ' ἦν κἀμοὶ καὶ διὰ βίου παντὸς, καὶ ἠγάπων ἂν αὐτῷ αἰεὶ παῖς εἶναι καὶ μαθητής), ὁ πολὺς ὁμεῖνος τὴν σοφίαν, πολὺς καὶ τοὺς λόγους, τὸ μέγα θαῦμα τοῦ καθ' ἡμᾶς βίου, ὁ πάνυ Γρηγόριος, ὃν πατρὶς μὲν ἤνεγκε Κύπρος, εἶτ' ἦν τῆς οἰκουμένης ἁπάσης χειροτονηθεὶς ἀρχιερεὺς καὶ διδάσκαλος. Ipsa hæc oratio in codice Leidensi, apud Fabricium Bibl. Gr. t. VIII, p. 62, et Bernardum de Rubeis nota ad Gregorii Cyprii vitam p. XXVI, βασιλικὸς vocatur. Fabricius λόγον illum βασιλικὸν et panegyricum Michaeli Palæologo dictum unam eamdemque esse orationem ignoravit.

(1) Eadem utitur metaphora in Maris laudatione p. 4: κἂν εἴ τις συγγνώσοιτο τοῖς εἰς τοὺς περὶ ταύτης λόγους ἑαυτοὺς καθιεῖσι,

καὶ Ἑρμῆς ἐκεῖνος ὁ λόγιος, καὶ εἴ τις ἕτερος κατ' αὐτὸν, δεόντως ἀνεβάλλετο ἂν καὶ ἀπώκνησεν, ὅτι μηδ' ἐμαυτῷ τεθαρρηκὼς ἔγνων τὸ τοσοῦτον ἐνδείξασθαι τόλμημα (ἢ γὰρ ἂν κἀ παντὸς ἠτιώμην φρενήσει), ἀλλὰ σοὶ, ὦ βασιλέων ἁπάντων, εἴπω δὲ καὶ ἀνθρώπων ὅσοι νῦν εἰσι, πρὸς συμπάθειαν ἐπιῤῥεπέστατε. Τῷ γὰρ εἰδέναι σε καὶ τὴν τῶν ἐπιαικότων μετάνοιαν τῇ συγγνώμῃ προφθάνειν, καὶ, εἴ που τις ἀπορίᾳ κατείληπται, τρόποις ἀναλαμβάνειν χρηστότητος, θάρσος ὅσον ἀνελάβομεν, καὶ, ὡς οἷόν τ' ἦν, ἐμαυτὸν ἐπιῤῥώσας, κατέδυν τὸ στάδιον. Μὴ γοῦν μοι διὰ τοῦτό τις ὁρμὴν προφερέτω παράλογον καὶ πρεπέτειαν, τὴν δ' ἐπιχείρησιν ὡς ἐλλογωτάτην οὖσαν ἀποδεχόμενος, αὐτό τε τὸ πρόθυμον καὶ τὸ ἄφθονον ἐπαινείτω τῆς προαιρέσεως, ἅπερ δὴ μεγάλα τέ ὄντα, καὶ μείζονος ὑπ' εὐνοίας κινούμενα, σφόδρα διὰ μικρῶν τῶν ἔργων ἐμφαίνεται, ἐπειδήπερ ὡς ἔχοι μοι τὰ τῆς ἔνδον προθέσεως ἔργοις παρασῆσαι ἀμήχανον. Οὐδὲ γὰρ οὐ λόγος, οὐ πρᾶξις, οὐκ ἄλλο τι τῶν ὅσα τις δι' αἰσθήσεως ἔχοι καταλαβεῖν, ταῦτα δύναιτ' ἂν ἐμφῆναι πρὸς ἱκανὸν καὶ παραδηλῶσαι τὸ μέγεθος. Εἰ δὲ καὶ Δαυὶδ ὁ βασιλεὺς καὶ προφήτης, τὸν θεοπάτορα (1) λέγω ἐξ οὗ τὸ κατὰ σάρκα Χρισὸς, οὐ

μᾶλλον τῆς προθυμίας ἀγαπήσας ἢ καταγνοὺς τῆς θρασύτητος, οὐκοῦν τὴν τοῦ μὴ τὰ δίκαια πεποιηκέναι δόξαν ὑποίσεται. Sententiam plane turbat illud οὐκοῦν, pro quo scribendum οὔκουν, quod tenent codices 2629 et 3010.

(1) David sæpius θεοπάτωρ Græcis scriptoribus dicitur, a quo scilicet secundum carnem et ut homo Christus descendit. Gregentius Disput. p. 9 : μαρτυρεῖ γάρ μου τῷ ῥήματι καὶ ὁ θεοπάτωρ Δαβίδ. Photius contra Manich. III, p. 42 : τὴν τοῦ θεοπάτορος μελῳδίαν λαβών : ubi Wolf. Epiphanius Phys. p. 22, Mustox. : μνηδῆτι τοῦ θεοπάτορος Δαυὶδ ὀκείνου.

μόνον ἀγγέλων φύσιν καὶ τῶν καθ' ἡμᾶς, οὐδ' ὅσον οὐράνιον καὶ ὑπὲρ τὸν οὐρανόν, οὐ μόνα δὴ ταῦτα ὑμνοῦντα παράγει Θεόν (1), ἀλλ' ἤδη τὸν ὕμνον κἀκ τῶν ἀψύχων βούλεται καταρτίζεσθαι, οὐχ ὡς ἀξίως ἐντεῦθεν ἐπαινεθησομένου τοῦ δημιουργοῦ (πῶς γάρ;), ἀλλ' ὡς ὀφειλομένως ἔχοι τὰ πάντα δεικνύναι λειτουργοῦντα Θεῷ, ἐμὲ τίς ἂν εἴη ἀπάγουσα πρόφασις, φύσεως ὄντα καὶ ταῦτα τῆς λογικῆς, μὴ τὸν κατὰ δύναμιν ἔπαινον ἀποδιδόναι τῷ ἐμῷ βασιλεῖ κατὰ τοὺς εὐγνωμονεστέρους τῶν εὖ παθόντων ἀνθρώπων, καὶ χρέος ἐντεῦθεν ἁπάντων χρεῶν εὐνομώτατον καὶ δικαιότατον διαλύσασθαι; Ἡ σχολῇ γ' ἂν ἄλλο τι φανείη τῶν δικαίων ὑπάρχον, εἰ μὴ τοιοῦτος καὶ ὁ παρὼν ἔπαινος οὑτοσὶ νομισθήσεται. Καὶ δὴ οὖν τρόπον ἀγωνιωμένων καὶ αὐτῷ μοι ἀποδυσαμένῳ τε ἅμα καὶ ἀπογραψαμένῳ, ὡς εἰς ἀγῶνα χωρήσοντι καὶ ἀγώνων τὸν μέγιστον, σὸν ἂν εἴη τῆς ἡμέρου ψυχῆς ἔργον, ὦ βασιλεῦ, ἵλεών μοι φανῆναι, καὶ διὰ τῶν ἐκτὸς καὶ θάρσος ἐνιέναι τοῖς λόγοις, πρὸ δὲ πάντων, εἴ τι μὴ κατ' ἀξίαν λελέξεται, συγγνώμην λαμβάνειν, καὶ τοῦ καὶ ἀναγκαίως περιτρεπομένῳ μοι δι' ἀπειρίαν τοῦ ἀεθλεύειν προτείνειν τε σωτήριον δεξιὰν, καὶ συνήθει ἐπαναλαμβάνειν χρηστότητι, ἐπεὶ καὶ ὑπὸ τοιαῖσδε ταῖς ἐλπίσι τὴν ἀρχὴν τὸν λόγον τεθάρρηκα· ὡς, εἰ μὴ τὰ τῶν ἐλπίδων προβήσεται, κενὴν τρέχων ὀφθήσομαι, καὶ ἀτελεσφόρητά μοι τὰ τῆς ὁρμῆς καὶ ὁ λόγος οὐκ εὔοδος. Καί τοι τί πρὸς ταῦτα ἐπιμηκύνω τὴν αἴτησιν; ὁρῶ γὰρ ἤδη σε καὶ πρὸ τῆς αἰτήσεως ἐπινεύοντα, καὶ συγγνωμόνως ἀκούειν καθυπισχνούμενον,

(1) Psalm. CXLVIII.

καὶ τούτου διδάσκαλον ὄψιν ποιοῦμαι τὴν σὴν, ἡπίαις ἐπιφρυκτωροῦσάν μοι ταῖς ἀκτῖσι καὶ πρὸς τὸ λέγειν παραθαρρύνουσαν.

Ἐμοὶ μὲν οὖν, ὦ βασιλεῦ, εἰ μὲν ἦν σκοπουμένῳ ἐξ αὐτῆς κρηπίδος τῶν πραγμάτων εἰπεῖν, καὶ ἃς (1) ἀρρήτως τὰς ἀφορμὰς ἀρχῆθεν τῶν περὶ σὲ ἡ προοιζοῦσα πάντα σοφία Θεοῦ κατεβάλετο, ἐπὶ μήκιστον ἂν ἐξετάθη μοι τὰ τοῦ λόγου, καὶ συγγραφὴν ἔδοξα μᾶλλον ἤπερ ἐγκώμιον μεταχειρίζεσθαι· νυνὶ δὲ τοῦτο, καὶ μὴ τὴν συγγραφὴν, πεποιημένῳ σκοπὸν, ἀπορεῖν καὶ ὅτῳ συμβαίνει ὅθεν δεῖ τοῦ λέγειν ἀπάρχεσθαι (2). Ὁ γάρ τοι λόγος ἐν μέσοις τοῖς σοῖς καλοῖς ὡς ἐν λειμῶνι περιλαμβανόμενος τερπνῷ καὶ εὐώδει (3), ποικίλῳ μὲν τὴν βλάστην, ποικίλῳ δὲ καὶ τὴν ὤραν, ὁμότιμα δὲ πρὸς βεβλημένῳ τὰ πάντα καὶ κατ' οὐδὲν θάτερον θατέρου ἡττωμένον, ὅτου μὲν ἅψεται πρῶτον, ὁποῖον δὲ καὶ παρέλθοι, τίσι δὲ τρόποις καὶ πάντα περιλήψεται, ἐπεὶ μηδ' ἔχοι τίσι χαρίσεται, ἀπορεῖ τε καὶ ἐπιδιάζει, καὶ ἵσταται σκοπῶν περὶ τῆς ἀρχῆς· καί γε ἡ περιουσία τῶν ὑποθέσεων εἰς ξένην ἔνδειαν αὐτῷ περιίσταται.

Οὐ μὴν ἀλλὰ, καίπερ οὕτω τούτων ἐχόντων, ὁ θρασὺς καὶ πάντα τολμῶν ἐγὼ (4) τὴν σὴν πατρίδα πειρῶμαι τιθέναι τοῖς ἄλλοις ἀρχὴν, καὶ πρῶτον ἐν τοῖς ὁμοτίμοις τάττειν καὶ δεύτερον. Τῇ γὰρ ἀνάγκῃ

(1) Addidi ἃς. Sed et verbum omissum esse videtur.

(2) Cf. p. 283, n. 1; p. 361.

(3) Idem communis locus tractatur a Theodoro Hyrtaceno supra p. 283. Præiverat Procopius initio Panegyrici Anastasio dicti.

(4) Procopium sequitur dicentem : οὐ μὴν ἀλλὰ, καίπερ τούτων οὕτως ἐχόντων, πάντα τολμῶντες οἱ λόγοι καὶ νῦν ὁμοίως θρασύνονται.

ἐξάγομαι πρὸς καινοτομίαν καὶ τὰ μὴ προσήκοντα πράττω τῇ ἀπορίᾳ στενόμενος. Τοιγαροῦν καὶ τὴν σὴν ἐκ προγόνων πόλιν, ὦ βασιλεῦ (αὕτη γὰρ ἔς ὦ μοι τοῦ λέγειν ἀρχή), ὑμνοῦσι μὲν οἱ κατ' ἤπειρον, ὑμνοῦσι δὲ καὶ ὅσοι τὰς περιρρύτους ἔχουσι νήσους, καὶ πᾶς ὅστις (1) ἀνθρώπων κωμῳδίαν ἡγεῖται καὶ ὀνομάζει, καὶ, τοὔνομα μόνον ἀκούσας εἰ τύχοι τῆς Κωνσταντίνου, τὴν κρατοῦσαν αὐτίκα πόλιν νενόηκε· τοσοῦτον αὐτῇ ἀξιώματος, τοσοῦτον περίεστι καὶ λαμπρότητος, ὥστε τῷ ταύτης ὀνόματι καὶ τὸ τῆς ἀρχῆς συνεισάγεσθαι, καὶ αὖθις τῷ τῆς ἀρχῆς τὸ τῆς πόλεως συνεισφέρεσθαι, ὃν τρόπον καὶ τὰ ἴδια φασὶν ἀντιστρέφειν οἱ περὶ ταῦτα σπουδάζοντες. Αὕτη καὶ γὰρ, τὴν ἐς ὕστερον εὐκλειαν ὥσπερ καλῶς μεμαντευμένου τοῦ οἰκιστοῦ, ὃν καλῷ τῆς οἰκουμένης θέσεως εἴληχε, καὶ χῶρον κάλλιστον τῶν ὑπὸ σελήνην οὐκ ἔστιν οὐδένα, ἢ τὴν Βύζαντος, προσειπεῖν. Μέση μὲν γὰρ κεῖται τῆς γῆς, ἔσχατα μὲν ἔχουσα τῆς Εὐρώπης, Ἀσίαν δὲ λέγεσθαι οὐδὲν ἀποδέουσα, ἢ, μᾶλλον εἰπεῖν, Ἀσίας καὶ Εὐρώπης, καὶ εἴ τι ἕτερον τμῆμα γῆς (2), ὀντεῦθεν ἀρχή· προβέβληται δὲ προμήκης ἐξ ἠπείρου εἰς θάλατταν, ὥσπερ ἀνίσχοντι τῷ φωσφόρῳ πρώτη προσαπαντῶσα (3), καὶ τοῖς ὀκ τοῦ πελάγους πρὸς αὐτὴν

(1) Alibi dicet πᾶς τις, quod esse puto usitatius. Atque ita scribit alibi οὐδεὶς ὅστις, non οὐδείς τις. Sæpe apud Agathiam occurrit οὐδεὶς ὅστις, οὐδὲν ὅ τι, quod alicubi editor una voce, οὐδενότι, exhibet. Exhibet et Agathias ὅστις οὐδεὶς, alio ordine.

(2) Libya enim a multis veterum Europæ pars esse putabatur. Disertius tamen ipse Gregorius Encom. maris p. 11, τὰ μὲν Ἀσίας ἐχούσης, τὰ δὲ (codd. δ') Εὐρώπης, ἔπεσι δὲ Λιβύης, καὶ ἄλλα ἑτέρου κλίματος γῆς. Vide et Gregorium Laudat. Andronici, infra p. 362.

(3) Procopius ibid., Anastasii

κατιδσιν, ὀν σχήματι εὐεργέτου, χεῖρα ὀρέγουσα (1). Μαιῶτίς τε θάλατία καὶ ὁ Εὔξεινος διὰ στενοῦ εἰς αὐτὴν ἀποθλίβονται καὶ τὰ παρ' ἑαυτῶν ὡς εἰς δεσπότιν τὴν πόλιν χρεωστικῶς παραπέμπουσιν. Ἑλλήσποντος δὲ, τὸν Αἰγαῖον καὶ πάντα κόλπον θαλάττης πληρῶν, ὀντεῦθεν ἀπάρχεται, ὡς αἱ ἀπὸ καρδίας τοῦ ζώου δυνάμεις μέχει καὶ τῶν ἄκρων περήκουσαι. Καὶ πάρεστιν ὀντεῦθεν καὶ ὀν ἠπείρῳ τάττειν τὴν πόλιν καὶ μετὰ τῶν νήσων καταριθμεῖν· καὶ, τὸ δὴ χαριέστατον, ἑκατέρων καὶ ἠπείρων καὶ νήσων πλουσίως ἀπολαύουσα τῶν καλῶν, τῶν ὀν ἀμφοτέραις λυπηρῶν ἠλλοτρίωται (2). Μεγέθους δὲ τοσοῦτον τῇ πόλει περίεστιν, ὥστε καλῶς ἂν ἔχοι παραβάλλειν αὐτὴν πρὸς τὴν γείτονα θάλασσαν· οὔτε γὰρ ὀκείνη μεγέθους περιουσία στενοχωροῖτ' ἄν ποτε ὑπὸ τῆς ἐμβολῆς τῶν εἰσρεόντων εἰς αὐτὴν ποταμῶν, καὶν εἰσρέωσιν ὅτι πλεῖστοι καὶ μέγιστοι, οὐθ' ἡ πόλις ὑπὸ τοῦ πλήθους τῶν ἐπιδημούντων, καὶ εἰ κατὰ μυριάδας ἐφίσταιντο, ἐμοὶ δοκεῖν, συμβάντος καὶ τούτου τῇ πόλει ὥσπερ ἐξεπίτηδες διευτεθουμένη τὰ πάντα πρὸς τὴν σὴν παραδοχὴν, βασιλεῦ. Καὶ, ὥσπερ τὸ τῆς γῆς ἔδαφος φέρει

patriam Epidamnum describens: πόλιν ἐξ ἠπείρου προβεβλημένην εἰς θάλατταν. Aristides t. 1, p. 167, de Athenis : πέκειται... πρόπτη πρὸς ἥλιον ἀνίσχοντα προμήκης εἰς τὸ πέλαγος. Et in pluribus sequitur Aristidem : non omnia notabo.

(1) Procopius ibidem : πέκειται γὰρ ὥσπερ χεῖρα προβαλλομένη τοῖς ὀκ πελάγους καὶ φιλανθρώπως αὐτοῖς ὑπαντῶσα. Præiverat Aristides ibid., in Athenarum descriptione : πρόπτη μὲν τοῖς ὀκ τοῦ πελάγους ὡσπερεὶ χεῖρα προπίτουσα εἰς ὑποδοχήν.

(2) Aristides ibid. : βαίνει γὰρ μέχρι πλείστου τὴν θάλατταν ἡμερουσα, καὶ ταῖς νήσοις ἐγκαταμίγνυται, θαυμάτων ἥδιστον, ἤπειρος ὀν νήσοις. Procopius : πάρεστι γὰρ ὀνταῦθα (forsan, ὀντεῦθεν) καὶ νῆσον ὀκ μέρους οἰκεῖν καὶ ἠπειρώτας εἶναι, καὶ τῶν κατ' ἀμφότερα λυπηρῶν ἀφεστάναι τῷ μὲν θατέρου ψιλῶς ἀπολαύειν.

τὰ πάντα, οὕτω καὶ ἡ πόλις πάντας ἀνθρώπους ἔχει δεικνύναι ἐξ ἔθνους παντὸς καὶ γένους Ἑλλήνων, βαρβάρων, ὁτωνδήποτ' ἀνθρώπων, ὄχ ἧττον κατὰ χρείαν ἢ πρὸς θεὰν ἀφικνουμένων τῆς πόλεως. Τὸν δέ γ' ὑπὲρ κεφαλῆς ἀέρα τῆς πόλεως καὶ αὐτὸν εἴ τις σκοπεῖν βούλοιτο, ὡς ἡδύς τε καὶ καθαρὸς καὶ παντὸς ἀναπνέειν ὀνησιμώτερος! οὔτε γὰρ θέρους λυπεῖ, ἀμβλυτέρας τὰς τοῦ φωσίηρος ἀκτῖνας βορέᾳ ϗ ζεφύρῳ πνοαῖς ἐργαζόμενος, ὡς ὀνόματι μόνον παρ' ἡμῖν εἶναι τὸ θέρος δοκεῖν· οὔτε χειμῶνος μυχὸς ζητεῖν ἔσλι γῆς καὶ καταδύσεις, φρυντίζοντας τὴν τοῦ καιροῦ διαδράναι δριμύτητα, μετ' ἀδείας δὲ καὶ περιπολεύειν ἔξεσλι καὶ ἱππάζεσθαι, καὶ πᾶν ὁτιοῦν ποιεῖν ὁμοῦ μεγάλῃ ῥασιώνῃ, μηδενὸς ἐκ τῆς ὥρας προσισλαμένου τῶν λυπηρῶν· αἱ γὰρ ὧραι κατὰ τὴν πόλιν ἠπίως ἀλλήλαις ἐπιμιγνύμεναι καὶ ἀναχεόμεναι μεταβάλλουσι λανθανόντως, ὥσλε καὶ μίαν αὐτὰς τῇ ἀνακράσει δοκεῖν, ϗ σωφρονίζονται δι' ἀλλήλων, ἑκάσλη τὰ παρ' ἑαυτῆς ταῖς ἑτέραις εἰσφέρουσα. Οὕτω τοίνυν ἡ πόλις καὶ ὡρῶν καὶ ἀέρων καὶ θέσεως ἔχουσα, πολλὴ μὲν οὖσα κατ' ἤπειρον, πολλὴ δὲ ϗ μέσην θάλατλαν σχίζουσα, ποικίλη δὲ ϗ ἄφατος τοῖς οἰκοδομήμασι, δήμῳ δὲ πρὸς τούτοις καὶ πολίταις τοῖς κρείττοσι καθ' ὑπερβολὴν λελαμπρυσμένη τῶν ἄλλων, δικαίᾳ ψήφῳ παντὸς τῶν πόλεων βασιλὶς καὶ ἔσλι καὶ ὀνομάζεται (1).

(1) Infra p. 328 : οὐκ ἔστι, ὅπ μὴ μετ' εὐσεβείας, ἀρετὴν ϗ εἶναι ϗ ὀνομάζεσθαι. Et ita alibi hæc verba et similia amabant jungere. Liban. t. II, p. 467 : φιλάνθρωπος ϗ εἶναι ϗ καλεῖσθαι. Julian. Misop. p. 342 : γνωριμώτεροι μᾶλλον εἶναι ϗ ὀνομάζεσθαι παρὰ πᾶσιν. Plutarch. Sap. Conv. c. 2 : ἀλλὰ οὐδὲ φεύγει τὸ φίλος εἶναι ϗ βασιλέων : recipiendam puto codicis lectionem, εἶναι ϗ λέγεσθαι β. Cf. ad Eunap. p. 549.

Αὕτη, βασιλεῦ, τοιαύτη τε οὖσα καὶ εἰς τοῦθ' ἥκουσα κλέους, τοὺς ἱεροὺς σου προγόνους καὶ ὡς καρπὸν ἀνῆκε μάλα προσήκοντα ἑαυτῇ καὶ, ὡς κόσμῳ διαφερόντως ἐπαινουμένῳ εὐτυχῶς αὐτοὺς πλουτήσασα βασιλεῖς (1), τούτοις ὠκαλλωπίσατο (2), ὥσπερ καὶ τὴν γῆν αὐτὴν ὁρῶμεν ταῖς ἰδίαις γονταῖς κεχρημένην εἰς κόσμον οἰκεῖον, καὶ κάλλος οὐδαμῶς προσιεμένην ἀλλότριον. Καὶ τοσούτῳ πρὸς τὰ κρείττω διὰ τουτονὶ τὸν κόσμον ἡ πόλις ἐπέδωκεν, ὥστε κ᾽ ἑαυτῆς βελτίω φανῆναι πολλῷ καὶ πρὸς ἀκμὴν ὥρας ἐκ γηραιᾶς ἐλθεῖν καὶ ἀνηβᾶν δόξαι, ὃν τρόπον καὶ ὅσα τῶν σωμάτων ἐξ ἐπιμελείας ὁρῶμεν τρεφόμενα. Καὶ γὰρ ὅσον ὀκεῖνοι τῶν πώποτε εἰς ταυτὸν αὐτοῖς ἀξιώματος ἀφιγμένων κρατεῖν ὠνομίζοντο, τοσοῦτον κ᾽ ἑαυτὴν ἡ πατρὶς δι᾽ ἐκείνους εὐδαιμονοῦσα παρέδραμε· καὶ αὖθις ὃν λόγον πρὸς τῶν πόλεων τὰς λοιπὰς ἔσχηκεν αὐτή (ἥττηνται γὰρ ταύτης αἱ πᾶσαι καὶ τῶν πρεσβείων ἐξίσταντα), τὸν αὐτὸν δὴ τα κἀκεῖνοι λόγον πρὸς ἅπαντας τοὺς προκεκρατηκότας διέσωζον, πάντων ὑπερκείμενοι τῶν λοιπῶν, καὶ παρὰ πάντας, ὅσον πλεῖστον ὀνῆν, ἀρίστῃ τύχῃ καὶ ἀρεταῖς ἐπαιρόμενοι. Καὶ τὸ δὴ θαυμασιώτατόν τε καὶ κράτιστον,

(1) Michaelem Palæologum et Andronicum seniorem. — Sic Georgius Acropolita Histor. 46, de Manuele Andronico : τὸν τοῦ μεγάλου δομεστίκου πρῶτον υἱὸν τὸν Κομνηνὸν Μιχαήλ, ὃν μετὰ χρόνους πινὰς ἡ τῶν Ῥωμαίων πεπλούτηκεν εἰς εὐτυχίαν ταύτης κ᾽ εὐδοξίαν.

(2) Eodem sensu id verbum legitur Geoponicorum ipso initio : πολλοῖς μὲν κ᾽ ἄλλοις βασιλεῦσι χρησοῖς ἡ μεγαλόπολις αὕτη ὠκαλλωπίσατο. Latinam versionem bonam esse vix crediderim hisce conceptam verbis : « a multis » quidem et aliis regibus bonis » magnifica hæc urbs exornata » est. » Sensum esse potius putaverim, « ex multis aliis regibus » iisque bonis magnam hanece » urbem sibi decus atque orna» mentum comparasse. »

τὸ τῆς εὐδαιμονίας καλὸν, ὅπερ φιλοῦν ἀεὶ μεταπίπτειν καὶ μεταδιώκειν ἄλλοτε ἄλλῃ, αὐτοῖς τε καὶ τέκνοις καὶ τοῖς ἐκ τούτων πᾶσι δι' ἀρετὴν πάντως οὔτ' ἠλαττώθη τοῦ μεγέθους, καὶ τὰ μεγάλα ἐπέδωκε. Τοῦ γὰρ κοινοῦ τῆς οἰκουμένης συστάντος πάθους καὶ τῆς πατρίδος κίνησιν κινηθείσης ἣν οὐκ ἔδει (1), πάντων δὲ τῶν ἐν αὐτῇ μεταβολὴν δεδεγμένων, ἀλλ' ἣν οὐκ ὤφελον, μόνῳ τῷ τοιούτῳ γένει Θεὸς τὸν ὄλβον τῆς δόξης τετήρηκεν ἀμετάπτωτον, μέλλων σε πάντως τὸ κοινὸν ἡμῖν ἀγαθὸν ἐντεῦθεν παραγαγεῖν, ὥσπερ ἐκ δένδρου ἐρρωμένου τε τοῖς πᾶσι καὶ εὐγενοῦς καρπὸν μάλα ἡδὺν καὶ ὠφέλιμον. Εἰ δὲ καὶ τὰ σκῆπτρα πρὸς μικρὸν μεταβέβηκεν (2), οὐ χρὴ θαυμάζειν πρὸς τοῦτο· πρὸς ὀλίγον γὰρ ἡ ἀρχὴ τοῦ σοῦ γένους ἐξέπτη, εἰ καὶ ὅλως ἐξέπτη, ἵν', ὥσπερ παρασκευασαμένη καὶ χρόνῳ προσχρησαμένη τινὶ πρὸς ἀνάρρωσιν, αὖθίς σοι μετὰ πλείονος τῆς δυνάμεως ἔλθῃ καὶ προσδράμῃ μετὰ λαμπρότητος. Δι' ἃ δὴ καὶ διάδοχος τῆς πατρικῆς εὐτυχίας ὁ σὸς πατὴρ, καὶ κλῆρος αὐτῷ πατρῴος τὰ ἐκ γένους καλὰ μετὰ πλείστης ὅσης τῆς ἐπιδόσεως πεπίστευται, καὶ κρεῖττον ἢ κατ' εὐχὴν, ἣν πατέρες τοῖς τέκνοις ἐπεύχονται, εἰ χρὴ τὰ δέοντα λέγειν, κατὰ τὰς πράξεις ἐκλάμπαντι. Εἴ τις ἐκεῖνον οἶδε τὸν πολὺν καὶ μέγαν Ἀνδρόνικον (3), οἶδεν ὃ λέγω καὶ τὴν τῶν λόγων ἀλήθειαν ἐκ τῶν ἔργων τοῦ ἀνδρὸς ἐπιγνώσεται. Καὶ γὰρ τούτου πολλαὶ μὲν κατ'

(1) Innuit, puto, Byzantii expugnationem a Latinis factam.

(2) Sceptra scilicet a Græcis imperatoribus ad Latinos translata, quod evenit anno 1204to.

(3) Andronicum Comnenum Palæologum, de quo Cangius Famil. Byzant. p. 231.

ἐχθρῶν νίκαι, αἱ μὲν ἐπὶ τῆς ἑῴας, αἱ δὲ καὶ κατὰ τὴν ἑσπέριον λῆξιν γενόμεναι (1), πολλὰ δὲ κ᾽ τὰ τέρπαια ἀνυποστάτῳ ῥώμῃ δεξιᾶς ἀνιστάμενα· ἡ φέρνησις δὲ καὶ ἡ πρὸς ὑπερβολὴν φιλανθρωπία τὰ ἐπισημότατα, ἐξ ὧν θαυμαστὸς μὲν καὶ παρὰ βασιλεῦσι καὶ τὰ πρῶτα τῶν ἀξιωμάτων φερόμενος, θαυμαστὸς δὲ καὶ παρὰ τῇ γερουσίᾳ, ἔργων αὐτοῖς ἀγαθῶν χρηματίζων παράδειγμα, ἀξιέραστος δὲ καὶ παντὶ τῷ δημοτικῷ, χρηστότητος τέρποις ἀναφλέγων αὐτοὺς πρὸς τὴν εὔνοιαν. Ὦ κ᾽ κοινωνὸν βίου Θεὸς τὴν θαυμαστήν σε παρέσχε μητέρα (2), ἆθλον, ἤ, (οὐκ ἔχω (3) πῶς ἄλλως εἰπεῖν) ἀρετῆς τῆς ἐκείνου, κ᾽ γέρας διαφερόντως τοιούτῳ πρεσπῆκον ἀνδρὶ, ἤν, εἴ τις τὸ πᾶν ὡς ἔμβραχυ βούλοιτο λέγειν, κ᾽ μὴ τὴν γλῶτταν, κατὰ Πίνδαρον εἰπεῖν, τέγγειν ὀν ψεύδει (4), ἄγαλμα τοῦ θήλεος εἴποι κ᾽ κόσμον ὡραῖον τῷ γένει, ὡς μόνην γυναικῶν ἁπασῶν ἰδέαν ἅπασαν ἀρετῆς τῆς ἐν τῷ θήλει πλουτήσασαν. Ἐχρῆν γὰρ ὡς ἀληθῶς τοιαύτην περιπαβεβλῆσθαί σου τοῦ γένους κρηπίδα, καὶ τοκέας ἔχειν, πατέρα μὲν ὃν ἡ νίκη πολλάκις ἐγνώρισε, τεκοῦσαν δὲ θαυμαζομένην ἐξ ἀρετῶν ὅσαι δὴ γυναικῶν εἰσι, καὶ τὰς λοιπὰς ἀποκρύπτουσαν (5).

(1) Quem sic laudat G. Acropolita Hist. 46 : τὸν μέγαν δομέστικον τὸν Κομνηνὸν Ἀνδρόνικον τὸν Παλαιολόγον, ... τὰ πρῶτα φέροντα τῶν ὀστρατηγίαις πεπαγμένων, ἄνδρα συνετώτατον κ᾽ πραότατον, κ᾽ εὖ εἰδότα κ᾽ μάχην ὁπλίσαι κ᾽ διευθύναι λαὸν κ᾽ ὀν πολεμικοῖς κ᾽ εἰρηνικοῖς πᾶς καιροῖς.

(2) Filia fuit Irenes, filiæ imperatoris Alexii Angeli, et Alexii Andronici : vide Niceph. Gregor. III, 4, 2.

(3) Codex, ἡ οὐκ ἔχω. Forsan ἆθλον ἤ.... (οὐκ ἔχω π. ἄ. ε.) : ut videatur orator aliud nomen post ἆθλον quærere; ac, non invento, οὐκ ἔχω, ait, πῶς ἄλλως εἰπεῖν. Eadem formula utetur p. 332.

(4) Pindar. Ol. IV, 28. — Cod. πίγκειν.

(5) Procopius l. l. pag. 29 :

Ἀλλὰ τί μοι μακρηγορεῖν τὰ τῶν πατέρων διεξιόντι, ὀνὸν ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκειν κἀκ τοῦ φερομένου νάματος τὴν πηγήν; Σὺ, βασιλεῦ, ὁ γλυκὺς τῷ ὄντι καρπὸς καὶ παντὶ τῷ γένει σωτήριος, σὺ προύκυψας ἐξ ἐκείνων. Καὶ τίς παρὰ ταύτην μείζων εὐδαιμονία; ἢ τίς ἂν (1) ἔχοι ἐφ' ὥπερ μᾶλλον καυχήσαιτο; Ἀρκεῖν μὲν οὖν αὐτοῖς οἶμαι μόνον τὸν σὸν τόκον πρὸς (2) εὐφημίαν, καὶ τούτῳ μόνῳ μάλιστα πάντων θαυμάζεσθαι, κἂν εἰ μηδὲν αὐτοῖς ἄξιον ἐπαίνου ἐξ ἀρετῆς ἰδίας ἐτύγχανεν. Οἷς γὰρ πράσεσιν ἐκ τῶν τελεωτέρων θαυμάζεσθαι, τούτοις ἤκιστα λόγος καὶ τῶν μικροτέρων χάριν καρποῦσθαι τὸν ἔπαινον.

Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος (3) καὶ τῶν πρυθύρων ἤδη τῶν κατὰ σὲ πλεονεκτημάτων ἁψάμενος, μᾶλλον ἐμαυτῷ ἀσθενοῦς ὄντος αἰσθάνομαι ἐπ' αὐτοῖς ἔργοις, ὥσπερ οἱ διὰ τῆς πείρας προσομιλοῦντες τοῖς πράγμασιν, ὅσον μὲν ἐμοὶ ἀπορίας καταμαθὼν, ὅσον δὲ τοῖς σοῖς ἐγκωμίοις τὸ μέγεθος. Ταύτῃ τοι καὶ δέδοικα, πρὶν ἢ σαφῶς παρακύψαι τοῖς ἔνδον, καὶ περιῤῥαίνομαι ὑπὸ τῆς ἀγωνίας ἱδρῶσι, καὶ ὅστις γένω-

ἀπέκρυψας τοὺς φοιτᾶντας καὶ τοὺς ἄλλους νικῶν ταῖς ἀρεταῖς. Sic mutavit Villoisonus codicis lectionem νικῶντες, et proposuit legendum etiam νικῶντας. Male; servandum νικῶντες. Sequitur, ὅθεν σοῦ τὴν ἥττων μεταμανθάνουσι, καὶ νικῶντας νίκην ἡδίστην καὶ ἣν ἂν εὔξαιντο πατέρες νικᾶσθαι: quæ omnia recte se habent, modo interpunctione juventur, sic: ἀπέκρυψας τοὺς φοιτᾶντας· καὶ τοὺς ἄλλους νικῶντες ταῖς ἀρεταῖς ὅθεν σοῦ τὴν... Hanc verbi ὑποκρύπτειν significationem illustrat Abresch. in Miscell. Observ. Nov. t. I, p. 84. Cf. et nota ad Eunap. p. 356, ac Tupii Emend. III, pag. 159. Gregorius iterum infra p. 336: ἀειστύσαντα Δημοσθένην σὺ καλῶς ἀειστύων ἀπέκρυψας.

(1) Forsan, ἢ τί πς ἄν.

(2) Codex φοῦς, cum varietate εἰς.

(3) Sic Procopius p. 33: ἐνταῦθα δὲ τῷ λόγῳ γενόμενος. Et Gregorius iterum infra, p. 351.

μαι ἀπορῶ. Καὶ γὰρ, ὃ περὶ τοὺς τὸν οὐρανὸν βλέποντας ἔστιν ἰδεῖν (ἵστανται γὰρ θαυμάζοντες (1) μὲν ἐφ' οἷς ὁρῶσιν, ἄξιον δὲ τῶν ὁρωμένων οὔτ' εἰπεῖν, οὔθ' ὅλως νοῆσαι ἰσχύουσι), τοῦτ' αὐτὸ καὶ αὐτὸς ἀτεχνῶς ἐπεπόνθειν· ἀφωνίᾳ κατείλημμαι τοῖς σοῖς προσβλέψας χαρίσμασι, καί μοι τὰ τοῦ λόγου πρὸ τῆς πείρας ἐλέγχεται· καὶ τοῦτ' ἴσως οὐ παρὰ τὴν τοῦ λέγοντος μᾶλλον ἀσθένειαν, ἢ τὴν τῶν πραγμάτων ὑπερβολὴν, καὶ τὸ μὴ καθάπαξ φύσιν ταῦτ' ἔχειν ὑποπίπτειν λόγῳ διὰ τὸ μέγεθος. Πλὴν τί χρὴ παθεῖν; τολμητέον καὶ οὕτως ἔχοντί μοι τὴν πεῖραν (2), καὶ τοῖς ἐπαίνοις προσιτέον, ὡς δύναμις, αὐτῶν ἡμῖν ἱκανῶς τῶν πραγμάτων τὴν συγγνώμην ἐξαιτουμένων· οἷς γὰρ καὶ διάνοιαν ταῦθ' ὑπερβαίνει καὶ οὐδαμῶς τῇ γλώττῃ περίληπτα, καὶ τῷ λέγοντι πάντως, εἰ μὴ τῆς ἀξίας ἐφίκοιτο, ἀποχρῶσαν, οἶμαι, τὴν συγγνώμην ἐργάζεται.

Σοὶ μὲν ὁ Θεὸς, βασιλεῦ, ἄνωθέν σε τοῦ οἰκείου λαοῦ γραψάμενος ἄρχοντα, πάντα πρέποντα τῇ ἀρχῇ ἐχαρίσατο (3), τὰ ἐκ τοῦ σώματος, τὰ ἐκ τῆς ψυχῆς, τὰ ἐκ τῶν ἔξωθεν, ὡς οὐδενὸς ὢν οὐδενὶ λείπεσθαι, μάλιστα δὲ καὶ κάτω τιθέναι πάντας καθ' ὅσα τις ἔχει φιλοτιμήσασθαι· ὥστ' ἐμοὶ δοκεῖν καὶ αὐτὴν ἐπὶ σοὶ τὴν κοινὴν ἡμῶν φύσιν κομπάζειν ἔχειν, οἷς τοιοῦτος καὶ μετὰ τοσούτων καὶ τηλικούτων τῶν χαρισμάτων ἐξέθορες. Καὶ γὰρ ὥρᾳ μὲν αὐτίκα καὶ κάλλει διέφερες σώματος (4),

(1) Locutionem θαυμάζειν ἱστάμενος ἄφωνος adhibet Gregorius Cyprius initio maris Laudationis. Homerus : Ἡμεῖς δ' ἱστάμεν θαυμάζομεν : quem jam admovi Pindaro Ol. III, 57.

(2) Procopius similiter ibidem pag. 33 : ὅμως τολμητέον τὴν πεῖραν.

(3) Procopius l. l. p. 29 : σοὶ γὰρ ὥσπερ ἡ τύχη καλῶς τὸ μέλλον μαντευομένη πρέποντα πάντα παρέχει τῇ Ῥωμαίων ἡγεμονίᾳ.

(4) Nicephorus Greg. III, 4, 1, de illo Michaele : πολλὴν ὅπῃ τοῦ

καὶ ὅστις κατὰ ταῦτα δεύτερος μετὰ σὲ τῶν ἄλλων καθ' ὑπερβολὴν κρατῶν ἐνομίζετο· παρεῖχες μελῶν συμμετρίαν πρὸς ἄλληλα, καὶ πρὸς σύστασιν τοῦ ὅλου εὐφυῶς τὰ μέρη συνέτρεχον, ἐτήρουν δ' ἐν ἀλλήλοις ἀείσην ἀναλογίαν, καὶ τὴν ἁρμονίαν ὡς κάλλιστα ἔσωζον (1)· ἀσύμμετρον δέ τι ἢ καὶ ἀνάρμοστον ἦν ὅλως ὁρᾶν οὐδαμοῦ, διὰ τῆς ἴσης ἀναλογίας, τῆς (2) ἐξ ἀρχῆς, κινούσης ἀεί σε τῆς φύσεως, καὶ κρεῖττον ἢ καθ' ὁντινοῦν μουσικῆς ἐπιστήμονα. Ἐντεῦθεν τοίνυν καὶ ἰσχὺς ἐπηκολούθει τῷ κάλλει καὶ ῥώμη τῇ εὐρυθμίᾳ τοῦ σώματος. Καί πού τις τάχα τῶν θεωμένων, κατὰ Πλάτωνα λέγων, εἶπεν ἂν σε κάλλους ἰδέαν καὶ πάσης ἀρχέτυπον ὡραιότητος· δι' ὃ καὶ θεώμενος (3) ἀκόρεστον ὑπῆρχες ὄψεσι χρῆμα, καὶ πᾶς τις βλέπων εἰς σὲ τοὺς ὀφθαλμοὺς μεταφέρειν οὐκ ἤθελεν· ἤρκεις γὰρ, ἀντὶ παντὸς ἡδίστου θεάματος, μόνος αὐτὸς καθορώμενος. Καὶ Σειρῆνας μὲν ποιηταί φασι τοὺς πρὸς τὴν ᾠδὴν αὐτῶν ἐπαίοντας ἁναρτᾶν ἐκ τῶν ὤτων· σὺ δὲ οὐ τὴν ἀκοὴν ἐζήτευες, ὡς ἐκεῖναι, ἀλλὰ τὰς ὄψεις αὐτὰς, τὴν ἀσφαλεστέραν αἴσθησιν (4), ἔθελγες, μείζονα δύνασθαι πρὸς τὸ θέλγειν τῆς ἐκείνων ᾠδῆς τὴν καλλονὴν παρέχων τοῦ σώματος· καὶ οὐκ ἀπώλλυς οὐμενοῦν

πρεσπόνν φέρων ἱλαρότητα. Nicephorum Phrantzes describit Chronici initio.

(1) Codex habet ἴσωζεν, quod, propter συνέτρεχον, ἐτήρουν, mutavi.

(2) Codex prius τῇ, et, e correctione ejusdem manus, τῆς.

(3) Velim θεωμένοις: nam passivum θεώμενος in hoc scriptore non facile tulerim, præcedente præsertim τῶν θεωμένων sensu activo. Et mox θεωμένοις active legetur. Nec aliter in maris Encomio p. 5: εἴ τις θεώμενος θαυμάζοι τὸ τοῦ παντὸς χῆμα, ἐκ τῆς τοῦ ὕδατος φύσεως δίον τὸ πρῶτα τοῦ θαύματος ἄρχεσθαι. Pro δίον, quod reperi in codd. 2629 et 3010, male Morellius conjecit δίοι.

(4) Ὥστε γὰρ, Herodotus ait, τυγχάνει ἀνθρώποισιν ἀπιστότερα ὀφθαλμῶν.

τοὺς ἁλόντας ἐπὶ τέλους ὥσπερ ἐκεῖναι, παρέπεμπες δὲ, μεθ' ὅσης τῆς ἡδονῆς καὶ τοῦ θαύματος. Μάντεις δή σοι τῷ τότε περὶ τῶν μελλόντων πολλοὶ (1), ὁπόσοις ὁ ἔνδον ὀφθαλμὸς ἐκαθαίρετο, ὅτι καὶ ἄνθρωπος τὴν λήμην περιῃρημένος τῶν ὄψεων τῆς ψυχῆς καὶ τῶν οὔπω γεγενότων ὡς ἤδη παόντων αἰσθάνεται. Καὶ τί δὴ λέγω εἶναί σοι μάντεις μόνους τοὺς καθαροὺς τὴν διάνοιαν, ὅπου καὶ τοῖς πολλοῖς πρὸς σὲ θεωμένοις καθίστατο δῆλα, καὶ πάντες ἔψαλλον μὲν, ὑπὸ τοὺς ὀδόντας (2) δ' οὖν ὅμως, ἅπερ νυνὶ τοῖς ὀφθαλμοῖς ὁρῶμεν ἡμεῖς; αἱ γὰρ μεγάλαι φύσεις ἐναργεῖς καὶ τῶν ἀφανῶν τὰς εἰκασίας παρέχουσι· καὶ ὥσπερ αἱ τοῦ φωστῆρος ἀκτῖνες, μήπω καὶ ταῦτα (3) τὸν ὁρίζοντα ὑπερβάντος, κατ' οὐρανοῦ ἐξαπλούμεναι μηνύουσι τὴν ἀνατολὴν, τὸν αὐτὸν δῆτα τρόπον καὶ αὐτὸς, βασιλεῦ, μάλα ἐναργῆ τὰ σύμβολα προφαίνεις τῆς ἀρχῆς, καὶ προχαράγματα τῶν μελλόντων πρὸ τοῦ καιροῦ καθυπέφαινες. Οὕτω, βασιλεῦ, ἄξιον, εὐθὺς ἐκ παίδων, καὶ ἀκοῆς καὶ λόγου καὶ θαύματος ὑπῆρχες δίψημα, λεγόμενος, ἀκουόμενος, μετ' ἐκπλήξεως θαυμαζόμενος.

Μὴ ξένοις δὲ παραδείγμασι, γνησιωτάτοις δὲ μάλιστα σαυτοῦ καὶ τοῖς ἐκ πατέρων ἀκολουθῶν, ἐδιδάσκου τὰς μὲν χεῖρας εἰς πόλεμον, τοὺς δακτύλους δὲ, κατὰ τὸν θεῖον φάναι Δαυὶδ, εἰς παράταξιν (4),

(1) Meminit Nicephorus Gregor. III, 4, 1, τῶν προλαληθέντων περὶ αὐτοῦ εἴτ' ἐξ ὀνείρων καὶ κληδόνων πινῶν.

(2) Scriptor in Bandinii Recensione cod. VIII, plut. VIII Laurentianæ, p. 132: ὁπόσα γὰρ μεθ' ὑποτολῆς καὶ οἷον ὑπ' ὀδόντα πρότερον, ἀναίδην ἐλέγετο.

(3) Forsan, καὶ ταῦτα μήπω.

(4) Psalm. CXLIII, 1: εὐλογητὸς κύριος ὁ Θεός μου, ὁ διδάσκων

ἀσπίδα κουφίζων, καὶ δόρυ κραδαίνων, καὶ τόξα καὶ βέλη καὶ ξίφη, ὡς ἐνῆν δεξιώτατα, μεταχειριζόμενος· ἢ, μᾶλλον εἰπεῖν, ἔδει σοι πρὸς ταῦτα διδασκαλίας οὐδὲν, οἴκοθεν, καὶ κρεῖττον ἤπερ ἐστὶν εἰπεῖν, κατορθοῦντι τὰ πάντα, καὶ, μεγέθει φύσεως, πόνων ἅτερ ἐργαζομένῳ ἃ τοῖς πᾶσιν ἁπλῶς κατορθοῦνται χρόνῳ πολλῷ καὶ ἀσκήσει τῇ μείζονι.

Ἀρετῶν δὲ ὡς εἶχες καὶ παρασκήματος ψυχῆς καὶ παγίων ἠθῶν καὶ φρενῶν ἐπιβόλων, καὶ ταῦτα μήπω παραγγείλας τὸν μείρακα, ἀλλ' ἐν ὑγροτέρῳ τῷ σώματι, πῶς ἄν τις εἰπὼν ἱκανῶς ἔσεται (1) εἰπών; Εὐσέβεια γὰρ ἐκ σπαργάνων αὐτίκα τὸ πάμμεγα χρῆμα παραλαβοῦσά σε, ὁ ἐκ πρωτόνων σοι κλῆρος καὶ ἀναφαίρετος θησαυρὸς, κράτιστα δὴ πρὸς τὰς κατ' αὐτὴν ἀρετὰς ὑπὸ καθηγεμόνι τῷ πατρὶ ἐξεπαίδευεν· ἤ, τό γε ἀληθέστερον, οὐδὲν ἔδει σοι οὔτε τοῦ ῥυθμίσοντος, οὔτε τοῦ παιδεύσοντος· οὐ γὰρ ἦσαν αἱ ἀρεταὶ παρὰ σοὶ διδακταὶ, κἂν ὅτι μάλιστα διδακτὰς αὐτὰς οἱ πάλαι ὑπέθεντο (2)· ἀλλ', ὥσπερ ὠδίνων ταύτας ἐν τῇ ψυχῇ, ἀπαλότητι δὲ σώματος μὴ ἔχων ἀθρόως ἁπάσας προενεγκεῖν, ἐν χρόνῳ δέοντι καὶ ἡλικίᾳ πρεπούσῃ, ὥσπερ τινὰ τόκον εὐγενῆ τε καὶ ὥριμον, εἰς φῶς κατὰ μίαν προήνεγκας. Καὶ πρῶτα μὲν δὴ ὡς ἐπὶ κρηπῖδι τῇ εὐσεβείᾳ τὴν ἀνδρείαν ἐπέθηκας, εἶθ' ἑξῆς ἐπετίθεις τὴν φρόνησιν, σωφροσύνη δὲ ἐφείπετο ταύταις, ῥᾳδίως καὶ δικαιοσύνη προσέτρεχες· σειρὰν

τὰς χεῖράς μου εἰς παράταξιν, πυὺς δακτύλους μου εἰς πόλεμον.

(1) Sic codex. Exspectabam ἔσαι. Est ἐστεῖται et in Chumni Epist. inedita 94. Vid. Addenda.

(2) Vide Heind. ad Plat. Euthyd. § 9. Et rex Ægypti apud Aristeam p. 306 ab uno e LXXII interpretibus petit, τὸ φρονεῖν εἰ διδακτόν ἐστι.

ἂν εἴπέ τις ταύτας χρυσῆν τε καὶ ἱερὰν καὶ τοῖς πολλοῖς ἄπλοκον. Καὶ δὴ καλὴ μὲν καὶ ἡ τῆς πίστεως πρὸς τὰ ἔργα συνέλευσις, καὶ ἡ τῶν ἔργων αὖ πρὸς τὴν πίστιν ἀνάκρασις καὶ ἀνάχυσις, ὡς οὔτε τῆς εὐσεβείας ὠφελούσης μηδὲν, εἰ μὴ καταλλήλοις ζωπυρεῖτο τοῖς ἔργοις, καὶ τῶν πράξεων αὖ νεκρουμένων (1), ἂν μὴ τῇ ὀρθότητι τῶν δογμάτων στείζοιντο· οὐδὲ γάρ ἐστιν, οὐκ ἔστιν, ὅτι μὴ μετ' εὐσεβείας, ἀρετὴν καὶ εἶναι καὶ ὀνομάζεσθαι· οὐχ ἥκιστα δὲ καλὴ καὶ ἡ τῶν ἀρετῶν πρὸς ἀλλήλας συνδρομή τε καὶ σύνθεσις. Ἐπεμέμικτο γὰρ τῇ ἀνδρείᾳ ἡ φρόνησις, χαλινὸς, ὡς ἂν εἴποι τις, καὶ παιδαγωγία, δεξιῶς ἄγαν τὸ πολὺ τῆς κινήσεως ἀνακρούουσα· τὸ δὲ τῆς σωφροσύνης καλὸν κόσμος τῇ φρονήσει συνείπετο, μάλιστα δὲ ταύτης ἐπισφράγισμα καὶ συντήρησις. Ἢ πῶς ἄν τις εὖ λογισμῶν καὶ συνέσεως ἔχων φανήσεται, σωφροσύνῃ μὴ σεμνυνόμενος; Ἀλλ' οὐ μὴν οὐδ' ἐν τούτοις ἂν εἶναι δόξαι (2) τὸ τέλειον, ἂν μὴ καὶ τρόπων εὐθύτης συνομαρτῇ καὶ δίκη ἐφέπηται. Παρῆν γοῦν ἐπὶ πᾶσι καὶ δικαιοσύνη τὸ τέλειον ὁρίζουσα τῷ ἐμῷ βασιλεῖ καὶ τὴν ἀκεραιότητα ἐπιγράφουσα.

Καὶ ταῦτα μὲν, πρὸ μέν σοι ἐκ παιδὸς, μέχει παντὸς διαμένει ἐπιδιδόμενα· νυνὶ δὲ μικρὸν ἄνωθεν ἀρκτέον ἡμῖν ὡς εἰς ἀρχὴν τὸν λόγον ἀναγαγοῦσιν.

Εἶχες μὲν οὕτω σώματος, εἶχες δὲ καὶ ψυχῆς ἀρετῶν, καὶ ὡς οὐκ ἂν ἑτέρως ξυνέβαινε βέλτιον, νέος καὶ ταῦτα τελῶν καὶ ἀπαλώτερα τὰ τοῦ σώ-

(1) Respicit Jacobi verba Ep. c. II, 17 : ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ' ἑαυτήν.

(2) Codex, δόξῃ. Forsan scripserat δόξοι, etiam δόξει : potest enim ἂν ferri vel cum futuro.

ματος περβαλλόμενος· ἐπεὶ δὲ καὶ πραγμάτων ἔδει πρὸς γυμνάσιον κατασῆναι, καὶ πείρᾳ γνῶναι ἅπερ, καὶ περὶ τῆς πείρας, ψυχῆς μεγαλοφυΐᾳ ἐγνώρισας (οὐδὲ γὰρ ἔδει σκάζειν τῇ ἐμπειρίᾳ ἀποχρώντως τὴν ἐκ τῆς γνώσεως ἐπιστήμην πλουτοῦντα, κατὰ τοὺς ἔχοντας μὲν τὸ καθόλου δι' ἐπιστήμης, παραλογιζομένους δὲ τοῖς καθ' ἕκαστα, τῷ μὴ ἐπιστῆσαι τούτοις καὶ διὰ τῆς αἰσθήσεως), ἐν ἀνακτόρεσις διέτριβες, καλῶς εἰς γνῶσιν ἐκείνων ἱκνούμενος, ὧν μετὰ βραχὺ τὴν ἀρχὴν ἐστχειρισθῆναι πρόεισο.

Ἀμέλει τοι καὶ τῶν τοῦ σώματος πρότερημάτων ἐθαύμαζέ σε ὁ θεῖος (1) ἐκεῖνος καὶ βασιλεὺς, οἷς ὡραιότητι μὲν τῶν ὁμηλίκων (2), ἰσχύϊ δὲ καὶ τῶν ὑπερηλίκων ἐκράτεις· ἐθαύμαζε δέ σε καὶ τῶν τῆς ψυχῆς, μάλιστα δὲ τῆς τε συνέσεως καὶ τῆς ἀστχινοίας τῶν λογισμῶν, καθ' ἃς ἐδόκει μὲν ἐκεῖνος τῶν ἄλλων κρατεῖν, ὑπὸ σοῦ δὲ μόνου τῶν πάντων κρατεῖν ἐκωλύετο. Παῖδας γὰρ ἐπὶ τούτοις οὐ μόνον τοὺς κατὰ τὸν αὐτόν σοι χρόνον, ἀλλὰ καὶ τὸν Ὁμηρικὸν ἐδείκνυες γέροντα (3), καὶ εἴ τις ἄλλος ἐπὶ συνέσει διέφερε· καὶ γὰρ παρεῖχες οὐ μόνον νοήματα πρὸς ἔκπληξιν προκαλούμενα, ἀλλὰ καὶ γλῶτταν μόνην τῶν ἁπασῶν τοῖς νοηθεῖσι συμβαίνουσαν, εὔστροφόν τε καὶ λιγυρὰν κατὰ τὸν Ἀρίστωνος Πλάτωνα, καὶ πρὸς οὐδὲν ὀλισθαίνουσαν, ὡς μηδέν' (4) εἶναι παραβάλλεσθαι πρὸς σέ, μηδὲ τοὺς τῆς ποιήσεως δημογέροντας, οὓς καὶ τέτταξιν

(1) Theodora Michaelis uxor neptis erat fratris imperatoris; erat ergo imperator, Joannes Ducas Vatacius, Michaelis θεῖος, id est, patruus, imo propatruus.

(2) Codex, ὁμωλήκων.

(3) Id est, Nestorem.

(4) Codex, μηδήν.

Ὅμηρος (1) εἴκασε διὰ τὸ τῆς φωνῆς λιγυρὸν, δενδρέοις (2) ἐφεζομένοις, ἵνα καθ' Ὅμηρον εἴπω, καὶ ὄπα πέμπουσι λειριόεσσαν.

Καὶ οὐ μόνον οἷς ἐν τοῖς ἀνακτόροις ἐφαίνου ποιῶν ἐπαίνων ὑποθέσεις παρεῖχες καὶ ἀφορμὴν, ἀλλά που καὶ οἷς κατὰ πόλεμον ἐπεδείκνυσο καὶ τούτοις πρὸς θαῦμα διήγειρες, κράτιστος ἢ ὑπὲρ τὸν Θεμιστοκλέα γενόμενος φύσεώς τε δυνάμει καὶ μελέτης βραχύτητι ἀποσχεδιάζειν τὰ δέοντα (3). Ὡς γὰρ οὐ συχνὸς παρέρρυη χρόνος ἢ πόλεμος ἦν ἐπὶ θύραις (4), ἢ τὸν ἀμυνούμενον ἐκάλει τὰ πράγματα, ἢ σὺ μείραξ παρῆς στρατηγῶν τὸ καινότατον (νέον ἄν τις εἶπεν ἐν Μακεδόσιν Ἀλέξανδρον), ἐνταῦθα σκδήλως μᾶλλον ἤπερ τὸ πρότερον τὴν σαυτοῦ φύσιν οἷος ἦσθα τοῖς πᾶσιν ἐγνώρισας. Ἐστρατήγεις μὲν γὰρ ὡς οἷόν τ' ἦν δεξιώτατα, ἢ οὐδὲν ἀπῆν ὅσα τῆς ἀγαθῆς στρατηγίας· ἐμάχου δ' ἐν τοῖς πρόμάχοις, ὡς μόνον ἐπὶ τούτῳ τατλόμενος ἢ μηδὲν φροντίζων περὶ τῶν τάξεων, ἤ, τό γε ἀληθέστατον φάναι, φάλαγγας κατὰ ταυτὸν ἐκόσμεις καὶ παρῆς ἱππεῦσι μαχόμενος, πεζοὺς παρέθηγες εἰς τὴν συμπλοκὴν καὶ πολέμιον ἔβαλλες κατακάρδια, ἢ καθώσπερ παρ' Ὁμήρῳ μανθάνομεν τὸν ἐν θεοῖς μαχιμώτατον νῦν μὲν ἔμπροσθεν ὁρμῶντα τοῦ Ἕκτορος, ἄλλοτε δ' αὖ ὄπισθεν (5) εἰς τὴν τῶν

(1) Homer. Il. Γ, 149 : δημογέροντες...ἀγόρηταὶ Ἐσθλοὶ, πεπήγασιν οἰκόπες, οἵπε καθ' ὕλην Δενδρέῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσιν.

(2) Codex, δενδρίοις.

(3) Exspectabam αὐποσχεδιάζειν, ut est apud Thucyd. I, 138, a Gregorio descriptum : φύσεως δὶ δυνάμει, μελέτης δὶ βραχύτητι, κράτιστος δὶ οὗτος (Themistocles) αὐτοσχεδιάζειν τὰ δέοντα ἐγίνετο.

(4) Matth. XXIV, 33 : ἐγγύς ἐστιν ὅτι θύραις : et ibi Palairet.

(5) Il. E, 595 : Ἄρης...Φοῖτα δ' ἄλλοτε μὲν πρόσθ' Ἕκτορος, ἄλλοτ' ὄπισθεν.

Ἑλλήνων κατάπληξιν, τοιοῦτος ἢ αὐτὸς παρῆς τῷ πολέμῳ, πλερωτὸς ὥσπερ, παντοῖος ὢν ταῖς συμπλοκαῖς καὶ μετὰ πάντων γινόμενος, καὶ ἄλλος Ἄρης μακρῷ τοῦ ποιητικοῦ φοβερώτερος κατὰ τῶν ἐναντίων φερόμενος. Ἔνθα καὶ στρατιώτης, ῥαθύμως ἔχων τῆς συμπλοκῆς, ὢν λήθῃ τῆς ῥαθυμίας, πρὸς σὲ βλέπων, καθίστατο, καὶ ὅλος τῆς μάχης ἐγίνετο, καὶ ὁμόσε κατὰ τῶν πολεμίων ἐφέρετο, καὶ ὁ οἴκοθεν πρόθυμος μᾶλλον διὰ σὲ τὴν προθυμίαν ἐπέτεινεν. Εἰ δέ πού τις καὶ μαχόμενος τετραυμάτιστο, οὐδὲν ἦν αὐτῷ τὸ τραῦμα τοῦ πολεμεῖν ἐμποδών· ἤρκεις γὰρ αὐτὸς, ἀντὶ φαρμάκου παντὸς καὶ ψυχαγωγίας ἁπάσης, ὁρώμενος· τῷ γὰρ οὕτως ἔχοντα προθυμίας βλέπειν πρὸς σὲ πᾶς τις ἑαυτοῦ ῥάων ἐδόκει καὶ πρὸς τὰ δεινὰ ἀκμαιότερος. Φίλον γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τοῖς ἀρχομένοις πρὸς τὴν τοῦ ἄρχοντος ἕξιν μάλιστα διατίθεσθαι, εἴ τε καλῶς, εἴτε καὶ ὡς ἑτέρως φαίνοιτο ἔχουσα (1). Καὶ διετέλεις ὁ πάντα καλὸς τότε μὲν στρατηλὸς, νυνὶ δ' ἐπ' ἀγαθῇ τύχῃ χειλιάνων βασιλεὺς, ἐξ οὗ πρῶτον ἴουλον εἶλκες μέχρι τῆς πρότερα τοῖς κατὰ πόλεμον κινδύνοις καὶ μάχαις παραβαλλόμενος. Καὶ ἄλλοις μὲν κυνηγεσίων ἔμελε (2) καὶ θήρας καὶ τῆς καθ' ἡδονὴν ἱππικῆς, καὶ ὁπόσα περιουσία ῥαστώνης ἐργάζονται ἄνθρωποι· σοὶ δὲ τούτων οὐδέν· ἀγαπητὸν δὲ καὶ εἰ μετ' ἀδείας μετεῖχες τῶν ἀναγκαίων, ἀλλὰ μὴ νύκτας ὅλας διῆγες ἀγρύπνους. Καὶ γὰρ καὶ τοῦτ' ἐφαίνου πάσχων ἢ ποιῶν, ἤ, (οὐκ

(1) Procopius Paneg. Anast. p. 43: φιλεῖ γάρ πως ἀεὶ τὸ ὑπήκοον πρὸς τὴν τῶν ἀρχόντων ἀπεικάζεσθαι γνώμην: ubi Villois. In hanc sententiam multa pag. 65. Adde L. Bosii Specim. anim. Latin. p. 3.

(2) Codex, ἔμελε. Syntaxis est inaccuratior: forsan, ὁπόσων.

ἔχω (1) πῶς εἰπεῖν ἄλλως), ἵνα τὰ μεθ' ἡμέραν σχοίη καλῶς, καὶ ὁ πᾶσιν εἰς ἀνάπαυσιν ἀνειμένος καιρὸς σοὶ καὶ μόνῳ οὐδὲ μίαν ἐδίδου ταῖς φρουτίσιν ἀνάπαυλαν. Ἡμέρας δὲ πρὸς ἀκμὰς ἐχώρεις δοράτων καὶ συνεπλέκου τοῖς πολεμίοις, κἂν τοῖς πρώτοις τῶν κινδυνευόντων ἐτέλεις ἀναστρεφόμενος, τοῦτ' ἀνθ' ἡδονῆς ἁπάσης αἱρούμενος, τὸ μηδένα πολέμιον μήθ' ὅλως εἶναι τῷ ἡμετέρῳ γένει, μήτε μὴν ὀνομάζεσθαι. Ἐπράττετο δέ σοι κατὰ τὰς μάχας αὐτοσχέδιον οὐδέν, οὐδ' ὡς ἔτυχεν ἀπροβούλευτον, γνώμη δέ τις ἀεὶ καὶ προβούλευμα τῶν πραττομένων ἐγίνετο. Ὡς ἔδει γε καὶ νῦν τοὺς στρατοῦ προβεβλημένους ὑπὸ τοιούτῳ στρατηγεῖσθαι τῷ λογισμῷ! ἢ γὰρ ἂν καὶ σφάλλεσθαι μὲν συνέβαινεν οὐδαμῶς, μάλα δὲ δεξιὸν τοῖς δεδογμένοις τὸ πέρας συνέβαινε. Σὺ δὲ, βασιλεῦ, οὕτω πάντα ἐποίεις, καὶ πάντα ῥᾳδίως ἐνίκας, τοίη δέ σοι ἐπιτάῤῥοθος ἦεν Ἀθήνη, Ὅμηρος (2) ἂν εἶπεν, ἡ σὺν τῷ μετεώρῳ καὶ ὑψηλῷ σου νοῦ ὡπλισμένη καὶ δύσμαχος ἀπογεννωμένη φρόνησις. Εἰ δέ που καὶ τύχης βασκανία, οἷα πολλὰ κατ' ἀνθρώπους συμβαίνει, τὸ κατὰ σὲ τῆς νίκης ἐσφέρετο, ῥᾳδίως ἀνέφερες τῶν σφαλμάτων, καὶ πάλιν ἐδόκει μετὰ σοῦ τὸ κρατεῖν. Καὶ τοίνυν, οὕτω στρατηγῶν εὐτυχῶς τε ἅμα καὶ δεξιῶς, δρᾶσαι μέν τι πρὸς γενναιότητα καὶ λίαν ταχεῖς, ὡς βραδυτάτως (3) δὲ παθεῖν ἐποίεις τοὺς ὑπὸ σέ· οἷς γὰρ κράτιστον παρεῖχες σαυτὸν ἐν νοήμασιν, ἐν συμβουλαῖς, ἐν ἐπιχειρήμασι, τούτοις δὴ καὶ τὸ ὑπὸ σὲ στρατιωτικὸν εὐδοκιμοῦν ἐποίεις καὶ δύσμαχον. Ἐξ ὧν

(1) Vide p. 322, n. 3.
(2) Iliad. E, 808.
(3) Forsan, βραδυπάους, concinniore cum παχῆς antithesi.

συνέβαινε τρόπαίων ἐξάπλεσθαι τρόπαια, καὶ νίκαις προλαβούσαις νίκας ἑτέρας προστίθεσθαι.

Καὶ τὰ μὲν δὴ κατὰ πόλεμον τοιοῦτός τε ἄρα ἦν καὶ ἀνδρείας ὑπερβολὴν κατέλιπεν οὐδενί· ἐν ἡσυχίας δὲ καιρῷ καὶ εἰρήνης, ἢ καὶ ὁπότε βουλὰς ἔδει περὶ τοῦ τί ἂν εἴη πρακτέον ἐξενεγκεῖν, παρεχώρει τῶν τινι τῆς γερουσίας ἢ μικρῷ ἢ μείζονι, ἢ ἔλεγε μὲν ὑπὲρ πάντας καὶ κάτω πεσεῖν, τὸ τοῦ λόγου, τὰς ἐκείνων παρεσκεύαζε γνώμας, ἠλέγχετο δὲ μεθ' ὕστερόν ποτε μὴ καλῶς ἔχειν αὐτῷ τὰ βουλεύματα; ἢ πάντα μὲν ταῦτα καλῶς καὶ ὡς οὐκ ἂν εἴποι τις βέλτιον, ἔργοις δὲ τὴν ἑαυτοῦ καλῶς ἔχουσαν βεβαιῶσαι γνώμην αὐτὸς μὲν ἀπώκνει, ἕτερον δ' ἀντ' αὐτοῦ ἐπὶ τῶν ἔργων κατασῆναι ἠξίου; Οὔμενουν, ἀλλὰ τὰ πάντα αὐτός, στρατηγὸς εὐτυχὴς, πολεμιστὴς δεξιὸς, σύμβουλος ἀγαθὸς, τῶν πρακτέων ὑφηγητὴς, τῶν ἔργων ὁ πληρωτὴς, ἑνὶ λόγῳ εἰπεῖν, μόνος ὑπὲρ πάντας σκοπῶν τὰ συνοίσοντα, καὶ μόνος τῶν ἁπάντων ἀξίως τῶν σκεμμάτων τὰ ἔργα δεικνύμενος.

Ἀλλ', ἐπειδήπερ ἱκανῶς εἶχέ σοι τὰ τῆς παρ' ἡμῖν ἀναῤῥήσεως, ἔδει δὲ καὶ περαιτέρω μέχει (1) τῶν πρὸς ἀνίσχοντα ἥλιον παρελθεῖν σε, καὶ δῆλόν σου καὶ τοῖς ἔθνεσι γενέσθαι τὸ ὄνομα, καί γε πρὸς ἐπέκεινα τῆς ἀρετῆς ἐπαινέτην πλουτῆσαι καὶ βάρβαρον, ἵν' οὕτω σοι ἀξιοπιστότερα φαίνηται τὰ ἔργα τῇ μαρτυρίᾳ τῶν ἀλλοτρίων (τὸ γὰρ οἰκεῖον ἅπαν καὶ ὕποπτον, ὡς δεινὸν τῇ ἀληθείᾳ λυμήνασθαι τῇ συγγενείᾳ κλεπτόμενον), τί γίνεται; Ὡς ἐξ ἀρχῆς κινεῖται ταῦτα

(1) Supra μέχει manus altera, eaque recentior, scripsit μεθ', scilicet pro μερῶν: quam vocem, facile ante articulum τῶν cogitatione supplendam, non recipere visum est.

πονηρᾶς τε καὶ ὀλεθρίου, καὶ ἥκιστα τοιούτου τέλους αἰτίας εἶναι πρεπούσης! Φθόνος ἀνάπλεται κατὰ σοῦ παρ' ὧν οὐκ ἔδει· πρᾶγμα ὡς ἀληθῶς ἄτοπον καὶ τοῦ χριστιανῶν γένους ἀνάξιον· πλὴν ἐνταῦθα σοφῶς ἄγαν εἰρῆσθαι δοκεῖ τὸ τοῦ Πλάτωνος, ὡς οὐ δυνατὸν ἀπολέσθαι παντάπασι τὰ κακά, ὄντος ἀναγκαίου ὑπολείπεσθαί τι τῆς ἐναντίας μοίρας τροφὴν τῷ ἀγαθῷ· ἀλλὰ καὶ, τὸ τῆς (1) παρημίας, φύεσθαι καὶ ἐν ἀμπέλῳ βάτον ἠκούσαμεν. Οὐκοῦν καινόν τι, εἰ καὶ παρ' ἡμῖν ἐνταῦθα χώραν ἔσχε τὸ πάθος, καὶ ὁ φθόνος ὡς ἐκτόπως δεινὸς καὶ ὑψηλὴν αἴρων τὴν φλόγα, ὕλην ὡσανεὶ λιπαρὰν καὶ ὑπέκκαυμα τὰς σὰς ποιούμενος ἀρετάς. Καὶ οὔπω γε τοῦτο δεινὸν, καίπερ λίαν ὑπάρχον δεινὸν, ἀλλὰ καὶ τὰς γλώττας αὐτὰς ὡς ῥομφαίας ἐντεῦθεν κατὰ σοῦ τρομοῦσιν οἱ πονηροὶ (2), καὶ βουλὴν βουλεύουσιν, ἀλλ' οὐ συνε-

(1) Addidi τὸ, quod aderit infra. Modo, τὸ τοῦ λόγου. Non potest abesse articulus. Jam notavi ad Syntipam et alibi quam facile qui libros describebant et nunc describunt, voculas calamo volante prætereant. Phile in anum libidinosam v. 97 : Πολλοὶ κολασμῶν διάφοροι τρόποι : versus est brevior omissione copulæ καὶ ante διάφοροι. Heliodorus Æth. I, 2 : καὶ πρευθύνεις ἐγγύθεν : codex Venet. 409, κ. προ. οὖν ἐγγ. Idem I, 3 : αὐτὶ μὲν δέκα τὸν ἀριθμὸν ὄντες : cod. idem, αὐτ. μ. εἰς δέκα ....II, 17 : καὶ ταῦτα ἕως ἕξεσι : cod. κ. τ. μὲν ἕως ἕξ. Sed magis e re præsenti erit Gregorio illi quem nunc edo prodesse. Legitur igitur in maris Encomio p. 9 : τὰ μὲν πόνου ἄλλα τῶν ζώων, πρὸς τῷ ὑγροῦ μετέχειν, ἔστιν ὅ καὶ τῶν ἄλλων πρώτων σωμάτων μετέχει : rescribo e codd. 2629 et 3010, τῷ τοῦ ὑγροῦ. Ibid. pag. 10 : ἀναπαῦται τὸ ὕδωρ τοῖς ζώοις τὰ σώματα, τοῦτο μὲν πίνουσι, τοῦτο δὲ λουομένοις : rescr. e codd. τοῦτο δὲ καὶ λ. Ibid. p. 11 : οὐ γάρ τοι συνήθεμαι οἷς τῶν πάλαι ὕπως ἐδόκει : rescr. e codd. πάλαι ταῦθ' οὕτ. Ibid. p. 13 : μηδ' ἔσθ' ὅτι παρὰ τὴν θάλασσαν ἱκανῶς τοῖς κινδύνοις παραμένειν καὶ ἀναπίσει ὡς εὐψύχως φέρειν τὰ δεινόταλα : insere e codd. διδάξει post παραμένειν.

(2) Psalm. LXIII, 3 : ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν.

τὴν (1), καλῶς (2) Ἡσαΐας αὐτὸς καὶ Δαυὶδ ἐσηλίτευσαν· ἔνθα καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτὴν (3), τὸ τῆς θείας καὶ αὖθις φάναι γραφῆς, καὶ ὁ κάκιστ' ἀπολούμενος φθόνος ἀνδρὸς ἀμώμου οὐχ ὑπερίσχυσεν. Οὐ γὰρ ἔμελλε μέχρι παντὸς ἀνασχέσθαι Θεὸς, οὐδὲ παραχωρῆσαι τῇ πονηρίᾳ ἐς ἅπαν παῤῥησιάζεσθαι, ἵνα μὴ ἀπρεπόντα φέρεσθαι δόξῃ τὰ καθ' ἡμᾶς κατὰ τοὺς ἐξ αὐτομάτου τὰ πάντα γεννῶντας, καὶ κακίαν δίκαιοι μεταμάθωσι.

Περσὶς δὲ λοιπὸν ἔσχε σε (4), νεύσει τοῦ κρείττονος τὴν ἐπιβουλὴν διαδράντα, καὶ ἡ βάρβαρος γῆ (ἴστε δὲ πάντες ὃ λέγω καὶ τοῦ διδάξοντος οὐκ ἀνέχεσθε), καὶ αὕτη καλῶς ἔσωζε τὸν φύσει πολέμιον. Θεμιστοκλῆν εἶπεν ἄν τις ἕτερον παρὰ Πέρσαις, ἢ, μάλιστά γε οἰκειότερον, παρὰ Σκύθαις Ἀστέρα, τὸ τῆς παροιμίας. Ἀλλ' οὐδ' ἐνταῦθα γενόμενος τῶν συνήθων ἠμέλεις, οὐδ' ἤδεις κρύπτειν τὸ φρόνημα καὶ συστέλλειν τὰ ἔργα, καὶ σχῆμα φαυλότερον δεικνύναι, καὶ τὸ ἀσθενὲς ὑποκρίνεσθαι· οὐδὲ γὰρ μέχρι μιμήσεως τὸ ἀγεννὲς ἐφιλεῖτό σοι· ἀλλὰ καὶ ταύτης (5) ἀπανταχῇ ἀνέστησας τρόπαια, καὶ παρέσχες εὐδαιμονῆσαι τοῖς Πέρσαις, καὶ τοὺς πρηστῆρων δίκην ἐπιόντας Μασσαγέτας ἐφόβησας (6), καὶ οὐδενὸς οὐδέποτε τὸ μέχρι σοῦ

(1) Isai. XXXII, 7, 8 : ἡ γὰρ βουλὴ τῶν πονηρῶν ἄνομα βουλεύσεται.... οἱ δὲ εὐσεβεῖς συνετὰ ἐβουλεύσαντο.

(2) Forsan, καθώς.

(3) Psalm. XXVI, 12, ubi ἑαυτῇ.

(4) Fugisse Michaelem ad Iconii Sultanum, sibi a Theodoro Lascari imperatore metuentem, quem malevoli et invidiosi inimici adversus se inflammabant, narratur a Nicephoro Gregora, Hist. III, 2.

(5) Ταύτης referendum ad superiora, ἡ βάρβαρος γῆ.

(6) Eo ipso tempore quo ad Sultanum Michael proficiscebatur, Tartari, quos Massagetas

ἀναντιωθέντος αὐτοῖς, αὐτός τε στρατηγίας μείζονι ἐπιστήμῃ καὶ ἀνδρείας ὑπερβολῇ κατὰ πρόσωπον ἔστης, καὶ ἀνδρικῶς ἠγωνίσω, καὶ κράτιστα δὴ πάντων ἀνθρώπων τὴν ὁρμὴν ἐκείνων ἀνέκοψας. Καὶ οὕτω λοιπὸν ἡ πατρὶς, οὕτω δὲ καὶ ἡ ἀλλοδαπὴ, ἔσχον ἀπολαῦσαί σου τῶν καλῶν, καὶ ἦν σχεδὸν οὐδεὶς ὅστις ἀνθρώπων ἁπάντων τῆς σῆς φήμης ἀνήκοος. Πρὸς ταῦτα καὶ Μιλτιάδην τὸν ἐν Μαραθῶνι παρῆλθες τοῖς ἔργοις, καὶ Θεμιστοκλῆν καὶ Κίμωνα καὶ Περικλῆν, τοὺς καθ' ὅ τι ἂν εἴποι τις διαβεβοημένους, συνέσει τε καὶ ἀνδρείᾳ, καὶ καρτερίᾳ ψυχῆς, μακρῷ τῷ μέσῳ παρέδραμες (1), καὶ τὸν ἐν Πύλῳ καὶ Σφακτηρίᾳ κατὰ Λακεδαιμονίων ἀριστεύσαντα Δημοσθένην (2) σὺ καλῶς ἀριστεύων ἀπέκρυψας. Παυσανίας δὲ ὁ Λακεδαιμόνιος (καὶ τούτου μάχαι κατορθούμεναι τὰ γνωρίσματα καὶ πόλεις ἁλισκόμεναι τόσαι καὶ τόσαι, καὶ Περσῶν ὑποχωροῦσα δύναμις, καὶ θυμὸς καὶ φρόνημα (3) τῆς Σπάρτης ἀπόζοντα), ἀλλὰ καὶ οὗτος παῖς παραβάλλειν πρὸς σέ. Βρασίδαν δὲ τὸν Σπαρτιάτην μέγαν οἶδε καὶ αὐτὸν ἡ συγγραφὴ Θουκυδίδου, καὶ Ἀμφιπολίταις δι' ἀρετὴν Ἀγνωνος προτετιμημένον τοῦ οἰκιστοῦ (4)· οὐ μέντοι γε καὶ μεγάλα λέγειν ἐξὸν τὰ

vocat, Nicephorus Scythas, in Phrygiam cum magno exercitu irruebant. Selectam suorum manum Michaeli Sultanus parere jussit. — Vide Niceph. l. c.

(1) Geoponicorum compilator Constantino Porphyrogenneto simili modo adulatur, longe superiorem eum esse declarans Constantino illo Magno, ὅν, ait, πολλῷ τῷ μέσῳ παρήλασας. Vide p. 168, n. 3, et infra p. 340.

(2) Res nota e Thucydide ac Diodoro.—Cf. Liban. t. I, p. 617.

(3) Codex, φρόνιμα.

(4) Vide Thucyd. IV, c. 102. Aristides t. I, pag. 151: Ἀμφιπολῖται μὲν Βρασίδᾳ θύειν ἠξίουν ὡς ἥρωϊ καὶ οἰκιστῇ, ὅτι αὐτοὺς Ἀθηναίων ἀπέστησεν.

ἐκείνου, εἰς μνήμην ἐρχομένων τῶν σῶν. Σκηπίωνας καὶ Ἀννίβας καὶ τοὺς Ἐπαμεινώνδας (1), καλοὶ, φησὶν ὁ λόγος, καὶ οὗτοι γεγόνασιν ἄνδρες καὶ στρατηγεῖν δεξιοί· πολὺν καὶ τὰ τούτων μέχρι σοῦ θαυμαστά· ἐπειδήπερ ἠγάπων ἄν, εἰ ἔτι μετὰ τῶν ζώντων ἐτέλουν, καὶ εἰ μὴ πολλῷ σου κατόπιν βαδίζουσιν. Οὕτω καὶ συνετοὺς καὶ ἀνδρείους ἀπέκρυψας, καὶ κατὰ τῆς ἀρετῆς ἁπάντων ἤγειρας τρόπαιον· τοσοῦτον ἡμῖν τὰ δεύτερα τῶν πρώτων ὁ χρόνος βελτίω ἐξήνεγκε (2).

Καὶ ταῦτα μέντοι μάλα σοι προσήκοντα τῆς βασιλείας προοίμια, κἀκ τῶν ἔργων πρέπουσα μαρτυρία μὴ ἂν ἀναξίως ἐπιβῆναί σε τῆς ἀρχῆς.

Ἐπεὶ δέ σε τὸ γέρας πρὸς Θεοῦ τῶν τοσούτων καὶ τηλικούτων ἔδει λαβεῖν, καὶ Ῥωμαίοις διὰ σοῦ ἐπανασωθῆναι τὰ πράγματα (καὶ γὰρ φαίνεταί σοι δι' ἀμφότερα ἡ βασιλεία χορηγηθεῖσα, καὶ ὡς ἆθλον τῆς ἀρετῆς, καὶ ὡς εὐεργεσία παντὸς τοῦ λαοῦ), γίνεταί τι ὡς λίαν ἐξαίρετον καὶ θαυμάσιον καὶ ὡς ἀληθῶς ἔργον Θεοῦ. Παρῆλθεν ὁ τοῦ φθόνου χειμὼν (3), ὁ καιρὸς ἐκεῖνος τῆς βασκανίας· καὶ σὺ κινούμενος ἄνωθεν (4) σχολαιοτέρᾳ τῇ βαδίσει (5) ἐνδημεῖς πρὸς ἡμᾶς, ἔαρ προφαίνων σωτήριον, καὶ σηρίζεις παρ' ἡμῖν ἐνταῦθα, οὓς ἔμελλες ὅσον οὔπω ταῖς εἰληθερήσεσι τεθηλότας καὶ γονίμους ἐργάσασθαι. Καὶ δή σε μετὰ τοιαύτης τῆς ἐνεργείας ἅμα καὶ τῆς χάριτος ἐπιδεδημηκότα ἐκστρατίαι πάλιν καὶ πόλεμοι πάλιν εἶχον

(1) Sic codex, loco forsan integro, quum possit esse prepositionis ellipsis.

(2) Ex Aristide t. I, p. 153.

(3) Innuitur simultatum inter Michaelem et imperatorem finis. Vide Niceph. Greg. III, 2, 3.

(4) Ex Phrygia scilicet.

(5) Nota in margine : γρ. τῇ βάσει.

παρ' αὐτοῖς, καὶ πάλιν νίκαις ἐκόσμεις τὰ καθ' ἡμᾶς. Οὐδὲ γὰρ ἦν καιρὸς ὅτε τούτων ἡσύχαζες· ἀλλ', ὥσπερ τῇ σῇ φύσει κεκληρωμένον τὸ ὁμιλεῖν ἀεὶ τοῖς δεινοῖς καὶ διὰ βίου τοῖς κινδύνοις παρεξετάζεσθαι παρ' ἡμῖν, παρὰ βαρβάροις, παρ' ὁσοισδήποτε τύχοις ἀνθρώπων, τὰ τῆς μάχης συνήντα σοι, καὶ, τὸ παράδοξον, ὅπερ τυχαίως συμβαίνειν εἰώθει τοῖς ἄλλοις (οὐ γὰρ ἀεὶ κινδυνεύουσιν ἄνθρωποι), τοῦτό σοι διὰ παντὸς ἐξεγένετο καὶ οὐκ ἀσυμφερόντως, ἐμοὶ δοκεῖν, οὐδ' ἔξω προνοίας καὶ προμηθείας τῆς διοικούσης τὸ πᾶν (1). Ἔδει γὰρ, ἔδει σε πάντως πολλοῖς πρότερον ὁμιλήσαντα τοῖς χωνευτηρίοις, οὕτω δόκιμόν τε φανῆναι καὶ ὑπὲρ τὸν ἀκίβδηλον λάμψαι χρυσόν.

Τοιγαροῦν καὶ οὕτω πως ἐχόντων τῶν περὶ σὲ, λειτουργεῖ τὰ ὀφειλόμενα τῇ γενέσει (2), καὶ μεθίσταται τῶν ῥεόντων, ὁ κατ' ἐκεῖνο καιροῦ ἐπὶ τοῦ θρόνου τῆς ἀρχῆς καθεζόμενος (3). Εἰς τοῦτο δὲ τύχης τὸν λαὸν ἀφιγμένον, καὶ τοῦ δημαγωγοῦ παρελθόντος, ἔδει πάντως ἐπισκοπῇ ἐπεσκέφθαι ἐξ ὕψους καὶ πρὸς βελτίω γενέσθαι κατάστασιν. Καὶ δὴ οὐ μέλλει πρὸς τὴν χρείαν, οὐδ' ἀναβάλλεται ὁ πάντ' ἐφορῶν· ταχύνας δὲ, ποιεῖται διὰ σοῦ τὴν ἐπισκοπὴν, καὶ ἐπισκέπτεται οὓς ἔδει ἐπισκοπῇ θειοτέρᾳ, ὡς τοὺς τῷ πηλῷ καὶ τῇ πλινθείᾳ (4) ταλαιπωροῦντας διὰ Μωσέως, ὡς τοὺς αὐτοὺς τούτους δι' Ἰησοῦ ἔξω τῆς ἁγίας διατείβοντας γῆς, ὡς διὰ Δαυὶδ τὸν Ἰσραὴλ

(1) Aristid. t. 1, p. 107: ἡ τὰ πάντα διοικοῦσα πρόνοια καὶ διαπάσσα.

(2) Cf. supra p. 268, n. 3. Photius, Epist. 245 p. 374: θνητὸς ὢν τὴν φύσιν ἄνθρωπος τῷ θανάτῳ ἐλειτούργησεν: quod est simillimum.

(3) Theodorus Lascaris.

(4) Exod. 1, 14: καὶ κατωδύνων αὐτῶν τὴν ζωὴν ἐν πᾶσι ἔργοις πᾶσι σκληροῖς τῷ πηλῷ καὶ τῇ πλινθείᾳ.

ὑπὸ τῶν ἀλλοφύλων καλούμενον, καὶ βασιλεύει σε, καὶ χείει σου τὴν κεφαλὴν ἀγαλλιάσεως ἐλαίῳ παρὰ πάντας ἀνθρώπων υἱοὺς τοὺς τῆς αὐτῆς μετασχόντας φύσεως (1), καὶ σωτῆρα Ῥωμαίων καὶ ῥύστην καὶ κηδεμόνα, καὶ εἴ τι τούτου σωτηριωδέστερον ὄνομα, σὲ, βασιλεῦ, ἀναδείκνυσιν, ἔργοις αὐτοῖς τὴν ἐπωνυμίαν κυρώσας σοι.

Αὕτη τοίνυν ἡμῖν πρώτη πόλεων εὐημερία καὶ κατάστασις πραγμάτων καὶ βίου παντὸς πρὸς τὸ βέλτιον μεταποίησις· ἐντεῦθεν κρηπὶς κατεβλήθη τῆς ἡμετέρας εὐδαιμονίας (2). Τοῦτο γεγονὸς τὴν καθ' ἡμῶν στρατευομένην Τύχην, ὥσπερ χειμάρρου φορὰν, ἀνεχαίτισεν. Ἐφάνης γὰρ ὁ μόνος ἱκανὸς ἀντιβῆναι τοῖς δυστυχήμασι, καὶ λόγος ὑπῆρχε τῶν λυπούντων οὐδείς (3). Ἀνέσχες, ὦ μέγα φωσφόρε, καὶ τὰ τῶν ἐχθρῶν νέφη, ἅπερ συνίστατο καθ' ἡμῶν, διελύθη τε παραχρῆμα, κ᾽ οὐδ' εἰ τὴν ἀρχὴν συνέστη γινώσκεται. Οὕτω κοινὴ δόξα Ῥωμαίοις ἡ σὴ δόξα γεγένηται, οὕτω καὶ τῆς σῆς τύχης καλῶς τὰ πάντα ἀπήλαυσε.

Καὶ δὴ λαμπρὰ μέν σου καὶ ὅσα τις ἔχει λέγειν περὶ τῆς ἀρχῆς· πολλῷ δὲ καλλίω κ᾽ περιφανέστερα κ᾽ λόγον ὐδένα λείποντα ὑπερβολῆς, τὰ μετὰ τὴν ἀρχήν.

(1) Auctor Epist. ad Hebr. 1, 9 : διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Notandum Gregorium, scriptorem accuratum et doctum, respuisse pravam syntaxin χείσαι ἔλαιον, et dativo legitimo esse usum.

(2) Procopius Paneg. Anastas. pag. 32 : αὕτη τῆς ἡμετέρας εὐδαιμονίας ἀρχὴ κ᾽ κατάστασις πρώτη. Villoisonus sic κατάστασις scripsit pro mutila codicis sui lectione κατάσα. Noster locus, cujus e Procopianis color ductus est, Villoisonum tuebitur.

(3) Procopius statim : ὀπῦθεν ἀκμάζει τὰ καθ' ἡμᾶς καὶ μεταβέβληται, καὶ τῶν λυπούντων λόγος οὐδείς.

Τίνα δὲ λέγω τὰ περὶ τῆς ἀρχῆς; τὰ σεμνὰ στρατηγήματα, τὰ κατὰ τῶν ἐχθρῶν ἀγωνίσματα, τὰς περιφανεῖς νίκας, τὰ πίδοξα τρόπαια, τἄλλα ὅσα καὶ οἷα διαπέπραξαι ἀγωνιζόμενος, βουλευόμενος, ἐν νυκτὶ, ἐν ἡμέρᾳ, ἐν χρόνῳ παντὶ καὶ τόπῳ. Ἀλλ', ἐπεὶ κατέστης ἐπὶ τῶν σπήπτρων, τοσοῦτον ὑπερηκόντισας (πῶς ἂν εἴποιμι εὐπρεπῶς;), ὅσον μοναρχοῦντος καὶ στρατηγοῦ τὸ διάφορον (1)· οὐ γὰρ ἔφερες, εἰς τὸ μέγιστον τῆς τιμῆς ἀνηγμένος ὑπὸ Θεοῦ, καὶ ὄνομα εἰληφὼς τὸ ὑπὲρ πᾶν ἐν ἀνθρώποις ὄνομα, μὴ πολλῷ τῷ μέσῳ (2) τὰ πρώην παρενεγκεῖν, καὶ, καταλλήλως τῷ ἀξιώματι, τοῖς πλεονεκτήμασιν ἐπιδοῦναι, ὥστε μὴ ἐλάττω φαίνεσθαι ταῦτα παρέχειν τοῦ σχήματος. Οὐκοῦν καλὸν ἂν εἴη καὶ λίαν πρόσηκον μικρὸν ὅσον καὶ τούτων ἐφάψασθαι, καὶ τοῖς κοινοῖς ἡμῶν εὐτυχήμασι πρὸς τοσοῦτον εὐωχηθῆναι, ὅσον ὁ παρὼν ἡμῖν παραθήσεται λόγος, εἰ δὲ μὴ τὰ μείζω καὶ τελειότερα παραθεῖναι δυνήσεται. Οὐδὲ γὰρ, οὐ τοῦτο καθυπισχνεῖται (νεμεσάτω μηδείς), ἐπεί τοί γε οὐ μόνον κατὰ μίαν ἐρχομένας τὰς ἁπάντων φωνὰς οἶδεν ὑπερβαίνειν τὰ τοῦ βασιλέως· ἀλλ' οὐδ', εἰ πᾶσαι συνῆλθον εἰς ταυτὸν ὡς ἀπὸ συνθήματος, εἶπον ἂν ὥστε τὴν ἀξίαν σῶσαι· ὃ καὶ τοῦτο παντὸς θαύματος ἄξιον, μηδὲ δύνασθαι λέγειν τῇ γλώττῃ ἅπερ τοῖς ἔργοις αὐτὸς πράττων διωμολόγηται. Καὶ τεκμήριον τοῦ λόγου· πολλοὶ μὲν περὶ τούτων καὶ πρώην εἰσὶν εἰ-

(1) Videtur nomen deesse, quod fuerit verbi ὑπερηκόντισας regimen. Illustravi τὸ ὑπερακοντίζειν ad Plan. Metam. pag. 149: adde Matthæium ad Joan. Chrysostomi Homil. IV, tom. I, p. 46.

(2) Cf. supra pag. 336. Libanius de Juliano t. I, pag. 526: πολὺ πῆς ἄλλοις πρὸς αὐτὸν ἐποίει τὸ μέσον.

πόντες, καὶ νῦν ἄνδρες καλοὶ κἀγαθοὶ καὶ περὶ τὸ λέγειν δεινοί· οὐδεὶς δ' ὅμως εἰς τέλος τῶν προκειμένων ἐξίκετο. Μάλιστα μὲν οὖν ἀπεχρήσαντο τοῖς λόγοις ὡς ἐνῆν προσηκόντως, καὶ διὰ πάσης ἦλθον τῆς ἀκριβείας, ὅσον ἀνθρώπων δύναμις τέταται, πληρῶσαι δὲ τὴν ἀξίαν οὐδεὶς οὐδέπω δυνατὸς κατεφάνη, ὑπερκειμένων ἀεὶ τῶν πραγμάτων καὶ τοὺς λόγους χαμαὶ βαίνειν ἐώντων. Ὅσον γὰρ ἐκεῖνα δυσέφικτα, τοσοῦτον καὶ τῷ λέγοντι τὸ ἀσθενὲς περιγίνεται. Χωρὶς δὲ τούτων, ὦ θεῖος τῶν παρεστώτων χορὸς, μικρὰ μὲν ὅταν εἴπω (1) τὰ ῥηθησόμενα, συγκρίνων αὐτὰ πρὸς τὴν ὅλην θάλασσαν τῶν καλῶν, λέγω μικρά· ἐπεὶ καὶ ταῦτ', εἰ καθ' αὑτὰ θεωρεῖτο, μεγάλα τέ ἐστι, καὶ μέρος τούτων βραχὺ, μὴ ὅτι γε τὰ πάντα συνηθροισμένα, καὶ τοῦ μάλιστα φιλοτιμουμένου ἤρκεσεν ἂν εἰς ἔπαινον ἐντελῆ· ὥστ' οὐχ, ὅπως ἀκουσμάτων ἐνδεῶς ἔχοιτε, τοῦτ' ἐγὼ δέδοικα (μὴ τοῦτο νομίσῃ τις), μάλιστα δ' ὅπως μὴ, μετ' ἐκπλήξεως ἱλιγιάσαντες, ἀπίητε ναυτιασμῷ κατειλημμένοι καὶ ταραχῇ.

Σὺ μὲν οὖν, θειότατε βασιλεῦ, ὡς μετὰ τοιαύτης καὶ τοσαύτης τῆς χάριτος σεμνὸς σεμνῶς πρὸς τήνδε τὴν βασίλειον ἀνέδραμες σκοπιὰν, καὶ διεξώσω τὴν ἀρχὴν, τὴν οὐχ ἥττον διὰ σὲ ζηλωτὴν ἢ τῷ εἶναι ἀρχὴν, οὐκ ἠνήθης δεῖν ἐνταῦθά τε σιῆναι τῶν πόνων καὶ τῇ ἐξουσίᾳ εἰς ῥαστώνης ὑπόθεσιν χρήσασθαι, παρὰ (2) δὲ τῶν ἐνόντων μήθ' ὁδεῦσαι μήτε μὴν προθυμηθῆναι· ἀγεννοῦς γὰρ ταῦτα καὶ ψυχῆς ὑπέλαβες καὶ φρονήματος· ἀλλ' ἐκ προοιμίων μάλα βασιλικῶς δια-

(1) Respicit quod dixit p. 340. (2) Forsan, πέρα.

σκεψάμενος, ποιεῖς ἔργον τῆς σῆς σοφίας τῷ ὄντι καὶ τῆς ἄνωθεν χάριτος, ὃ καὶ βασιλεῖ (1) παντὸς πράττειν ἁρμοδιώτατον· ὑψοῦ γὰρ τὸ τῆς ψυχῆς ὄμμα διάρας, καὶ πᾶσαν ὅσην οἱ τῆς Ῥωμαίων ἡγεμονίας περιγράφουσι κύκλοι ἀκριβῶς, ὡς οἷόν τ' ἦν, περιειληφὼς, οὐκ ἠγάπησας τούτοις οὐδ' εἶπας μέχρι τούτων ἐπεκτείνεσθαί σου τὴν κληρουχίαν, ἀσπαζόμενος καὶ τοῦτο, κατὰ τοὺς πολλοὺς τῶν ἐπειλημμένων ἀρχῆς, εἰ μὴ ἔτι τὰ πέρξ σιενοῖντο τοῖς ἔθνεσιν· ἀλλ', εἰ μὴ ἐπὶ πλεῖστον ὅσον ἐπεκτείναιο καὶ κατὰ τῶν ἀρχῆς ἐπεξίοις (2) ἐπηρεασιῶν, δεινὸν καὶ πέρα δεινῶν εἶναι νενόμικας.

Ἔνθεν τοι καὶ βλέπεις Πελοπόννησον (3), βλέπεις Βοιωτίαν, τὴν Εὔβοιαν σκείνην, τὴν Ἀτλικὴν, τὴν ἀρχαίαν Ἑλλάδα· σκεῖθεν ἐπὶ τὰ τῶν Μυσῶν μετατίθης (4) τὸ ὄμμα· ἔγνως εἶναί τι τῶν ἡμετέρων καὶ παρ' σκείνοις. Τρέπεις πάλιν ἔνθεν ἐπὶ τὴν Ἀσίαν τοὺς ὀφθαλμούς· ὁρᾷς τοὺς ἐξ Ἰσμαὴλ ἐμβεβεθίσιατα ἐπικειμένους καὶ μάλα τὸν νέον συνθλίβοντας Ἰσραήλ· πόλιν δὲ ταύτην (ἀλλ' ἀμφίβολον εἰ καὶ πόλιν ἔδει ὀνομάζειν τῷ τότε) τὴν Σκυθῶν ἐρημίαν (5) ἐμφαίνουσαν, καὶ ταύτην ἔγνως ὡς εἶχε, καὶ ἰδὼν ἤλγησας ἀναλογιζόμενος εἰς οἷον τέλος κατήντησε τὰ ἡμέτερα, καὶ ὡς ἐγεννήθημεν τέρας τοῖς πολλοῖς, μυκτηρισμὸς

(1) Codex, βασιλῖ.
(2) Codex, ἐπιξίης.
(3) Codex cum unico ν.
(4) Codex, μιταπίθις. Meminit Homeri Il. N, 3 : αὐτὰς δὲ πάλιν τρέπεν ὄσσε φαείνω Νόσφιν ἐφ' ἱπποπόλων Θρηκῶν καθορώμενος αἶαν, Μυσῶν τ' ἀγχεμάχων. Quam innuat Michaelis expeditionem non bene comperi. Ceterum Mysi Byzantinis sunt plerumque Bulgari.
(5) Notum vel ex Apostolio proverbium. Vide Elmsley. ad Aristoph. Acharn. 704. Constantinopolis tunc erat a Latinis occupata.

τοῖς κύκλῳ ἡμῶν, καὶ παραβολὴ ἐν τοῖς ἔθνεσιν. Ἔνθεν τοι καὶ οὐκ ἀνεβάλου τὴν ἄμυναν, τῶν ἐναντιωθησομένων αὐτίκα ὑφορώμενος τὰς πληθύς, οὐδ' ἔφερες ἐπὶ πλέον τὰ τῆς σαυτοῦ κληρονομίας ὑφ' ἑτέρων ὁρᾶν κατεχόμενα, κἂν ὅτι μάλιστα οὕτως ἔχειν ὁ καιρὸς κατηνάγκαζεν, Θεῷ δὲ πιθήσας (1), καὶ ἅμα ὡς οὐ τοσοῦτον τοῖς πλήθεσιν, ὅσῳ φρονήματι καὶ καρτερίᾳ ψυχῆς, τὰ πλείω κρίνεται τῶν πραγμάτων διανοηθεὶς, κατὰ πάντων ἐξέπεμπες τὰς δυνάμεις καὶ κοινὸν ἀνερρίπισας πόλεμον, τεία τὰ κάλλιστα πᾶσιν ἀνθρώποις ἐντεῦθεν παραδεικνὺς, τὸ πειὸν τῆς σοφίας, τὸ τῆς ἀνδρείας μέγεθος, καὶ, ὃ πάντων τῶν ἄλλων ἐπέκεινα, τὸ ἀσφαλὲς τῆς πρὸς Θεὸν πεποιθήσεως. Ἀλλ' ὅσας μέντοι πόλεων παρεσίησω τοὐντεῦθεν, τὰς μὲν ἄρεος νόμῳ, τὰς δὲ καὶ πρεσπεσούσας αὐτίκα, ὡς ἐκάθηρας τὴν τοῦ Πέλοπος, ὡς πρόσεποιήσω τὴν Λακωνικὴν, καὶ τῆς Ἀχαΐας ἐκράτησας, Ἰταλοὺς δὲ τὰ φρούρια, ὡς πλῶκας τὰς πέτρας, ὑπελθεῖν παρεσκεύασας, λεγόντων ἕτεροι καὶ ὑμνούντων, ὁπόσοι καὶ γλῶτταν ἱκανοὶ, ὁπόσοις καὶ τὸ λέγειν ἐπέκεινα τῶν ἄλλων δεδώρηται· ἐμοὶ δὲ πρὸς τοσοῦτον πραγμάτων διανήξασθαι πέλαγος, βραχὺ καὶ ταῦτα περιφερομένῳ τοῦ λόγου ἀκάτιον, περιφανῶς αὔθαδές τε δοκεῖ καὶ ἔργον γέμον θρασύτητος. Πλὴν ἐκεῖθεν ἡμῖν εὐφροσύνης ἡμέρα καὶ πανήγυρις ἅπας ὁ βίος, καὶ διαμένει μέχρι τῆς δεῦρο αὐξόμενα τὰ ἡμέτερα, τὰ δὲ τῶν βαρβάρων εἰς ἀνάρρουν χωρεῖ, καὶ ἀκμάζει τὰ κατ' ἐκείνων δεινά·

(1) Sic codex. Scripsit, puto, πιποιθήσας auctor, ni voluerit poetice loqui, quod nunc intempestivum.

διὸ καὶ σπεύδουσιν ὡς ἂν νυκτὶ διάγειν τὸν βίον, μὴ ἔχοντες πρὸς τὰς σὰς ἀντοφθαλμίζειν φαιδρότητας· θῆρας ἂν εἴποι τις ἀνημέρους, μὴ φέροντας ὁρᾶν τὴν ἡμέραν αὐγάζουσαν, πρὸς δὲ τὰ βάθη τῆς ὕλης καὶ τὰς καταδύσεις ἐπειγομένους.

Καὶ γνοίη δ' ἄν τις τὸ ἀληθὲς, μόνον εἰ προσέχοι τὸν νοῦν. Πέρσαι, Λατῖνοι, Μυσοὶ, πρὸς τούτοις καὶ Σκύθαι, καὶ ὅσα τῶν ἐθνῶν μαχιμώτατα, ὁτὲ μὲν ἰδίᾳ ἕκαστον ἔθνος, ἦν ὅτε καὶ οἱ πάντες ἀθρόον ἐξ ἀνατολῶν, ἐκ δυσμῶν, ἐκ γῆς, ἐκ θαλάττης, ἐκ παντὸς μέρους, προσβάλλοντες, κατὰ πολλὴν ἄδειαν τὴν ἡμετέραν κατέτρεχον, καὶ, ὥσπερ πλημή τις δυσίατος, ταύτῃ ἐνέκειντο λυμαινόμενοι· τὸ δὲ κακὸν ἐπιμένον, τῷ χρόνῳ καὶ κραταιούμενον, τάχα, εἰ μὴ ἔσῃσας σὺ τοῦτο ἰσχὺν εἰληφὼς ἐκ Θεοῦ, ἐς ἔσχατον ἂν ἀφανισμοῦ παρήλασε τὰ ἡμέτερα. Ἀλλ' ἦν μέχρι τῆς σῆς ἀναδείξεως ταῦτα, καὶ ἡ νόσος μέχρι τότε (1) κρατοῦσα ἐφαίνετο. Ἐπεὶ δὲ ἀνέσχες, καὶ πρησίῃρας μάλα φοβερὸς ἀπανταχόσε ἠφίεις, οὔτ' ἔσχον ἄντην ἰδεῖν, καὶ ἡ ὑπόσασις αὐτῶν πρὸ προσώπου σου καλάμη τις ἦν πρὸς σπινθῆρα ἢ ἄνεμον (2). Τὴν δὲ σεμνὴν ταύτην πόλιν τὴν βασιλεύουσαν, καὶ ταύτην (ἀλλὰ δίκαιον ἂν εἴη μικρὸν ἀναχωρήσαντα περὶ ταύτης εἰπεῖν· ἐντεῦθεν γὰρ ἔσται κατιδεῖν ἐναργέστερον ὡς δαψιλέστερα τῷ ἡμετέρῳ βασιλεῖ τὰ τῆς ἄνωθεν ἥκει ῥοπῆς, ἀνθ' οὗ καὶ τὰ μεγάλα δρᾶσαι

(1) Codex, μέχρι πω πόπ. Videbatur πω natum e prima syllaba adverbii πόπ. Forsan et legendum, μέχρι πῦ πόπ. Confer Schæfer. ad Long. p. 410.

(2) Respicere potuit Psalm. LXXXII, 13: ὁ Θεός μου θοῦ αὐτοὺς ὡς τροχὸν, ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου. Est etiam ὑπόσασις αὐτῶν loquutio in Bibliis frequens.

ὡς ῥᾳστα ἐργαζόμενος φαίνεται) καὶ ταύτην ἣς ὑπ' οὐρανὸν οὐκ οἶδ' εἰ καλλίστην εἶδεν ὁ ἥλιος, βασιλέων οὖσαν ἑστίαν, ἢ μᾶλλον Θεοῦ τε χωρίον ἐξαίρετον καὶ τέμενος ἱερὸν, συνέβη, κατὰ νόμον τῆς ἀνθρωπίνης τύχης, ὑπὸ χεῖρας βαρβάρων ἐλθεῖν.

Καί γε μηδεὶς ὑπ' αἰτίαν τοὺς πατέρας ποιείτω, μηδὲν ἰσχύσαντας φυλάξαι τοιαύτην, οὖσαν τὴν ἑαυτῶν· οὐδὲν γὰρ πρὸς ἐκείνων τῶν ξυμβάντων, οὐδὲν, οὐδ' ἡ τῶν ἐνοικούντων ἀσθένεια πρόξενος τοῦ δυστυχῆσαι τὴν πόλιν ἐγένετο. Ἀλλὰ πᾶς τις εἰς ταύτας τὰς ἐννοίας ἐρχόμενος, εἰδὼς ὡς οὐδὲν τῶν ἐν ἀνθρώποις ἀκίνητον οὐδὲ βέβαιον, ἴδιον δὲ τοῦ θνητοῦ γένους αἱ μεταβολαὶ, καὶ παγιότης τὸ μηδὲν εἶναι πάγιον, καὶ ἄνθρωπος Θεοῦ παίγνιον, εἰ θέμις εἰπεῖν κατὰ Πλάτωνα (1), στρεφόμενός τε καὶ μεταστρεφόμενος ὡς τῷ στρέφοντι βουλητὸν, συγγνώμην τε τοῖς πρεσβύταις ἐχέτω, καὶ ὡς ὀλισθήσαί ποτε καὶ ταύτην ἔδει ἀναγκαῖον εἶναι δεχέσθω· ἀνθρώπους γὰρ ὄντας μὴ πεῖραν λαβεῖν ποτε καὶ τῶν μὴ κατὰ γνώμην ἀδύνατον. Τοιγαροῦν καὶ κάμπτεται ἀναγκαίως ἡ βασιλὶς, καὶ γίνεται χειρῶν βαρβαρικῶν παρανάλωμα, καὶ πήρωσιν ὁ τῆς οἰκουμένης δέχεται ὀφθαλμὸς, ἢ, μᾶλλον εἰπεῖν, ἡ κορυφὴ τῆς ὑπ' οὐρανὸν (2) ἀφαιρεῖται, καὶ νεκροῦται ὅσα τῶν πολισμάτων εἴτε κατ' ἤπειρον, εἴτε καὶ κατὰ μέσην θάλατταν ἔχουσιν ἄνθρωποι, καὶ ἀταξία καὶ σύγχυσις καὶ καινοτομία, καὶ εἴ τι ἕτερον τῶν παραδόξων, καταλαμβάνει τὸ πᾶν· καὶ οὐρανὸς ἄνωθεν, ὡς

(1) Plato Legg. VIII, p. 803: φημὶ..... ἄνθρωπον..... θεοῦ τι παίγνιον εἶναι. Cf. Not. ad Eunap. p. 216; Bœchk. in Min. p. 118; Jacobs. ad Anth. Palat. x, 72.

(2) Subaudi γῆς.

οἶμαι, αἱματηρὰς πέμπει σλαγόνας (1), καὶ χορὸς ἀσλέρων θρηνεῖ, καὶ σκότος ἡ σελήνη νόμῳ πενθούντων ὑπέρχεται, καὶ ὁ φωσφόρος σλυγνὰς κατὰ γῆς ἀκτῖνας ἀφίησιν, ἢ, μᾶλλον εἰπεῖν, οὐδ' ἀφῆκεν ὅλως, πεπονθὼς καὶ αὐτὸς πρὸς τὸ πάθος τῆς πόλεως· ἐφ' οἷς τάχα καὶ γῆ μὲν ἐμυκήσατο, ἀὴρ δὲ ὥσπερ κατηφιῶν ἐς βάθος τεθόλωτο, καὶ θάλασσα παρὰ τὸ εἰωθὸς ἐπωείνετο, ὥσπερ μὴ δυναμένη πρὸς τὴν συμφορὰν (2), πρὸς δὲ τόπον ἕτερον, ἀνθ' ὅπερ ἔχει, μεταναστεῦσαι φιλονεικοῦσα· οὐδὲ γὰρ ἦν ἀνασχετὸν τὸ ἄγαλμα τῆς οἰκουμένης ὑπὸ τοιάνδε τύχην ὁρᾶν, οὐδ' ἐδόκει τι τῶν κατ' ἀνθρώπους εἰωθότων συμβαίνειν, ἁλισκομένης τῆς πόλεως· πλὴν ἔδει γενέσθαι, καὶ ἀνάγκη τις σκίνει τὸ πρᾶγμα, ἧς οὐδὲν φασὶ βιαιότερον (3)· καὶ μέντοι καὶ γέγονεν. Ἐπεὶ δ' ἐγένετο καὶ εἰς ἐρήμωσιν ἐξάπινα, ψαλμικῶς εἰπεῖν (4), τὰ τῆς πόλεως ἦλθεν, καὶ οὐδὲν τῶν ἐν αὐτῇ μεμένηκεν ἐφ' ᾧπερ ἐτύγχανε, κίνησιν δὲ τὰ πάντα κεκίνητο τὴν ἐπὶ τὸ χεῖρον, καὶ ναοὶ μὲν ἐκεῖνοι, ὧν καλλίω οὔτ' ὀφθαλμοὶ οὐκ ἔσχον ἰδεῖν οὐδαμοῦ, οὔτ' ἀκοὴ ἀκοῦσαι, ἀλλ' οὐδὲ νοῦς ἀναπλάσασθαι, κατεσλρέφησαν, οἰκοδομαὶ δὲ δημόσιαί τε καὶ δημοτικαί, ἐσλιῶσαι καὶ τὸν θεατὴν τῇ φαιδρότητι, κατεβλήθησαν, λυτήρων

(1) Respectu, puto, ad Homeri locum, quem vide supra p. 260, n. 3.

(2) Sic codex. Locus non est integer. Suppleri potest, dum codex melior reperiatur, πρὸς τὴν συμφορὰν ἰδεῖν. Conjecturam firmant quæ sequuntur.

(3) Eurip. Hel. 512: Λόγος γὰρ ἐστιν οὐκ ἐμὸς, σοφῶν δ' ἔπος, Δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον. Libanius t. IV, p. 335: ἀληθὴς ἦν ἄρα, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ λεγόμενον πῦρ, τὸ μηδὲν ἀνάγκης εἶναι δυνατώτερον. Conf. quæ notavi ad Callimach. p. 174.

(4) Psalm. LXXII, 19: πῶς ἐγένοντο εἰς ἐρήμωσιν; ἐξάπινα ἐξέλιπον.

δὲ ἀβρότητες καὶ ποικιλίαι σιτῶν ἀπανταχοῦ μειζομένων τοῦ ἄστεος, καὶ περίβολοι, καὶ ἀγορᾶς σχῆμα, κατὰ γῆς ἤχθησαν, ἀπολέλειπτο δὲ μόνον ἐρειπίων ὀρῶν κολωνοὺς (1), πόλιν εἶναί ποτε ταῦτα συλλογίσασθαι παρεχομένους· ἐπειδὴ οὕτω ταῦτ' ἔσχε, σὸν ἦν ἔργον ἄνωθεν ἀποτεταμιευμένον, ἀξίωμά τε τὸ πρῶτον τὴν πόλιν ἀναλαβεῖν καὶ πρὸς τὴν ἀρχαίαν γενέσθαι κατάστασιν. Ἐχρῆν γὰρ ὡς ἀληθῶς καὶ τῶν βασιλείων ὢν κατασχέσει γενέσθαι καὶ τοῦ θρόνου καθιζῆσαι τῆς βασιλείας (2), ὃς καὶ πρὸ χρόνων ἀπείρων εἰς τοῦτο προώρισο· καὶ ἅμα ὁ πρὸ μικροῦ μοι λόγος (3) ῥηθεὶς, σὲ τῷ τῆς βασιλείας μύρῳ χρισθῆναι ὡς οὐδεὶς ἀνθρώπων ὐδέποτε, δῆλος ἐστὶν ἔχων καλῶς καὶ ἀληθείᾳ σωζόμενος.

Καὶ δὴ αὐτά μοι τὰ πράγματα τῶν λεγομένων ἐπικυροῖ τὴν ἀλήθειαν. Βασιλεῖς γὰρ, οἱ (4) πρότερον ἢ σὲ φανῆναι, οἱ μὲν τὴν πόλιν κατεῖχον, καὶ πλούτῳ καὶ στρατευμάτων μυριάσι, καὶ τοῖς ὅσα πρὸς πόλεμον τελεῖ, βείθοντες, ἐξελεύσεις ἐποιοῦντο καὶ καταδρομὰς, καὶ κατεδουλοῦντό τινα τῶν ἐθνῶν, καὶ ταῦτ' ἐποίουν οἱ μάλιστα τῶν ἁπάντων ἐπ' ἔργοις φρονήσαντες· οἱ δὲ, ᾤκουν (5) μὲν καὶ οὗτοι τὴν αὐτὴν ἐκείνοις πόλιν, ἦσαν δ' ὅμως παρὰ τοῦτο μηδὲν μήτε πράττειν μήτε διανοεῖσθαι δυνάμενοι, ἀγαπητὸν

(1) Similia de eadem re verba Nicephori Greg. IV, 2, 6 : νῦν μὲν οὖν ἰδεῖν τὴν βασιλεύουσαν τῶν πόλεων πεδίον ἀφανισμῷ, μεστὴν ἐρειπίων καὶ κολωνῶν... Libanius, tom. III, p. 342, de Nicomedia eversa : καὶ νῦν ἡ πολλὴ πόλις κολωνὸς πολύς. Confer Aristid. t. II, p. 290 D.

(2) Dubito de hac voce an bene eam legerim. Forsan, βασιλίδος. Codex, ut videtur, βασίλας.

(3) Vide supra p. 339.

(4) Codex, οἱ.

(5) Codex, ὤκουν.

ἡγούμενοι καὶ τοῦτο, εἰ μὴ τῶν ὀνόντων ἐκπίπτοιεν· ἦσαν δ' οἵτινες (τρίτη τάξις αὕτη τῶν τῆς βασιλίδος κεκρατηκότων), οἳ οὐδ' αὐτὸ τοῦτο φυλάξαι δεδύνηντο, ἐφ' ὧν ἥλω τὸ κεφάλαιον τῆς ἀρχῆς, καὶ κατεχόρευσαν βάρβαροί τινες καὶ Ἀσσύριοι τῆς νέας Σιών, καὶ ἔκπλωσιν ἡμεῖς ἀπρεπῆ ἐπεπόνθειμεν. Οἱ δὲ μετ' ἐκείνους ἄνδρες ἀρεῖκοὶ γεγονότες, καὶ πολλοὺς πολλάκις διενεγκόντες πολέμους καὶ ὑπερσχόντες, ὥσπερ ἐν ὑπεροχᾷ κρατεῖν μὴ ἀνεχόμενοι, πολλὰ μὲν διεπύκτευσαν πρὸς τὴν καταγωγὴν στρατευόμενοι, μηχανώμενοι, ἐπιχειροῦντες, ἐκ γῆς, ἐκ θαλάττης, ἐκ τόπου παντὸς καὶ τρόπου, δρᾶσαι δὲ τέως τῆς προθυμίας ἐπάξιον οὐδὲν οὐδόλως ἐξίσχυσαν. Τὸ δὲ σὸν, ὁποῖον; ἔκπληξις ἀτεχνῶς καὶ πέρα θαύματος τὸ γενόμενον, ὡς' οὐδ' ἔχει πρὸς ὅπερ ἂν καὶ συγκρίνοιτο. Παρεσήσω πόλιν, μεθ' ὅπλων μὲν, πλὴν αἱμάτων χωρὶς, καὶ πόλιν ἣν οἱ μὲν τῶν ἄνω βασιλέων κατέχειν, οἱ δὲ κατασχεῖν (1) οὐκ ἠδύναντο, καὶ κρατεῖς ἄσιεος ὅπερ ἐκεῖνοι ἀπώλεσαν, καὶ δίδως παρ' ἐλπίδα Ῥωμαίοις τρυφᾶν τὰ τῆς βασιλίδος καλὰ, ὧν ἐξόεισιοι πολλῶν ἤδη χρόνων ἐτύγχανον.

Καὶ οὐ μόνον γε τοῦτο, ἀλλὰ καὶ τὸ ἴδιον σχῆμα καλῶς τῇ σῇ προνοίᾳ ἡ πόλις ἀνέλαβε, καὶ ὁ περίβολος μάλα σεμνῶς ἀνεσώθη, καὶ μονονοὺ « Πόλις » εἰμὶ καὶ αὖθις διὰ σὲ », βοᾷ βασιλὶς, « ὃν ἀπώ- » λεσα κόσμον ἀναλαβοῦσα φαιδρότερον, καὶ τὴν στε- » φάνην ἐπιθεῖσα τῇ κεφαλῇ, ἣν ὁ χρόνος ὁμοῦ καὶ

(1) Subtilius aliquid discriminis ponit nunc inter κατέχειν et καταχεῖν, quorum illud esse videtur *occupare*, hoc *retinere*, vel illud *retinere*, hoc *occupare*. Fors. locus est leviter corruptus.

» χεῖρες ἀνόμων εἰς ἐδάφη κατήρειψαν· » ὅθεν καὶ, εἰ μή τῳ ἑτέρῳ, ἔν γε τέως τῇ βασιλίδι μυρία σου τῆς μεγαλοψυχίας γνωρίσματα. Τῆς δέ σου περὶ τὸ θεραπεύειν τὸ θεῖον θερμότητος πολλὰ μέντοι καὶ ἄλλα τεκμήρια, θείων ναῶν ἀπανταχοῦ τῆς Ῥωμαίων ἀνοικοδομαὶ, ξένων καταγωγαὶ, νοσούντων ἐπιμέλειαι, ἀσθενῶν ἰατρεῖαι, κἀπὶ τῇ σφῶν θεραπείᾳ πρόσοδοι ἀφοσιούμεναι, οὐχ ἧττον δὲ δή πω καὶ τῶν φροντιστηρίων καὶ ἀσκητηρίων (1), ὅσα γε δὴ καὶ κατὰ πόλεις καὶ ἐν ἐρημίαις ἀνήγειρας, τὰ μὲν ἀνδράσιν ἀνειμένα Θεῷ καθιερωθεῖσι καὶ ἀποστάσι τῶν ὑλικῶν, τὰ δὲ γυναιξὶ νυμφευθείσαις Χριστῷ εἴς τε ψυχῆς πρόκοπὴν καὶ παρθενίας συντήρησιν, αἳ δή που καὶ κόσμου καὶ τῶν ἐν κόσμῳ ἑαυτὰς ἠλλοτρίωσαν. Ἐῶ δὲ λέγειν ἀντιλήψεις ἀπορφανισμένων, παρθένων ἀπόρων προικοδοτήσεις, ἐνδεῶς ἐχόντων βίου πλουτισμοὺς, καὶ τἄλλα ὅσα καὶ οἷα εἰς ἀπαλλαγὴν παντὶ τῶν λυπούντων οἰκονομεῖται, καὶ ὅπως μὲν ἐπ' εὐποιΐᾳ δαψιλέστερον νάουσιν οἱ πόλαμοί σου τῶν θησαυρῶν, ὅπως δ' ἐντεῦθεν πᾶς τις ἐντυχάνειν διεγείρεται ὑπὲρ σοῦ τῷ Θεῷ, τὴν δὲ περὶ τὸ ὑπήκοον ὅπως τε (2) σώζοιτο πρόνοιαν, τὴν δὲ σπουδὴν ὅπως μὴ παρὰ τῶν ἐχθρῶν πολλῶν ὄντων λυμαίνοιτο, τὴν κατὰ πάντα χρόνον φροντίδα καὶ μέριμναν ὅπως τ' ἐπιδίδοιν καὶ προκόπτοι (3) ἐπὶ

(1) Omissum videtur οἰκοδομήσεις, κατασκευαί.

(2) Videtur particula τε indicare alterum fuisse verbum cum σώζοιτο junctum, quod librarius male festinans omisit. Forsan, ὅπως τε σώζοιτο καὶ εὐδαιμονοῖ.

(3) Codex, προκόπῃ. Optativum poscebat quod præcessit ὑπιδιδοίη. Versa vice tractandus J. Chrysostomus Ecl. pag. 141 : ὅταν ἄνθρωπον ἀπορενομένον ἴδοις. Optativus abeat in subjunctivum ἴδῃς.

τὸ βέλτιον, ἀνθ' ὧν καὶ οὐ δίδως ὕπνον τοῖς ὀφθαλμοῖς, δι' ἐρεύνης τὴν ἡμετέραν ἔχων ἀνάπαυσιν.

Καὶ ταῦτα δὴ πάντα τίς ἂν εἴη λέγων πρὸς ἀξίαν εἰπὼν, ἢ ποῖος νοῦς, ἐς δέον περιλαβὼν, ἀποχρώντως τῇ γλώττῃ διηγεῖσθαι παρέχοι, ὁπόταν ὑπὸ σοὶ πρεσμηθεῖ ἐς τοσοῦτον ἰσχύος ἥκε τὰ καθ' ἡμᾶς; ὥστε πολέμου μὲν ἐρᾷν τοὺς τῶν ὅπλων, πόλεμον δὲ μὴ ἔχειν ἰδεῖν, κἂν δέῃ τοῦτόν ποτε χρόνῳ συστῆναι, ἐπὶ τῆς τῶν ἐχθρῶν, οὐκ ἐπὶ τῆς ἡμετέρας συνίστασθαι. Ἢ οὐχὶ λόχοι ἐπὶ τῆς πολεμίας ἡμέτεροι; οὐ στρατεύματα φέροντα ταύτην κ᾽ ἄγοντα κατὰ βούλησιν; οὐ φρούρια Ῥωμαίοις ἐπὶ τῆς τῶν βαρβάρων ἱστάμενα, πανταχόθεν αὐτοῖς τὰς ὁρμὰς ἀποκλείοντα (1); ἐφ' οἷς οὐχ ὅπως ἐκεῖνοι μαχέσονται καθὰ καὶ πρότερον σκέπτονται, ἀλλ' ὅπως τι πράξαντες εὐμενοῦς σου καὶ ἵλεω τύχωσι. Καὶ γοῦν ὁρᾶν ἔστι Λατίνους ἀντὶ τῶν μεγαλαύχων ἐκείνων καὶ ἀγερώχων πολιορκουμένους καὶ πορθουμένους καὶ τίνος οὐ ταπεινοτέρους, Σκύθας ὑπείκοντας, Μυσοὺς προσερχομένους, Πέρσας καὶ Μήδους εἰς ἱκετείαν βαδίζοντας καὶ γονυπετοῦντας μετὰ δουλικοῦ καὶ σχήματος καὶ φρονήματος, πᾶν ἔθνος καὶ γένος ἀνθρώπων ὑποπίπτοντας καὶ, ὥσπερ ἄλλο τι χρηστότερον ἕρμαιον, τὸ ὑπὸ σοὶ τελεῖν καθαρπάζοντας. Ὑπὲρ ὧν τὸ ἡμέτερον φῦλον, ὡς ἑνὶ κεχρημένον τῷ στόματι, χορῷ ἀκριβέστερον φθέγγεται κ᾽ πανηγυρίζει τὴν εὐδαιμονίαν, καὶ τὴν σὴν ἀρχὴν, δι' ἣν ἐς ταύτην ἀπήντηκε, μένειν εἰς αἰῶνα ἐπεύχεται·

(1) Procopius Paneg. Anastas. pag. 42, dictione prorsus simili, de muro illo immenso Anastasiano: ὃν θαλάττης γὰρ εἰς θάλατταν ἕλκεται, πᾶς βαρβάρος ἀποκλεῖον τὴν ἔφοδον.

οὐ γὰρ ἀνάγκη, βασιλεῦ, ἀλλ' εὐνοίᾳ τυγχάνει δουλούμενον, οὐδὲ καταδυνασ̓ευόμενον ὑποκλίνει, ἀλλὰ πόθῳ σοι δεδεμένον ὑπηρετεῖ σου τῷ νεύματι. Ἀνθ' οὗ σοι καὶ ἐχυρὰ καὶ δόλου παντὸς ὑπερόνω τὰ τῆς βασιλείας φυλάτ̓εται· οὐ γὰρ ἐσ̓ιν, οὐκ ἔσ̓ιν ἀρχὴν ἰσχυροτέραν εὑρεῖν τῆς εὐνοίᾳ τειχιζομένης, καὶ ἀποχρῶσα φυλακὴ βασιλεῖ τῶν ὑποτεταγμένων ἡ εὔνοια. Δι' ἃ δὴ καὶ τελεῖται πᾶν ὃ ἂν ᾖ βουλομένῳ σοι ἐξ ἐπιτάγματος, εἴτε καὶ νεύματος, καὶ πολλῷ γε ῥᾷον ἢ, κατὰ τὴν παροιμίαν, ψήλειέ τις χορδὴν, κἂν δέῃ τι γενέσθαι, ἀπόχρη δόξαι, κ̓ πέπρακται (1), ὧν τούτῳ δεικνύντων τίνι ποτὲ τῷ τρόπῳ καὶ μεθ' ὅσης χρὴ τῆς εὐνοίας ταῖς ἀρχαῖς ὑποτάσσεσθαι.

Οὕτω, βασιλεῦ, κάλλισ̓ά τε καὶ ἁρμοδιώτατα σὺ μὲν ἐκείνων ἀπολαύεις τῆς εὐπειθείας, ἐκεῖνοι δ' αὖ τῆς ἀγαθῆς σου τύχης, καὶ τῶν ἄλλων ὁπόσα ῥωννύμενος ἄνωθεν καθ' ἑκάσ̓ην φαίνῃ ποιῶν, λέγων, πράτ̓ων, συμβουλεύων, σκεπ̓όμενος, πᾶν ὁτιοῦν ἐργαζόμενος· οὐ γὰρ ἄλλο τι σὸν ἔργον, ἢ ὅπως ποτὲ πάθοι καλῶς τὸ ἡμέτερον, οὐδ' εὐφροσύνη παρὰ τὴν εὐημερίαν τῶν ὑπηκόων, οὐδέ τις μετὰ ταύτην διάχυσις, καὶ μονονοὺ τοῖς ἔργοις βοᾷς· « Αὕτη βασι-» λεύοντος ἀρετὴ, ἀμελεῖν καὶ τῶν καθ' αὑτὸν, εἰ » δεήσειε, πρὸς τὴν τῶν βασιλευομένων ὠφέλειαν. »

Ἀλλ', ἐνταῦθα τοῦ λόγου γενόμενος, ποθῶ τινος εἰς μνήμην ἐλθεῖν, ὅπερ κ̓ τῆς κηδεμονίας ἔτι μάλισ̓α τοῦ αὐτοκράτορος γνώρισμα, καὶ παντὶ τῷ περὶ

(1) Aristidis verba sua fecit ex Encomio Romæ, t. 1, p. 360: πάντα δὲ ἐξ ὑπιτάγματος καὶ νεύματος πλεῖται ῥᾷον ἢ τις ἂν χορδὴν ψήλαι· κἂν τι γενέσθαι δέῃ, ἀπόχρη δόξαι, καὶ πέπρακται.

λόγους καὶ γραφῇ διδόναι καὶ διηγήσασθαι δίκαιον.

Κίνδυνος (ὤ! πῶς ἂν εἴποιμι τοῦτ' ἀνεκτῶς;) κίνδυνος εἶχε τοὺς λόγους, καὶ ὁ κίνδυνος ὅσος! Παίδευσις κατελύετο, πρᾶγμα οὔπω γεγονὸς ἐξ αἰῶνος· τέχνη καὶ μαθημάτων ἀκρίβεια ἐξ ἀνθρώπων ἦσαν· ἀνεπιστημοσύνη κατεῖχε τὸ πᾶν, καὶ τύχη τις ἄλογος ἐπεχόρευε· λόγων δὲ σπέρματα καὶ σπινθῆρα, ὡς εἰπεῖν, μαθημάτων ἦν ὁρᾶν σωζόμενα οὐδαμοῦ, ὅτι μὴ παρὰ τῷ σῷ λογοθέτῃ (1), οὐ μέγα δ' εἰπεῖν, καὶ καθ' ἡμᾶς Ἀριστοτέλει, εἴτε καὶ Πλάτωνι, ἢ ὅπως ποτὲ τούτοις παραπλησίως τὸν ἄνδρα βούλοιτό τις καλεῖν, ἢ, ἵνα διέλω σαφέστερον, ὃν Ἀριστοτέλην νομίζειν χρεὼν, οὐδὲν ἐκείνου ἀπολειπόμενον, ὅταν τι δέῃ τῆς λογικῆς ἐπιστήμης ἢ τῆς τῶν φυσικῶν ἀποφήνασθαι, Πλάτωνα δὲ θεολογοῦντα καὶ κατὰ μοῦσαν φθεγγόμενον Ἀττικὴν, παρ' ᾧ μόνῳ, καὶ κατ' αὐτὸν Πλάτωνα φάναι, σαφῆ τε καὶ στεγνὰ καὶ ἀκριβῶς ἕκαστα τῶν ὀνομάτων ἀποτετόρνωται (2). Οὗτος καὶ γὰρ (3) μόνος ἐλείπετο, ἢ τἀληθέστερον εἰπεῖν, ἐταμιεύετό σοι μετὰ τῶν ἄλλων καλῶν ἐκ Θεοῦ, ἔσχατος μὲν τῷ χρόνῳ μεθ' ὅσοι σοφοὶ (4) πεφηνώς, τοῖς πρώτοις δὲ συνεισάγεσθαι δίκαιος, παιδεύσεως εἷς

(1) Georgio Acropolita, de quo præter alios vid. Allatius Diatr. de Georgiis. In testimoniis ante Dusianam Acropolitæ Historiæ editionem adposita fuerunt Gregorii eum laudantis verba, ab κίνδυνος εἶχε ad σύγκρισιν, quorum maximam partem Allatius l. c. pag. 354 repetiit. Qui putavit Gregorium integram de laudibus Acropolitæ orationem scripsisse, et totam a Dusis editam non fuisse querebatur, Allatius insigniter erravit, quem corrigas l. c. p. 423.— Dusa omisit pronomen σῷ.

(2) Plato, cujus verba describit Gregorius, habet, Phædro c. 23, ἀποπεπόρευται. V. Addenda.

(3) Dusa, μὲν γάρ. Mox omittit σοι.

(4) Forsan, μεθ' ὅσους σοφούς.

ὢν (1) ἅπαν εἶδος συναγωγοχώς, καὶ διὰ πάντων εὐδοκιμῶν, ὡς ἂν οὐδενὶ πρὸς οὐδένα καταδέχεσθαι σύγκρισιν.

Ὡς οὖν ἂν οὕτω σιενῷ κομιδῇ τὰ τῶν λόγων φθάσαντα ἐθεάσω, καὶ ὅτι τὸ κάλλιστον ἅμα καὶ ἰδιαίτατον ἀνθρώπων χρῆμα οἴχεται, μικροῦ δεῖν, κατὰ τὴν Ἡσιόδου Δίκην (2), ἐκ γῆς ἀποπτάμενον, εἰ μὴ σὺ ὑπέρσχῃς τὴν δεξιάν· ὡς οὖν οὕτω ταῦτ' ἔχοντα ἦν, σὺ δὲ εἶδες, οὐκ ἤνεγκας ὁ κοινὸς εὐεργέτης τὸ πάθος, οὐδ' ἀνεβάλου πρὸς τὴν βοήθειαν, οὐδ' ἐμέλλησας πρὸς τὴν χρείαν, ἀλλὰ ζηλοῖς ὑπὲρ τῶν λόγων, ἀνίσταται, θείας κινούσης ῥοπῆς, ἀνθίσταται κατὰ τῆς ἀλόγου τύχης, ἀντιπαρατάτιη πρὸς τὴν ἀτακτὸν ἐκείνην φορὰν, σπουδὴν ἔχων καὶ ταῦτα καταβαλεῖν, ὥσπερ ἐχθρῶν μυριάδας, καὶ τῆς ὑψηλῆς φιλοσοφίας ἐχέγγυος καθίσταται πρόμαχος. Ἔνθα κὴ τὸν σὸν Ἑρμῆν τέως σιγῶντα διεγείρεις χρῆσθαι τῇ γλώττιη, ἢ, καθ' ἡμᾶς εἰπεῖν, Μωσῆς (3) ἄλλος φανεὶς, ὡς ἐκ πέτρας, τοῦ σιγῶντος σοφίας κινεῖς ποταμὸς, καὶ μάννα (4) ἐξ ὑψηλῆς φρενὸς ὑετίζεις, καὶ ψυχὰς ἐμπιπλᾷς ἀγαθῶν, πεινώσας πολὺν ἤδη χρόνον οὐ λιμὸν ἄρτου, οὐδὲ δίψος ὕδατος, τῶν εὐώνων καὶ εὐποιείστων κὴ χαμαὶ ἐρχομένων κὴ τρόφων κὴ ποτῶν, ἀλλὰ σοφίας ξηραινομένας αὐχμῷ καὶ δίψει παιδεύσεως, ἣ καὶ λόγον σώζει πρὸς τὴν ψυχὴν ὅνπερ πρὸς τὸ σῶμα ψυχή. Ἐξ ὧν τί γίνεται; πλατυσμὸς ἐπι-

(1) Niceph. Gregoras x, 2, in laudatione Metochitæ : πάντα γὰρ εἷς ἀνὴρ οὗτος ἦν.

(2) Respicit, puto, Hesiodi locum de Pudore et Nemesi, seu potius Arati de Justitia, et lapsus est in nomine poetæ scribendo: cf. Arati Phæn. 134.

(3) Respicit Exod. XVII, 6.

(4) Exod. XVI.

σήμης, ἀναβίωσις, ὡς εἰπεῖν, λόγων, ἀναθήλησίς τε χορῶν (1) λογικῶν, ἀνάληψις μαθημάτων, ὧν οὐδὲ τὰ ὀνόματα γνώριμα τὸ πρὸ τοῦ· οὕτως ἔδει πολλοῦ τοῦ ταῦτα ἐπίστασθαι· καὶ, συνελόντι φάναι, πᾶς τις λόγων ἐγκύμων καὶ μαθημάτων ἀνάπλεως. Καὶ τοῦτό σοι, βασιλεῦ, τὸ ἔργον, οὐκ ἔλαττον, ἐμοὶ δοκεῖν, τῶν μεγάλων ἐκείνων, δι' ὧν πόλεις καὶ ἄρχοντας ἐθνῶν τοὺς μὲν παρεσήσω, τοὺς δὲ καθεῖλες, δι' ὧν πείγκιπας (2) ἐδουλώσω, καὶ τέμου καὶ ταραχῆς τὴν ὑφ' ἥλιον ἔπλησας, παρ' ὅσον καὶ πάθος καθελεῖν κατὰ ψυχῆς στρατευόμενον, καὶ μετὰ τῶν ἀλόγων τάττειν λογικὴν οὖσαν φιλονεικοῦν, τοῦ τοὺς ὀνοχλοῦντας ἔξωθεν καταβάλλειν ἐχθροὺς οὐδὲν ἀτιμότερον. Οὕτω διὰ σὲ θάλασσα καλῶν ἡμῖν ἐξεχύθη, καὶ πᾶν ὁτιοῦν σωτήριον ἐπεγένετο, καὶ τῇ σῇ τύχῃ ἐναργῶς ὁ ἡμέτερος ἐπηκολούθησεν ὄλβος. Δι' ἃ δὴ καὶ σκοπουμένοις πρὸς ἃ δεῖ καὶ παραβάλλειν τὰ σὰ δέος τε ἅμα καὶ ἀπορία παρεγίνεται. Οὔτε γὰρ εἰς μνήμην ἥκει τις τῶν πάλαι πρὸς σὲ παρεξετάζεσθαι δίκαιος, καὶ, εἰ ἔλθοι τις, δέδοικα μὴ πάντως ἀπάδουσαν ποιήσωμαι τὴν ἐξέτασιν, μὴ πρὸς μείζονα, μηδὲ πρὸς ἴσον, ὡς δέον, ἀλλὰ πρὸς ἐλάττονα ταύτην ποιούμενος· πάντας γὰρ ὁρῶ σου τῶν καλῶν ἠττωμένους, ὥσπερ ἡλίου τοὺς πάντας ἀστέρας, καὶ τοῦθ' ἡγουμένους φιλοτιμίαν, ὅστις πρῶτος τάττοιτο μετὰ σέ. Μέντοι γε καὶ (3) Κύρους ἐκείνους, Δαρείους, Ἀλεξάνδρους, καὶ Αὐγούστους, καὶ οἵ τινες Ἑλλήνων ἢ βαρβά-

(1) Compendium est in codice, χῶ, quod recte intellexisse mihi videor

(2) Hac voce barbara Latinorum duces præcipue significat.

(3) Deest fors. quid ante μέντ.

ρων ἢ Ῥωμαίων ἐκρήτησαν καὶ πλεῖστον πρῆκον ὀνόματος, τούτους, ὁποῖοί τινές εἰσιν, ἔμοι γε καὶ φέρειν ὅλως εἰς μέσον ἀθέμιτον. Τίς γὰρ πρὸς σκότος κοινωνία ἡλίου, ἢ τύχης λόγου καὶ προνοίας, ἢ ὀνειράτων καὶ ἀληθείας (1), ἢ τίς ἂν ἀρετὴ βασιλείας φανείη, μὴ Θεοῦ χειραγωγουμένης χερσίν; ἢ τίς εὐκλεια, ἐπιγνώσεως ἀπούσης τοῦ κτίσαντος; Τοὺς δὲ κατὰ νόμον βεβασιλευκότας Θεοῦ εἴπερ εἰς μέσον παράγοι τις, καὶ τούτων, βασιλεῦ, ὅσα μὲν τῶν ἀγαθῶν καὶ πρὸς ἀρετὴν καὶ Θεὸν φέροντα, μόνος συλλαβὼν ἔχεις, καὶ οὐδενὸς, ὧν οἷς εἶχον φρονεῖν, φέρων φαίνῃ τὰ δεύτερα· τὰ (2) δ' ἐφ' ὅσοις ὠλίσθαινον καὶ τοῦ δέοντος ἐκπορευόμενοι τὰς πρησούσας διέφθειρον ἀρετὰς, τοσοῦτον ἀπεῖχες (πῶς ἂν εἴποιμι ἱκανῶς;), ὅσον γῆς καὶ σελήνης τὸ μεταξύ. Σὺ Μωϋσέος, σὺ καὶ Ἰησοῦ (3), τὸ μὲν τὴν ἐξ ὕψους χάριν καὶ τὴν τὰ μεγάλα ἐνεργοῦσαν δύναμιν, καὶ τὸ κατὰ τῶν παραπικραινόντων μακρόθυμον, τοῦ δὲ τὴν ἀγαθὴν κρατηγίαν, καὶ τὴν δημαγωγίαν, καὶ τὸ τὸν λαὸν Κυρίου πρὸς τὴν ἐπιθυμητὴν, ὡς ἐκεῖνος, κατάγειν, ἐπλούτησας. Δαυὶδ ἐζήλωσας τὴν πραότητα, μᾶλλον δὲ πρὸς φύσεως ἔσχηκας, καὶ τὸ ἀνεξίκακον πρὸς τοὺς παροινοῦντας· καὶ φοβερὸς οὐχ ἧττον ἐκείνου τοῖς ἀλλοφύλοις καθέστηκας· τὴν γὰρ φυσικὴν ἡμερότητα μόνοις εἰς τρυφὴν τοῖς ὑπηκόοις παρέσχηκας. Σολομῶντος τὴν σύνεσιν καὶ τὸ τῆς καρδίας πλάτος δεξάμενος, τἄλλα τούτου μεμίσηκας. Καὶ, ἵνα, τοὺς πρὸ

(1) Phot. Ep. xcv: οὐκ ἐθέλει τῷ φωτὶ συμπαρεῖναι τὸ σκότος, μισεῖ δὲ καὶ σύνοδον τοῦ ψεύδους ἡ ἀλήθεια.

(2) Velim τῶν, cum ἀπεῖχες.

(3) Latine Josue, non Jesus, ut supra p. 338.

τῆς χάριτος παρεδραμὼν ἐπὶ τὸν σὸν ὁμώνυμον (1) ἔλθω, τὸν πρῶτον ἐν χριστιανοῖς βασιλεύσαντα, καὶ τούτῳ φέρεις τὸ περὶ τὸ σέβας θερμὸν, καὶ σταυρῷ νικᾷς τοὺς ἐχθροὺς, καὶ φαίνῃ, μᾶλλον δὲ καὶ ὑπάρχεις ἐν πολέμοις ἀήττητος, καὶ, ἵν' ἀκριβέστερον ἔχῃς τὴν εἰκόνα δεικνύναι, τειχίζεις πόλιν, ἣς ἐκεῖνος πολιστὴς ἐχρημάτισε. Θεοδοσίων τῶν μεγάλων καὶ τῶν ἑτέρων, καὶ Ἰουστινιανῶν, καὶ τῶν ὅσοι κατ' αὐτοὺς ἐπὶ πλεῖστον ἤλασαν δόξης, καὶ τούτων μὲν ὅσον εὐσεβὲς καὶ φιλόθεον, γενναῖόν τε πρὸς τοὺς κινδύνους καὶ τρόπων δικαίων ἐχόμενον, πρὸς δὲ κηδεμονικόν τε καὶ προνοητικὸν καὶ μετέχον χρηστότητος, καὶ τούτων ὅσον τοιοῦτον, ἐπλούτησας· καὶ μεθ' ὅσης τῆς ἐπιδόσεως! ὅσον δὲ πρὸς θυμὸν ἀλόγιστον ἔκλινε καὶ ἀφιλάνθρωπον ἦθος, καὶ τρόπους ἀνημέρους, καὶ τὸ κολάζειν ὠμῶς καὶ τὸ ἡτᾶσθαι λημμάτων, καὶ ὅσον τῆς ἐναντίας μερίδος ἂν διεβάλλετο, ἔχεις ἀποπλύσας καὶ ἀπορρίψας σαυτοῦ, παντὶ μᾶλλον πρέπειν ὑπάρχειν ἢ σαυτῷ λογισάμενος.

Τοιοῦτος ἡμῖν ἐκ Θεοῦ δεδώρησαι, βασιλεῦ· τοιοῦτος διὰ τῆς πείρας ἐφάνης, ὁποίους οὐδ' ἡ φήμη τοὺς πρώην λαμπροὺς παρέπεμψεν εἰς ἡμᾶς, τοῖς κεφαλαίοις τῶν ἀρετῶν, ἵνα κεφαλαιωδέστερον εἴπω, ὑπὲρ πάντας κοσμούμενος, νικῶν μὲν τοὺς κατὰ σὲ βασιλέας, νικῶν δὲ καὶ τοὺς ὅσοι μάλιστα ἐξ ἀρετῶν ὠνομάσθησαν. Καὶ δὴ τειχίζεις ἀρετῇ τὴν ἀρχὴν, τειχίῳ τῷ Βαβυλωνίου στερρότερῳ καὶ ὑψηλοτέρῳ μαχρῷ. Καὶ τὸ ὑπήκοον αἰδοῖ τῆς ἀρετῆς συστελλόμενον

(1) Voluit scilicet Michael imperator vocari Novus Constantinus, quo titulo et in fronte hujus orationis ornatur. Cf. p. 384.

ἄγεται σου πρὸς τὴν γνώμην καὶ ταχύνει πρὸς τὸ νεῦμα, καὶ δείκνυται πᾶν ὅ τι ἂν ᾖ βουλομένῳ σοι, ἐπεὶ καὶ, ἵνα σε καθομνείσω, πατὴρ ὡς ἤπιος (1) πρὸς αὐτὸς διατίθεσαι· ἐπειδήπερ ἀρετῇ μὲν τῶν οἰκείων οἶδας κρατεῖν, τῶν βαρβάρων δὲ καὶ τοῖς ὅπλοις, καὶ τὸ πρῶον μὲν ἐφ' ἡμῖν ἀμιγὲς τοὐναντίου τηρεῖς, τοῖς ἐχθροῖς δὲ παρέχεις καὶ ἀπὸ τοῦ σχήματος καταπλήττεσθαι. Ἀνθ' ὧν καὶ δὶς καὶ τρὶς καὶ πολλάκις μακάριος, ὃς τῆς μορφῆς τῶν ὑπὸ σὲ τεταγμένων τελεῖ, καὶ, ὅσα παῖς παρὰ πατρὸς, εὐμενείας βασιλικῆς ἀπολαύει καὶ χάριτος· ὅστις δ' ἀφνιάζει καὶ ἀποσείεται σου τὸν ζυγὸν, εἰ μὴ ἄκων ταῦτα, ἐλεεινὸς οὗτος ἐμοὶ τῆς τύχης, μηδ' ἐπὶ ποσὸν εὐημερεῖν συγχωρούμενος· εἰ δ' ἑκὼν ταῦτα πράττει καὶ πρὸς βουλήσεως ἀποσκιρτᾷ, ἄθλιος τῷ ὄντι τῆς ἀφαιρέσεως τοῦ φρονεῖν, καὶ τῆς πηρώσεως τοῦ νοὸς, καὶ δικαίως ἂν δυσθυμοίη, ἐθελοκακῶν ἄνθρωπος καὶ πρὸς τὰς ἀκτῖνας ἐπιμύων τοὺς ὀφθαλμούς.

Ἀλλ', ὦ βασιλεῦ, δι' ὃν τὸ σὸν γένος θεῖον ὡς ἀληθῶς, σὲ μὲν ἐπαινεῖν ἄθλων ὁ μέγιστος· καὶ, εἴ τις ἀνύειν ἐπιχειροίη, γνώσεται διώκων τὰ φεύγοντα, οἷον καὶ οἱ τὰ ποταμῶν ῥεύματα κατόπιν διώκοντες. Οὐδὲ γὰρ ἔστιν ἰδεῖν οὔμενουν τὰ σὰ κατορθώματα στάσιν λαμβάνοντά ποτε προκοπῆς· ἀεὶ δὲ προκόπτει καὶ συμπαρεκτείνεται ταῖς ὥραις, καὶ τὴν διάνοιαν ἀποδιδράσκει. Κἀμοὶ πειραθέντι, μηδὲν δ' ὅμως ἀνύσαι δυνηθέντι, συγγνώμη· πᾶς γὰρ ἂν τοῦτο πάθοι, πειρᾶσθαι τοῦ παρόντος ἀγῶνος σκεπτόμενος.

Νυνὶ γοῦν ὧδέ πη παύσασθαι σκεπτομένῳ εὐχή μοι

(1) Hom. Od. B, 47 : πατὴρ δ' ὡς ἤπιος ἦεν.

κατακλειέτω τὸν λόγον. Ὁ τόδε τὸ πᾶν ἀρχῆθεν συσταησάμενος καὶ κινήσας, Θεὸς καὶ κύριος, ζωὴν διδόναι καὶ θανατοῦν γινωσκόμενος, διδοίη τήνδε τὴν ἀρχὴν, τόν τε ἐμὸν βασιλέα, καὶ παῖδας τοῦδε, καὶ πόλιν τήνδε, θάλλειν δι' αἰῶνος, ὥστ' εἶναι καὶ παρ' ἡμῖν ἀφθονίαν τῶν ἀγαθῶν, ἐξώλεις δὲ καὶ πρόωλεις ὀλέσθαι, ὅσοι τῆς τοῦ βασιλέως γνώμης ἀπ' ἐναντίας εἴ τε νυνὶ φρονοῦσιν, εἴ τέ ποτε μετὰ ταῦτα φρονῆσαι νοήσουσιν.

ΤΟΥ ΑΥΤΟΥ

ΕΓΚΩΜΙΟΝ

ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ

ΚΥΡΟΝ ΑΝΔΡΟΝΙΚΟΝ ΤΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ.*

Ἐχρῆν μέν, ὡς ἀληθῶς, μέγιστε βασιλεῦ, εἰς τὸν σὸν λόγον οὐχ οὕτω φαῦλον, οἷος ἐγώ, ῥήτορα παριέναι, ἀλλ' ὃς ἂν καὶ ὑπερφώνει (1) λέγων τοὺς ἄλλους, ὅσοι ποτὲ λόγων ἥψαντο τέχνης, μᾶλλον δὲ κἀκεῖνος, ὅστις ἄρα καὶ ἦν μέλλων ἑαυτὸν παρασάγειν τῷ λόγῳ, εἶθ' ὁρῶν τοῦ παρκειμένου τὸ μέγεθος, ἔφησεν ἂν, παραπλησίως ἐμοὶ καταδείσας, μείζονος ἢ κατ' αὐτὸν ῥήτορος τῷ ἀγῶνι παρεσδεῖν, ὡς οὐκ ὄντος τοῦ ἐγχειρήματος οἷον ἄν τινα καὶ ῥᾳδίως ἁψάμενον ἀνύσαι, μή τινος ἄνωθεν καὶ θείας παρεσαψαμένης ἐπικουρίας· ἐπεὶ δὲ τὸ τοῦ πράγματος ὑψηλὸν, καθάπερ οὐρανὸς, τοὺς περὶ αὐτὸν βλέποντας κάτω που ἑαυτοῦ πάντας ἐπίσης ἐᾷ, οὐκ ἂν ἡμῖν τὸ τολμῆσαι, εἶτ' ἀποπεσεῖν τῆς ἀξίας τολμήσαντας, παρ' εὐγνώμοσι κριταῖς ἀσύγγνωστον μένοι, μετὰ πολλῶν καὶ μεγάλων, ἡμμένων τέως τοῦ παρκειμένου, τοῦτ' ἂν πεπονθόσι (2). Καὶ γὰρ εἰ μὲν αὐτὰ φωνὴν εἶχε τὰ

* E codice regio 3010, p. 91, quem contuli cum codice 831. Ille in notis erit A, hic autem B. Et statim B : τοῦ αὐτοῦ εἰς τὸν βασιλέα Ἀνδρόνικον τὸν Παλαιολόγον.

(1) B, ὑπερφώνει.

(2) Eadem sententia utitur in exordio Encomii maris : διὸ καὶ

πράγματα, οὐκ ἂν ἴσως ἥρμοτό τε παρακινδυνεύειν, αὐτοῖς δὲ μᾶλλον ἐκείνοις τοῦ περὶ ἑαυτῶν λόγου παραχωρεῖν· εἰ δ' ἐκεῖνα μὲν οὐδὲν οὐδέποτε φθέγγεται, τοῖς δὲ φθεγγομένοις ἡμῖν περὶ ἐκείνων τι λέγειν λείπεται, πῶς οὐχὶ χρηστέον τοῖς λόγοις ἐπ' αὐτοῖς, ὡς ἄρα καὶ ἐγχωρεῖ, καὶ τολμητέον τὴν πεῖραν (1); ἵνα μὴ, τῆς μνήμης ἔξω γενόμενα, οἰχήσεται θᾶττον καὶ διαφθαρήσεται, λήθης ὑναποκρυβέντα βυθοῖς (2), καὶ ἄδικα μὲν αὐτὰ πάθοι, τοῦ ἐπιβάλλοντος ἀμοιρούντα λόγου, καὶ τοσούτῳ γε μᾶλλον ὅσῳ κ᾽ ἄξια τούτου καταλαμβάνεται, οἷα δὴ μάλιστα καὶ τὰ σὰ, βασιλεῦ· συναδικοῖτο δὲ καὶ ὁ βίος αὐτοῖς καὶ ζημιοῖτο, εἰ μὴ, στήλη ταῦτα ὑπὸ τοῦ λόγου γεγενημένα, θαῦμα καὶ φιλοτιμίας ὑπόθεσις αὐτῷ κατὰ παντὸς τοῦ χρόνου δοθείη.

Πρώην μὲν οὖν, βασιλεῦ, τῆς ἐμαυτοῦ περὶ λόγους δυνάμεως πεῖραν ποιούμενος, εἶτ' ἀφορμὰς αὐτῇ καὶ τὰς ἥττον ἔσθ' ὅτε δοκούσας ἔχειν τὸ εὔλογον ὑποβάλλων, ἤνυτον (3) εὐπετῶς τὸ προκείμενον, καὶ, τὸν ἔλεγχον ἐκεῖθεν ἤδη τῆς ἰσχύος λαμβάνων, ὥς τι δεδυνημένῳ προσέχαιρον ἐμαυτῷ· ἐλάνθανον δὲ ἄρα τῷ μεγίστῳ τῷδε περιπεσούμενος ἀγῶνι κ᾽ τἀναντίον ἢ τότε πεισόμενος, ἀδυναμίαν μὲν ἐμαυτῷ κατεγνω-

πολλή τις γίνοιτ' ἂν συγγνώμη δικαίως τοῖς περὶ πύπων λέγειν πλημμῶσιν, ἂν παρὰ πολὺ τῆς ἀξίας ἐλλίπωσι, καὶ μάλιστα πρὸς τῶν τοιαῦτα πεπαιδευμένων ἀνθρώπων, ὅσῳ καὶ τῶν ἄλλων μᾶλλον εἰδότες εἰσὶν ὡς μὲν χαλεπὸν τοῖς δ' ὀπχειρεῖν, ὡς ἀνάγκη καὶ πρὸς λόγους ἥτπους ἀεὶ τῶν πραγμάτων συμβαίνειν. Ultima, quæ sunt corrupta, sic corrigo e codicibus 2629 et 3010 : ὡς μὲν χαλεπὸν τοῖς τοιούτοις ὀπχειρεῖν, ὡς δ' ἀνάγκη.

(1) Vide p. 324, n. 2.

(2) Leo Diac. Hist. v extr.: ὡς ἂν μὴ λήθης βυθοῖς παραρρυῇ ἔργα βιαφελῆ καὶ μνήμης ἐπάξια. Cf. supra p. 288, n. 7.

(3) A, ἤνυττον.

κώς, ἀνθ' ἡδονῆς δὲ τῆς πρότερον λύπην κεκομισμένος (1). Τῷ γὰρ πελάγει τῶν σῶν καλῶν, ἐλπίσας, ἐπαφεὶς (2) τὴν γλῶτταν, λαμπρότητά τινα περιάψαι τοῖς λόγοις ἐντεῦθεν, ὡς εἰς τοῦτ' ἤδη κατέστην, ἀμηχανίας ἐνέκυρσα πελάγει, καὶ νῦν ἐξαπορούμενος ἵσταμαι ποῖ ποτε τὴν πρώτην ὁρμήσας, κ᾽ τίνος ἐπειλημμένος ἀρχῆς (3), γενοίμην εὐθυδρομήσας καὶ ἀκινδύνως (4) περάσας τὴν πρόθεσιν. Ὡς' εἰ μὲν ἦν εὐθὺς ἐξ ἀρχῆς εἰρηκότα τὴν ἀπορίαν ἱκανῶς παραιτήσασθαι δόξαι, μηδὲ ῥαθυμίαν καταγνωσθῆναι καὶ τὸ μὴ βούλεσθαι, κἂν ἀνέστρεφον ἐντεῦθεν τοῦ λόγου, ἀνεπιχείρητα τὰ ἑξῆς καταλείψας, δέει τοῦ μὴ αὐτοῖς παρὰ τὴν ἐμαυτοῦ σμικροφωνίαν λυμήνασθαι· ἐπεὶ δ' οὐκ ἔστιν ὅπως οὐ ταῦτα καταχριθήσομαι, μηδ' ὡς οὐ σκῆψιν ποιεῖσθαι τὴν ὁμολογίαν τῆς ἀπορίας ἀκούσομαι, τολμᾶν μὲν ἀνάγκη, ὡς ἄρα καὶ ἔχομεν, Θεοῦ δ' ἔργον ἂν εἴη ὀρέγειν ἡμῖν εἰς τὸν λόγον καθιστάμενοις χεῖρα, κ᾽ σαφῶς ἀπορουμένων ἀντιλαμβάνεσθαι.

Πατρίδα καὶ γένος τῶν ἐγκωμίων ὑποβάλλειν κρηπῖδα ὁ τῆς τέχνης θεσμὸς ἡμῖν ὑποβάλλει (5). Τοιγαροῦν καὶ τὴν σὴν πατρίδα, μέγιστε βασιλεῦ, ἅπας

(1) B, κεκοσμμένος quasi κεκοσμημένος, permutatione non rara verborum κοσμεῖν et κομίζειν, de qua ad Eunap. p. 123, 555.

(2) B, ὀπφανείς.

(3) De illa oratorum circa exordium hæsitatione cf. p. 316, n. 2.

(4) A, ἀκινδύνας.

(5) Lex laudationis lata ab Aphthonio, Progymn. p. 50, sic habet: προοιμάσῃ μὲν πρὸς τὴν οὖσαν ὑπόθεσιν, εἶτα θήσεις τὸ γένος, ὃ διαιρήσεις εἰς ἔθνος, πατρίδα, προγόνους καὶ πράξεις. Gregorio hujus sententiæ exemplum præbuit Julianus Paneg. Const. p. 5: ὁ μὲν οὖν τῶν ἐπαίνων νόμος οὐδὲν ἔλαττον τῆς πατρίδος ἢ τῶν προγόνων ἀξιοῖ μνημονεύειν.

ὁ τοῦ ἡκότος (1) λόγος, ἵνα μὴ λέγω καὶ συγγραφικὸς ἅπας καὶ γεωγραφικὸς, ἀρίστην τῆς ὅσην (2) οἰκοῦσιν ἄνθρωποι, παραδίδωσι. Τειῶν γὰρ ὄντων, οὐκοῦν πλειόνων, εἰς ἃ διαιροῦσι τὴν γῆν, Λιβύη μὲν περὶ ἐλαχίστου τοῖς σοφοῖς γέγονε λόγου, οὐδὲν ἄξιον λόγου παρέσχουσα (3)· Ἀσία δὲ καὶ Εὐρώπη, περὶ πρωτείων ἄνωθεν ἀλλήλαις ἐρίζουσαι, τὸ νεῖκος οὐδέπω καὶ νῦν διελύσαντο, ἀλλήλων ἐν τῷ μέρει κρατοῦσαι καὶ ὑπ' ἀλλήλων κρατούμεναι. Σὺ δ' ἡ πατρὶς (λέγω δὲ σὴν, ὅσης καὶ ἄρχεις, ὦ βασιλεῦ,) καὶ Ἀσίας ἐπειλημμένη καὶ Εὐρώπης (4) καὶ ἀρχή γε τούτοιν ἀμφοῖν νομιζομένη καὶ οὖσα, οὐκ οἶδα πῶς οὐκ ἂν καὶ βελτίστη τοῖς ὅλοις (5) ὁμολογεῖτο, ἀρχή γε διαφανῶς αὐτῆς καὶ τὸ περικεχριμένον ὑπάρχουσα. Ἐπεὶ μηδ' ἔπρεπε τῷ τὴν ὑπερτάτην ἐκ Θεοῦ λαχόντι τιμὴν ἑτέρας ἢ τοιαύτης (6) πατρίδος τυχεῖν, ἧς τὸν σύμπαντα κόσμον καὶ ὁπόσα δή ἐστι καθ' ἃ τῶν ἄλλων πλεονεκτεῖ, (τοῦτο μὲν οἷς ὁρᾷν πεδία κάρπιμά τε καὶ κάλλιστα, καὶ μείζω ἢ ὀφθαλμὸς ἐξικνεῖται, παρέχεται, τοῦτο δ' οἷς ὄρη μήκιστα καὶ εἰς αὐτὸν ἥκοντα τὸν αἰθέρα περίσχεται, τοῦτο δὲ καὶ οἷς ἀένναα ποταμῶν ῥεύματα καὶ λίμνας καὶ πηγὰς καὶ παντοίας ὑδάτων ἀφέσεις περιβάλλεται, ἄφθονον τὸ τῆς ζωῆς χρήσιμον ἔκ τε τούτων καὶ

(1) Codices, εἰκότος.
(2) B, την ὅσην.
(3) B, περιέχουσα.
(4) Tractavit eumdem de Byzantii laudibus locum in præcedente oratione pag. 317. Dusa, notis ad Acropolitæ Hist. p. 287, Vulcanium ait habere Gregorii Cyprii descriptionem et encomium urbis CPol., quod, post Dusam, dixerunt Allatius Diatr. de Georg. pag. 423, Fabricius Bibl. Gr. t. VIII, p. 62. Sed fere crediderim excerpta tantum ex hac vel illa oratione loca de Byzantio Vulcanium possedisse.
(5) B, τῆς ὅλης.
(6) B, ταύτης.

τῆς ἐν μέσῳ θαλάσσης χορηγοῦσα τοῖς τῇδε ἀνθρώποις), ταῦτά τε καὶ τὸν τῶν πόλεων ἀριθμὸν τῶν πολλῶν καὶ καλῶν καὶ μεγάλων, αἳ δὴ καὶ ἀντ' ἀγάλματός εἰσι καὶ φεύγεσι τῇ χώρᾳ καθίστανται, οὐδ' ἄν τις, οἶμαι, καὶ ἰδίαν ὑπόθεσιν ἱστορίας ποιούμενος, μή τί γε (1) μέρος λόγου βραχύτατον, ἀρκέσειεν ἱκανῶς διελθεῖν. Εἰ δὲ πρὸς ταῦτά τις εἰκότως τὸ κατ' ἀξίαν ἀπορήσειε λόγου, τί περὶ τῆς μεγάλης καὶ θαυμασίας ἐρεῖ πόλεως, ἣ κατ' ἐξαίρετον τὸ σὸν, βασιλεῦ, καὶ χρυσοῦν ἤνεγκε γένος; ἢ καὶ, τὸ μεσαίτατον λαχοῦσα τῆς γῆς (2), κέντρον μὲν ἂν εἰκότως αὐτῆς λέγοιτο, εἰς αὐτὴν τῶν ἄκρων τεινόντων καὶ ἀπ' αὐτῆς ἀρχομένων, ἀνθαμιλλῶτο δὲ πρὸς ἁπάσας κοινῶς τὰς ἐν αὐτῇ πόλεις ταῖς ἀρεταῖς; θέσεως μὲν γὰρ τῆς ὑπ' οὐρανὸν καλλίστης καὶ, ὡς ἔφαμεν, τῆς μεσαιτάτης, καὶ ἡ μάλιστα ταῖς ἀκροπόλεσι πρέπει, τετύχηκε· γειτονεῖ δὲ θαλάσσῃ καὶ ταύτῃ γονιμωτάτῃ καὶ ὅσα παρὰ θαλάσσης τοῖς ἀνθρώποις χορηγεῖν ἀφθονωτάτῃ· τοῦτο μὲν πορθμοὺς ἔχουσα σχεδὸν περὶ πᾶσαν ἑαυτὴν (3), ἡμερωτάτους μὲν ἐπιπλεῖν, ὠφελιωτάτους δὲ βλέπειν, λυσιτελεστάτους δὲ προσοικεῖν, οὓς καὶ πολαμοὺς ἂν εἴποις πρὸς τὸ γενὸν ὁρῶν καὶ τὴν κατὰ κίνησιν ὁμαλότητα, καὶ θάλασσαν ὀνομάσαις

(1) A, μή τι γε. Dion Chrys. t. 1, p. 540: χαλεπὸν μὲν οὖν καὶ τοῦ ἐλαχίστου ἔργου ἐπ' ἄκρον ἐλθεῖν, μή τι γε ἐν τῷ μεγίστῳ καὶ δυσχρεστάτῳ πάντας ὑπερβαλέσθαι. Codex 2958, μή π γε. In hac formula libri plerumque variant, nec electio facilis, mihi saltem, est.

(2) Byzantium facit terræ umbilicum ac centrum, ut antiquitus Græci Delphos, ut Judæi Jerusalem. Vide quæ notavi ad Planudeas Ovidii Metam. p. 430 et 689.

(3) Aristides t. 1, p. 167, de Athenis: παντοδαπούς δὲ ὅρμους καὶ λιμένας παρεχομένη κύκλῳ περὶ πᾶσαν ἑαυτήν.

χρίνων ἀπὸ τῆς ἄλλης αἰσθήσεως, τοῦτο δ' ἐπιχείμενα πελάγη, ἔνθεν μέν, πρὸς μεσημβρίαν, τὸν Αἰγαῖον, ἀφ' Ἑλλησπόντου δοκοῦντα καὶ τοῦ τῆς πόλεως ῥοὸς ἄρχεσθαι, ἔνθεν δὲ, πρὸς ἄρκτον καὶ βορρᾶν ἄνεμον, τὸν Εὔξεινον, ὡς Μαιώτιδος μὲν ἀρχόμενον καὶ τῆς λίμνης Τανάϊδος, ὅλον δὲ τὸ ῥεῦμα πρὸ αὐτῆς ταύτης ἀπερευγόμενον, ἄμφω δὲ ὡς βασιλίδι τῇ πόλει δωροφοροῦντα (1) καὶ πάντα δεῦρο ταῖς ὁλκάσι κατὰ πᾶσαν πνευμάτων κίνησιν παραπέμποντα. Καὶ μέγεθος δὲ τῆς σῆς πόλεως ὅσον οὐκ ἄλλης πόλεων, πολλῆς μὲν οὔσης κατ' ἤπειρον, πολλῆς δὲ καὶ μέσην σχιζούσης τὴν θάλασσαν, ὡς ἀμφίβολον εἶναι τίνος μᾶλλον ἡ πόλις, ἑκατέρας ὥσπερ ἀγωνιζομένης αὐτὴν οἰκειοῦσθαι, καὶ σφοδρῶς ἀντεχομένης αὐτῆς. Ὁ δὴ καὶ περὶ τῆς Ἀσίας εἰπεῖν ἔνι, θαλάσσῃ (2) μὲν τυραννηθείσης ἀπορραγῆναι τῆς πόλεως, τὸν ἔρωτα δὲ μὴ καταλελυκυίας μηδὲ πόρρω ἀφεστηκυίας, ἀλλὰ καὶ οὕτω φιλονεικούσης σύνεγγυς καὶ ἀναντικρὺ τῆς ἐρωμένης ἑστάναι. Καὶ ὑπερβάλλουσα δὲ μεγέθει αὐτὴ ἑαυτῆς, τερπλασία τοῖς ἀκριβῶς σκοποῦσιν εὑρίσκεται· τὰ μὲν γὰρ αὐτῆς κατάγαιός ἐστιν οἴκησις, τὰ δὲ τὴν ἐπιφάνειαν πληροῖ, ἄλλα δὲ τῶν μέσων ἐπάνω φερόμενα πείθει, μετὰ τῶν ἄλλων ὧν τὴν πόλιν καλοῦσι, τολμᾶν καλέσαι καὶ ἀερόπολιν. Ἀὴρ δὲ αὐτῆς ὁ ὑπὲρ κεφαλῆς, καθαρώτατος ὢν (3) καὶ ἡδύτατος ἀναπνεῦσαι, ἔτι καὶ ὑγιεινότατός ἐστι, χειμῶνος μὲν οὐκ

(1) B, varietate notabili, non eligenda tamen, δορυφοροῦντα.

(2) B, θαλάσσης.

(3) Aristides, tom. 1, p. 172, Gregorio dux fuit hic et supra p. 319: ἀλλὰ μὴν τόν γε ὑπὲρ κεφαλῆς ἀέρα καὶ τὴν τῶν ὡρῶν κρᾶσιν οὕτω σύμμετρον εἴληχεν, ὥστε....

ἄγελος ὢν οὐδὲ ἀριμὺς ἐς ὑπερβολήν, ἀλλ' ἄλυπος καὶ πρᾶος καὶ τοῖς σώμασιν ἀνεκτός, θέρους δὲ οὐ καυσώδης καὶ πνιγώδης, ἀλλά τινι σύγκρατος ψύχει, βορείοις πνεύμασι καὶ αὔραις ζεφύρου ὑπὸ τῆς τῶν ἀκτίνων ἀκμῆς κρατεῖσθαι καθάπαξ μὴ συγχωρούμενος· τῶν δ' ἄλλων ὡρῶν περιτλὸν καὶ μνησθῆναι ὡς κέκραντα, τούτου σαφῶς ὂν τῶν ἄκρων γινωσκομένου. Καὶ μὴν μέγεθος ἔχουσαν τηλικοῦτον, μᾶλλον ἂν αὐτὴν εἴποις καλὴν ἢ μεγάλην· τοῦ μὲν γὰρ, εὔρεις ἂν λόγον τῆς ὑπεροχῆς, ᾧ τῶν ἄλλων διενήνοχεν ἀστέων ἡ πόλις, κάλλει δὲ (1) ὅσον διήνεγκεν ἄρρητος ὁ λόγος, καὶ μέτρον οὐκ ἔστιν εὑρεῖν οὐδ' ἀριθμὸν τῆς μεσότητος (2).

Ἀλλ' ἡ μὲν πατρὶς τοῦ βασιλέως πόλις τοιαύτη, καὶ κατέλιπον τὰ μεγάλα ταύτης γνωρίσματα, εὐσέβειαν οἰκητόρων, εὐνομίαν, δικαιοσύνην, φιλανθρωπίαν, ἀνδρείαν, τἄλλα ἐξ ὧν δικαίως καὶ τὸ τῆς οἰκουμένης ἀνεζώσατο κράτος· τὸ δὲ γένος ὁποῖον; τὸ ἐπισημότατον Ἑλλήνων καὶ Ῥωμαίων τῶν τῇδε, ὃ καὶ εἰς κόσμου προσθήκην καὶ λαμπρότητα γέγονε τῇ πατρίδι, αὔξον παρ' ἑαυτοῦ τὰς αὐτῆς φιλοτιμίας, ἀλλ' οὐχ, ὃ τοῖς ἄλλοις συνέβαινε, τοῖς τῆς ἐνεγκούσης πλεονεκτήμασιν εἰς οἰκείαν φιλοτιμίαν προσχρώμενον. Τὰ μὲν γὰρ πατρόθεν Παλαιολόγοι πρόγονοι τῷ βασιλεῖ, γένος καὶ τῷ Θεῷ δι' εὐσέβειαν καὶ τὴν ἄλλην παντοίαν ἀρετὴν ἀναχείμενον, καὶ ἡρωϊκὸν ἄλλως

(1) B, π. Permutatio, quod sæpissime critici notavere, est frequens. Libanius t. IV, p. 1050: τὸν οἶνον ἢν πίνῃ τις μετείως, τὸ μὲν σῶμα ὤνησι, τὴν δὲ ψυχὴν οὐκ ἔβλαψεν. Quod conjecit Reiskius τὴν π, est in codice regio 1000.

(2) Est hic μεσότης, intervallum quo quid ab aliqua re alia separatur. Aliis verbis: οὐκ ἔστι μετρεῖν οὔτ' ἀριθμεῖν τὸ μέσον, οὔτω πολύ ἐστι.

καὶ ἀρετικὸν, μεγάλα γενναιότητος δείγματα ἔν τε πολεμικοῖς ἀγῶσι καὶ παντὶ τῷ παρεστῶτι ἐξενεγκόν· τὰ δ' ὅκ μητρὸς εἰς Δούκας ἀναφέρει τὸ γένος (1), ἐξ ὧν καὶ βασιλεῖς καὶ οἱ τὰ μεγάλα παρὰ βασιλέων δυνηθέντες παρήλθοσαν (2)· αὐτὸς δ' ὁ πατὴρ βασιλεὺς, καὶ βασιλέων τὸ μέγιστον ὄνομα, τοῦτ' εἶναι λαβὼν κἀκ τῶν τεπαίων, ἃ πολλὰ καὶ μεγάλα κατ' ἐχθρῶν ἐστήσατο, οὐχ ἥττον δὲ καὶ διὰ τὸ σὸν αὐτὸν ὑπάρξαι γενέτην. Τοῦτο γὰρ ὑπὲρ τὴν βασιλείαν αὐτὴν (3), ὑπὲρ τὰς νίκας, ὑπὲρ πᾶν μέγα κατόρθωμα, ἐπίσημον ἔδειξε· καὶ γὰρ καὶ Φίλιππος, μέγας ὢν, ἔτι μείζων δι' Ἀλέξανδρον γέγονε. Τοῦτο δὴ καὶ καυχήσεως αὐτῷ γέγονε στέφανος, καὶ εἰς τὸν τῆς εὐδαιμονίας ἀνεβίβασε κολοφῶνα, ἐπεὶ καὶ παραυτὰ τῆς σῆς γεννήσεως ἐπισημαίνεται Θεὸς, καὶ Ῥωμαῖοι τοὺς σοὺς γεννήτορας, οὕτως αὐτοῦ κελεύσαντος καὶ τὰ μήπω πρότερον αὐτοῖς διὰ σὲ χαριζομένου, βασιλεῖς ἀνεῖπον, καὶ τὰ μεγάλα διαπράξασθαι τῶν ἔργων τῷ πατρὶ καὶ βασιλεῖ αὐτίκα ἐπηκολούθησεν, ὡς μὴ χρησμολόγων μηδέ τινων ἐξηγητῶν τῷ πράγματι δεῖν, ἀλλ' εἶναι δῆλον ἐντεῦθεν ὅτι σου τὴν βασιλείαν καὶ τὰ παρόντα πόρρωθεν κυδαίνων Θεὸς, καὶ ἅμα πάντας ἐπιστρέφων πρὸς σὲ (4), μεγάλοις (5) σου τὰ γενέθλια καὶ δεξιοῖς τοῖς συμβόλοις ἐδόξασεν. Ἰταλῶν γὰρ ἥτταν (6) περιφανεῖς καὶ οἵαν οὔπω πρότερον, καὶ Περσῶν ἑτέρωθεν τηνικαῦτα συμ-

(1) Theodora enim ejus mater filia fuit Joannis Ducæ. Vide Cangii Familias Byzant. p. 234.

(2) Nolim verbum tale excidisse oratori elegantissimo.

(3) B, αὐτήν.

(4) Reg. II, 17, 3: καὶ ὑπηρέτω πάντα τὸν λαὸν πρὸς σέ.

(5) B, μεγάλα.

(6) Niceph. Gregoras IV, 1, 2.

βᾶσαι παρέσχον μὲν Ῥωμαίοις τὴν ἀμείνονα τῶν σφετέρων ᾠκηγυείζειν μεταβολὴν, παρέσχον δὲ ὡς ἐναργέστατα πεφορᾶν καὶ τὴν παροῦσαν κατάστασιν. Καί μοι δοκεῖ ὡς, εἰ ποιηταὶ (1) κἀν τῷ καθ' ἡμᾶς ἦσαν χρόνῳ καὶ τοῖς τότε γενομένοις παρῆσαν, παρῆκαν μὲν ἄδειν τὸ καθ' Ἡρακλέα, ὅτι δράκοντες αὐτῷ ἄρτι γεννηθέντι πεφσιόντες ἀπέθανον, ἥδον δ' ἂν μόνα τὰ κατὰ σὲ, θαυμάζοντες ἐκτόπως αὐτὰ καὶ τὴν ὅλην μουσικὴν ἐπ' αὐτοῖς (2) ἀναλίσκοντες, ὅτι σοι πρὸς τοῖς σπαργάνοις ὄντι πεφσῄει (3) μὲν δύο τὰ μέγιστα τῶν ἐθνῶν (4) σκοποῦντα βλάπτειν σου τὴν ἀρχὴν, πεφσιόντα δὲ κακῶς παραπώλετο, τῆς ἀγαθῆς σου τύχης διὰ τῆς πατρικῆς χειρὸς ἀντιταξαμένης αὐτοῖς.

Περιόνων μὲν οὖν τῶν σῶν ἀρετὰς καὶ (5) αὐτῶν δὴ τῶν πεφσεχῶς γεγεννηκότων βασιλέων κατὰ μέρος διεξιέναι, καί σε τοῖς πᾶσιν ἐμφῆναι οἷος ἐξ οἵων γεγέννησαι, συγγραφεῦσι καὶ τοῖς ἱστορίαν συντάττουσιν ἥπερ ἡμῖν οἰκεῖον (6) ἔργον εἶναι φημί· ἐπεὶ δ' οὐ συγγραφικὴ σπουδὴ τὰ παρόντα, ἐκεῖνο μόνον εἰπὼν μεταβήσομαι, ὅτι, μεγάλης ἄνωθεν τῷ σῷ γένει συνηργμένης εὐκλείας, τῶν ἄλλων ἁπάντων ὑποπεσόντων μεταβολῇ καὶ τὴν ἐπ' ἔλαττον κινηθέντων, τόδε μόνου τοῦ γένους οὐχ ἥψατο μεταβολή· τοὐναν-

(1) B, ὡς οἱ ποιηταί.

(2) B, ἐπ' αὐτούς.

(3) B, πεφσοῖ. Permutantur η et οι de more. Æsopica fabula de Phœbo et Jove: Θεοῖς Ἀπόλλων ἔλεγε, μακρὰ πτεύων· Οὐκ ἂν βάλοι τις πλεῖον, οὐδὲ πτεύσοι: malim retentam fuisse veterem lectionem, πτεύσει, conjunctis futuro πτεύσει et forma futuræ significationis ἂν βάλοι.

(4) B, τῶν ἐκ θεοῦ, et mox ἀνιπταξαμένοις.

(5) A, ἢ pro καί.

(6) B, ἥπερ οἰκεῖον. Deest μᾶλλον: cf. p. 45, n. 1.

τίον μὲν οὖν προβαῖνον ὥσπερ τῷ πλήθει, οὕτω δὴ καὶ δόξῃ προβεβηκὸς φαίνεται, καὶ μεῖζον ἑαυτοῦ γεγονὸς ταῖς προόδοις κατὰ τὴν (1) φύσιν τῶν ποταμῶν, οἳ τοσοῦτον αὐξήσεως προσλαμβάνουσιν, ὁπόσον δὴ τῆς γῆς πρεσβίασι καὶ χῶρον πλείονα παραμείβουσιν. Ἀλλὰ σύ γε καὶ θάλασσα καλῶν ἡμῖν ἐξ αὐτῆς γενέσεως μᾶλλον ἢ ποταμὸς ἀναπέφηνας (2), τοσοῦτον τοῦ τῆς προγονικῆς εὐκλείας ῥεύματος εἰς οἰκείαν οὐ (3) προσχρήζων φιλοτιμίαν, κἂν πρέσεσι καὶ μὴ χρήζοντι, ὅσον καὶ τοῖς προγόνοις τὸν τῆς δόξης στέφανον καὶ τὸ τῆς εὐδαιμονίας τέλειον ἐκ τῶν παρὰ σεαυτῷ προσεπέθηκας, ὑπερδοξάσας τὸ δεδοξασμένον καὶ πολὺ μᾶλλον (4) ἑαυτοῦ λαμπρότερον τὸ λαμπρὸν ἀποφήνας. Τίς γὰρ αὐτοῖς γένοιτ' ἂν μείζων φιλοτιμία, τίς σεμνότης, ποῖος εὐκλεέστερος καὶ μεγαλοπρεπέστερος κόσμος, ἢ τὸ ἐξ αὐτῶν σὲ, τὸ μέγα καὶ θεῖον ὄντως χρῆμα, φανῆναι; ᾧ καὶ παραχρῆμα γεννωμένῳ πάντα τῇ ἀρχῇ πρέποντα Θεὸς ἐχαρίσατο (5), ὡς εἶναι μηδὲν ἁπλῶς τῶν σῶν, ὃ μὴ βασιλέα σε σαφῶς ἐδόκει δεικνύναι, κἂν τῇ βρεφικῇ τοῦ σώματος ἁπαλότητι. Ὡς γὰρ οὐκ ἔστι μὴ φῶς εἶναι ὅ τι ἂν τοῦ φωτὸς ἀποτέμοις, οὕτως οὐδὲ τῶν σῶν τι, βασιλεῦ, οὐκ ἦν οὐδὲν εὑρεῖν, ὃ μὴ ἀρχικὸν ἔφησέ τις ἐκδήλως εἶναι καὶ γνησίως βασιλικὸν, ἐφ' ᾧ καὶ τὴν

(1) B, sine τὴν.
(2) A, ἀναπίφηνας.
(3) B, sine negatione.
(4) Hæc scribenti mihi in memoriam redit quem modo legebam Dionis Chrys. locus, t. 1, p. 547 : εἴ γε ἤδεις ὅπως διέκειτο πρὸς σὲ, πολλὰ ἂν μᾶλλον ἐνεγκωμίαζες αὐτόν. Malle se Reiskius declarat usitatiorem locutionem πολὺ, idque reperi in codice 2958, qui bene quoque ἐνεκωμίαζες exhibet.
(5) Cf. p. 324, n. 3.

κοινὴν μέγα φερνεῖν ἐφ' ἑαυτῇ φύσιν (1) οἶμαι, οἷς εὐθὺς οὕτως ἔχων χαρίτων περῆλθες.

Ἀλλὰ γὰρ μελῶν ἑκάστου τῶν σωματικῶν εὐφυΐαν καὶ τὴν πρὸς ἄλληλα τούτων εὐαρμοστίαν καὶ συμφωνίαν, καὶ τὸ ἐπανθοῦντοι καλὸν τῆς χροιᾶς, ἐξ ὧν δή σοι καὶ θαυμάσιον ὡς οὐ μαλακὸν, ἀλλ' ἀκριβῶς ἀνδρῶδες καὶ ἡρωϊκὸν, τὸ κάλλος συνίστατο, οὐδ' ἄν τις καὶ παριστάνειν ἱκανὸς ἔσται λόγος· ἀλλ', ὃν τρόπον τοῖς περὶ τοῦ μεγάλου φωστῆρος, εἰ καλός ἐστι, διαπορουμένοις ὀφθαλμῶν δεῖ καὶ ὄψεως θεραπεύειν τὴν ἀπορίαν, οὐχὶ δὲ καὶ λόγου (2), οὕτω δή που καὶ περὶ τούτου πρόσηκον λογίζεσθαι· παραδραμεῖν μὲν τὸν λόγον ἅτε μηδὲν πρὸς τοῦτο (3) δυνάμενον, παραλαβεῖν δὲ τὰς αἰσθήσεις τῶν ἀκουόντων εἰς πίστιν, καὶ δι' ἑαυτῶν αὐτοὺς πεῖσαι ἀναμφίλεκτον λαβεῖν τὴν ἀπόδειξιν. Καὶ γὰρ ἢν τῷ βασιλεῖ νῦν ἔξεστιν ἀτενίζοντας ὁρᾶν ὡραιότητα, αὕτη σοι τῷ μαθεῖν αἱρουμένῳ καὶ τὴν οὖσαν ἀρχῆθεν παρίστησιν, οὐκ ἄλλη τις οὖσα παρ' ἐκείνην, ἀλλ' ἀκριβῶς ἐκείνη, συνεπιδεδωκυῖα τοῖς λοιποῖς τοῦ καλοῦ σώματος (4) μέρεσι καὶ εἰς ὃ νῦν ὁρᾶται καθεστηκυῖα, δι' ὁμαλοῦς αὐτὴν καὶ ἴσης ἀναλογίας τῇ (5) ἐξ ἀρχῆς κινησάσης τῆς φύσεως.

Πλὴν ἔργον τοῦ κατὰ φύσιν εὐαρμόστου τοῦδε καλοῦ, οὐχ οἷον Ἑλλήνων παῖδες τὸ τῆς Ὀρφέως κιθάρας

(1) B, φησίν. Quod mendum peperit solennis vocalium η et υ permutatio, quarum similis est sonus. Inscriptio in Welckeriana Sylloge pag. 244 : Τοῦ δὲ καλοῦ πλώσας φησίξενε χύματα Νείλου. Conjecit vir d. γηθίξενα, erudite; conjicio verius, puto, φυσίξενα, scilicet, « Nili fluenta quæ pi» scium pariunt et reptilium pro» digia. »

(2) B, λόγον.

(3) B, πῦπον.

(4) A, sine σώματος.

(5) B, καθεστηκυῖα, ὁμαλοὺς α. κ. ἴ. ἀ. τῆς. Cf. p. 325, 7.

φασὶ, δι' ὑπερβολῆς τὸν λόγον πρὸς τὸ μυθῶδες ἐξάγοντες, οὐδ' οἷον αὖ τὸ τῶν Σειρήνων ποιοῦσιν (1). Ἐκείνη μὲν γὰρ θηρία θέλγειν ἠδύνατο, καὶ λίθους καὶ ξύλα, καὶ τὴν ἄλλην ἄψυχον φύσιν, ἀνθρώπους δὲ, καὶ τὰ δυνάμενα θέλγεσθαι, ἀγριαίνειν μᾶλλον ἐποίει καὶ χαλεπαίνειν, ὡς ἔδειξαν αἱ Θρᾷσσαι γυναῖκες αὐτὸν Ὀρφέα αὐτῇ μουσικῇ διαφθείρασαι· Σειρῆνες δὲ, κρατοῦσαι τῶν ἀκουόντων τῇ μελῳδίᾳ καὶ θέλγουσαι, ὅμως αὐτοὺς ἐπὶ τέλους ἀπώλλυον, τῆς σφετέρας ζωῆς ἀνοήτως τὴν ἐκείνων ᾠδὴν ὠνουμένους. Τοῦ δὲ σοῦ κάλλους ἔργον κηλεῖν τὰς ἁπάντων ὄψεις καὶ δι' αὐτῶν τὰς ψυχὰς, καὶ πείθειν πόρρωθέν σοι προσιέναι καὶ πόθῳ συνδεῖσθαι, καὶ τῆς ἐπὶ σοὶ καλλιτεχνίας τὸν ἁρμοστὴν θαυμάζειν Θεόν.

Καὶ γοῦν οὕτω χαείτων τῶν (2) ἔξωθεν, οὕτω καὶ κάλλους ἔχων εὐθὺς ἐξ ἀρχῆς, ἔτι μᾶλλον τὰ τῆς ψυχῆς παρεδείκνυς θαυμασιώτερα, κρυπτόμενα μὲν τέως καὶ συστελλόμενα τῷ τῆς φύσεως ἀτελεῖ, διαλάμποντα δ' ὅμως καὶ τότε, καθάπερ δι' ἐσόπτρου τοῦ ὁρωμένου καὶ οὐκ ἀμυδρῶς ἐμφαινόμενα. Οὐ γὰρ σθένει διὰ τέλους τὸ μεγαλοφυὲς τῆς ψυχῆς ἠρεμεῖν, οὐδὲ χρόνοις δουλεύειν τακτοῖς συστελλόμενον, ἀλλ' ἔστιν οὗ βίᾳ τὸ ἐπιπροσθοῦν ἐκτινάσσον, καθάπερ δὴ

(1) B, ποιοῦσι, omisso male ν ἐφελκυστικῷ.

(2) B, sine τῶν. Articulos et alias voculas sæpe omitti a librariis jam notavi. Libanius Epist. 494 : εἶχε λόγον, καὶ οὐκ ἦν ἔξω τῶν εἰκότων, τῷ μὴ λαβεῖν ἀλγήσαντα σιγῆσαι : cod. 1000 probabiliter, τὸ τῷ μὴ . . . Gregorius Cyprius Laud. maris p. 7 : ἐκ θαλάσσης τὰ πάντα καὶ αὖθις εἰς θάλασσαν καταρρεῖ : cod. 2629, καὶ αὖ εἰς τὴν θ. Ibid. p. 9 : τὰ μὲν πίνει ἄλλα τῶν ζώων, πρὸς τῷ ὑγροῦ μετέχειν, ἔστιν οὗ καὶ τῶν ἄλλων πρώτων σωμάτων μετέχει : codices 3010 et 2629 rectius, πρὸς τῷ τοῦ ὑγροῦ μετέχειν.

θερινὸν νέφος ἥλιος, διαυγάζει τοῖς μὴ πάντη τεθολωμένοις τὸν νοῦν, καὶ τῆς τελειότητος ἐναργεῖς τὰς εἰκασίας, καὶ περὶ τοῦ τὸν καιρὸν τῆς τελειότητος ἥκειν, παρέχεται. Τοιγαροῦν κἂν τοῖς βρεφικοῖς κινήμασιν ὁρᾶν ὑπῆρχε συνόντα καὶ τὰ πρεσβυτικά, καὶ τοῖς ἀθύρμασιν, ἃ δὴ ὁ χρόνος ἀπῄτει, σπουδὴ συνεκέκρατο, καὶ τὸ φέλλισμα βαθέος παντάπασιν οὐκ ἠμοίρει νοός, ἐν πάσῃ (1) δὲ φορᾷ τὸ εὐσταθὲς ἐκρατεῖ, κἀπὶ πάσης ἐνεργείας καὶ πράξεως ἐνίκα τὸ συνετόν, ἀπανταχοῦ τῶν ἔνδον πλεονεκτημάτων περαλλομένων τῆς ἡλικίας. Ὅθεν οὐδὲ διδασκάλου σοι Χείρωνος ἔδει (2) τὰ πολεμικὰ ἐκπαιδεύοντος, οὐδὲ γέροντος ἄλλου παρεμμαρτοῦντος, ὑφηγητοῦ μὲν τῶν λόγων, ὑφηγητοῦ δὲ τῶν ἔργων, ὁποῖον Ὅμηρος ἐκ τῆς Ἑλλάδος (3) τῷ Ἀχιλλεῖ φησὶ συνεκπλεῦσαι τὸν Φοίνικα· ἦν δέ σοι παιδευτὴς καὶ διδάσκαλος ἀποχρῶν, αὐτὸ δὴ τὸ εὖ πεφυκέναι, ὀξέως μὲν εἰς εὕρεσιν καθιστῶν σε τοῦ δέοντος, ὀξέως δ' αὖ καὶ μετιέναι τοῦτο καὶ ἀνύειν παρασκευάζον. Εἰ δ' ἄρα ποτὲ καὶ διδασκάλου ἐδέησε, τίς ἄλλος οὗτος ἦν, εἰ μὴ (4) ὁ μέγας βασιλεὺς καὶ πατήρ, ὃν ἔφην ἂν ἐγὼ καὶ ἀσφαλῶς εἶπον πάντας ὑπεραίρειν μεγαλονοίᾳ καὶ ἀγχινοίᾳ τοὺς κατ' αὐτόν, εἰ μὴ τὸ σὸν περσίζατο, παρὰ τοσοῦτον ἐκνικῆσαν (5), παρ' ὅσον ἐκεῖνος (πῶς ἂν εἴποιμι μετείως ἅμα καὶ εὐπρεπῶς;) περήκων ἦν χρόνῳ καὶ τῷ

(1) B, ἐν πᾶσι.

(2) Libanius Paneg. Constantis p. 282: ἐπρέφοντο μὲν, οὗπερ ἐπέχθησαν, ἐν βασιλείοις, ὧν οὐδὲ περιπυλαίοις ὁ παραβάλλων τὸ Χείρωνος ἄντρον σωφρονεῖ.

(3) B, sine ἐκ. Phœnicem Peleus filio comitem et magistrum dederat, Μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων, ut est in Il. I.

(4) B, εἰμί.

(5) B, ἐκνικήσας.

βίῳ πλείοσιν ἡμέρας ὡμιληκώς, ὥς', ἄλλων ἄλλο τι τῶν τῆς σῆς νεότητος θαυμαζόντων, τῶν μὲν τὴν ξένην καὶ χάριτος γέμουσαν τῆς ἡλικίας διάθεσιν, ἀνατρέχουσαν οὐ μόνον πρὸς ὕψος ἔρνεϊ, κατ' Ὅμηρον (1), ἴσην, ἀλλὰ καὶ πρὸς λόγον τοῦ ὕψους τὰς λοιπὰς διαστάσεις λαμβάνουσαν, ἐνταῦθα δὴ τῆς φύσεως, καθὰ δὴ καὶ τὸ ὁρώμενον μαρτυρεῖ, φιλοτιμότερον κινουμένης καὶ πᾶσαν εἰσφερομένης φιλοτεχνίαν, τῶν δὲ τὴν ἰσχὺν καὶ τὸ σφόδρα ῥωμαλέον τοῦ σώματος ὡς ὑπερφυῆ τε καὶ θαυμαστὰ καὶ περὶ τῆς ἡλικίας ἀπηντηκότα, ἑτέρων τὴν περὶ τόξα καὶ ἀφέσεις βελῶν κατὰ θηρίων καὶ τοῦ ἐν χρείᾳ παντὸς βληθῆναι παρὰ σοῦ δεξιότητα, ἄλλων τὴν περὶ ἱππασύνην, καὶ τὸ τινάσσειν αἰχμὴν καὶ ἀσπίδα περβάλλεσθαι καὶ φράσσεσθαι ὅπλοις, καὶ πολέμιον ἐπὶ παρατάξεως οὐ χαλεπῶς καταβαλεῖν, ἐπιστήμην, ταῦτα τῶν ἄλλων δικαίως ὑμνούντων καὶ θαυμαζόντων, οὐκ ἔστιν ὅτινι μᾶλλον ἐγὼ θαύματος νέμω τοῦ ἐν σοὶ τῆς αὐτόθεν σοφίας χαρίσματος. Σολομῶντος μὲν γὰρ θαυμάζεται καὶ παιδὸς ὄντος σοφία καὶ εὐθυδικία καὶ σοφή τινων ἀπόρων προβλημάτων διάκρισις· καὶ γὰρ πρὸς τοῖς ἄλλοις καὶ συγγραφέων προθύμων ἐτύγχανε, πάντα βουλομένων τὰ σκείνου ὥσπερ ἐφημερίδας ποιεῖν· σοὶ δ' εἰ παρῆν ἄοκνος συγγραφεὺς, νίκα καὶ ἀπαλώτερον πολὺ μᾶλλον εἶχες τὸ σῶμα ἢ ὅτε σκεῖνα Σολομῶν ἔκρινε, τάχ' ἂν παρῆλθε τοὺς σκείνου τῇ συγγραφῇ λόγους τε καὶ νοήματα, πλήθει τε καὶ ἀκριβείᾳ νικῶντα ἀπογραφόμενος.

(1) Homerus Il. Σ, 56, de Achille : ὁ δ' ἀνίδραμεν ἔρνεϊ ἶσος.

Ἀλλὰ ταῦτα μὲν ἦν καὶ πρὸ τοῦ ἐς μέτρον ἥβης ἐλθεῖν· ἐπεὶ δ' εἰς τοῦτο προήκεις, παρεγυμνοῦτο μὲν τὸ τῆς ψυχῆς εὐγενὲς καὶ τὰ τῶν λογισμῶν ἰσχυρὰ διεφαίνετο, συνεπεδίδου δὲ καὶ τὸ περὶ σὲ θαῦμα καὶ μᾶλλον ἥπλετο τῶν ψυχῶν, ἀνήπλετο δὲ ὁ λαμπρὸς ὁ ἔρως, τὰ δὲ τῶν ἐλπίδων Ῥωμαίοις ἐπλατύνετο, καὶ πᾶσα δυσχερὴς φύσις τῇ μεγάλῃ τῶν μελλόντων ἐπεκυφίζετο προσδοκίᾳ. Φιλανθρωπίαν γὰρ μετὰ τῶν ἄλλων ἐδόκεις καὶ σπλάγχνα οἰκτιρμῶν ἐνδεδύσθαι, καὶ ἐνεδέδυσο, ἐκάμπτου τε συμφορᾶς (1) τοῦ γένους, ὅσον οὐδ' ἂν οἱ περιπεσόντες αὐτοί· κἂν ἔτυχέ τις ὑπ' εὐθύνην γενόμενος, εἶτ' ἐρρύσθη τῆς καταδίκης, μᾶλλον ἐγεγήθεις ἐπ' αὐτῷ καὶ ἡδονῆς ἐπλήρου ἥπερ οἱ γένει (2) προσήκοντες.

Ταῦτα τὰς Ῥωμαίων ἐλπίδας ἀνύψου καὶ μεγάλας ἐποίει· ταῦτα πρὸς εὐχὰς αὐτοὺς τὰς (3) ὑπὲρ σοῦ διανίστα, καὶ παρὰ ταῦτα ἡ προμήθεια καὶ τὸ μέγα τῆς συνέσεως χρῆμα, ὧν ἐν τοῖς μεγίστοις τὸ σὸν γένος ἀπώνατο. Οὐ γὰρ ἦν ὅπου τῷ πατρὶ παρεδρεύων, καὶ σκέψεως περὶ πολεμικῶν προκειμένης ἀγώνων ἤ τινος ἑτέρου τῶν ἀναγκαίων, οὐχὶ καὶ γεόντων στρατηγῶν ἐμπειρίαν καὶ σοφῶν ἄλλως βουλευτῶν ἐνίκας φρόνησιν, καὶ τὴν καλλίστην εἰσέφερες τῶν γνωμῶν καὶ ἡ μάλιστα τοῖς κοινοῖς βοηθεῖν εἶχε πράγμασιν. Ὅθεν καὶ τρόπαια καὶ νίκας ἐκείνας, ἃς ἀπανταχοῦ τῆς Ἰλλυριῶν γῆς, καὶ Πελοποννήσου καὶ Ἀκαρνανίας, καὶ αὖ Ἀσίας καὶ Φρυγίας, καὶ τῆς πρὸς Μαίανδρον Καρίας (4), αἱ χεῖρες Ῥωμαίων εἰργάσαντο, ἐρεῖ μέν ἄν τις αἴτιον

(1) B, ἐνέδυσο, ἐκάμπτν τ' σ.
(2) B, γένη.
(3) B, sine articulo.
(4) B, sine Καρίας.

μετά γε Θεὸν τὸν βασιλέα καὶ πατέρα τὸν σὸν αὐτὰς ἐσχηκέναι· οὐ μὴν ἀλλὰ καί σοί γε (1), θεῖε βασιλεῦ, ὀδαμῶς ἥττον ἢ τῷ πατεὶ τὴν αἰτίαν τούτων προσεπιγράφεται, σκοπῶν οὕτωσί· διημέρευε βουλευόμενος (2) ἐκεῖνος; συνδιημέρευες· νύκτας ὅλας προσεδαπάνα τῇ σκέψει; προσεπαννύχιζες· ἐμεριζετο ταῖς φροντίσι; συνεμερίζου· καὶ τοσοῦτόν γε (3) δὴ τῇ νεότητι ῥᾳῴνης ἐδίδους, ὁπόσον οὐδεὶς ἑκὼν ἑαυτῷ τὰ μέγιστα ταλαιπωρεῖν τε καὶ πόνων προσνέμοι (4).

Οὐ μέχρι δὲ τούτων ὑπὲρ Ῥωμαίων καὶ τοῦ θεόθεν σοι κλήρου τὸ κηδεμονικὸν ἐπεδείκνυσο, οὐδὲ μόνον, ἐν τοῖς βασιλείοις καθήμενος, διὰ πολλοῦ τοῦ μέσου τὴν ἐπικουρίαν παρεῖχες τοῖς πράγμασιν, ἀλλὰ δὴ καὶ ἀπαίρων, καὶ πολλάκις ἀπαίρων, καὶ τοῖς καθ' ἕκαστα καὶ μάλιστα τοῖς ἐν χρείᾳ οὖσι βοηθείας ἐφιστάμενος, παρεῖχες μετὰ πολλοῦ τοῦ περιόντος τὴν ἀρωγήν, καὶ ὡς ἱκανῶς ἀνελάμβανες. Ἔχει πολλά σου τῆς προνοίας καὶ παρουσίας ἡ τοῦ ἁγίου Φιλαδελφείας (5) περί-

(1) B, σό γε. Est in verbis σοί γε θεῖε soni quædam parilitas, quam ut concinnam et elegantem quæsivit forsan orator.

(2) B, βυλόμενος.

(3) B, ποσοῦτό γε.

(4) A, προσνέμει. Permutatio solennis. Julianus Epist. 42 : εἰ δὲ ἐν τοῖς μεγίστοις ἄλλο μὲν φρονοίη τις, ἐπ' ἀναιτίοις δὲ ὧν φρονεῖ, διδάσκει, πῶς οὐ τοῦτο ἐκεῖνο κατηλῶν ἐστίν; Velim διδάσκοι, quod cum φρονοίη conveniet. Heliodorus II, 13 : τό τε ξίφος ἐπανεπίνετο ὡς παπάζων, εἴ τι παραλογον ἐγχωρεῖν : mutetur ὀπχιφεῖν in ὀπχωρεῖν, quod exhibet codex Venetus 409.

(5) B, Φιλαδελφίας. Urbis nomen per diphthongum melius scribitur. Quid mirum toties ι et ει in codicibus permutari, quum id mendi vel in marmorum auctoritate publica propalam positorum inscriptionibus reperiatur? verbi causa, in marmore apud Viduam tab. XIV, et in Welckeri Sylloge pag. 229, ubi διακρεῖναι, πρεσπγίνειαν. Sed quum inscriptionis hujus meminerim, corruptos ejus duos versus emendare conabor. Digredimur; sed

χωρος καταρθώματα διηγεῖσθαι· ἔχει δὲ καὶ Μυσία καὶ Μηονία καὶ τὰ ἄνω Λυδίας, οὐκ ἐλάττω δὲ καὶ Ἰωνία καὶ ἡ περὶ ταύτην Ἀσία· οὐ γάρ ἐστιν, οὐ πόλις (1), οὐ χώρα, οὐ τόπος τις ἄλλος ὃς, ἀπολαύσας σου παρόντος, οὐχ ἅμα καὶ τῶν καλῶν ἑνὸς συναπολαύσας ἐφάνη. Ἢ γάρ φεύγοντας τοὺς ὁμόρους εἶδε βαρβάρους, ἢ σφαττομένους ἢ ἁλισκομένους, ἤ τι παραπλήσιον πάσχοντας, καὶ τὴν ἐκείνων ἐπαινήσεισε συμφορὰν, ἢ πόλισμά τι ἐδέξατο καὶ τῆς καταδρομῆς ἀπηλλάγη, ἐχυρότερος ἑαυτῷ καὶ ἀσφαλέστερος γεγονὼς, ἢ στρατιωτὴς πεπελήφθη (2) φρουρᾶς, καὶ τοῖς ἐθέλουσιν ἐπὶ λύμῃ τρεπόμενα φοβερώτερος γέγονεν, ἤ τι ἕτερον σωτηρίας ἐχέγγυον ἔσχε, καὶ τὴν θαυμαστὴν περὶ πάντα κηρύττει σου τρόπαια. Καὶ γάρ ὅπερ αἱ σκιαὶ πάσχουσι, τρεπόντος ἡλίου, τοῦτ' ἀτεχνῶς, ὡς μόνον τρεπήγιζες, πᾶσα βαρβαρικὴ σύστασις ἐφαίνετο πάσχουσα, σκεδαζομένη καὶ λυομένη καὶ τὴν παρουσίαν οὐ φέρουσα.

is meus est mos. Prior sic fuit restitutus a viro doct.....Υἱῆ· τὸ κέλομαί σι, Θεάριλος, ἡγέτα λαοῖο, qui coalescere in λαοῖο dicit α et ο: quod vix placere potest, præsertim quum in ipso marmore nitide legatur, ΗΓΕΤΑΟΛΟΙΟ. Inde quam facile rescribendum est, ἡγέτα ὁδοῖο, scilicet ἡγέθ' ὁδοῖο! Thearilus iste dux erat theoriæ quæ Pergamo Apollinis oraculum consultum erat profecta. Mox jubet oraculum quatuor institui civium classes, Τῶν ἡ μὲν Κρονίδην ὕμνῳ..... Ἡ δ' Ἀσκληπιὸν ἄλλη, ἐμὸν φίλον υἱέα, πμᾷ. Verbum πμᾷ est viri d. restitutio. Marmor reliquias tantum ΙΗΙ exhibet. Nondum mihi persuasit vir d. ΤΙΜΑΗΙ fuisse scalptum; verosimilius, ni fallor, conjicio pristinam fuisse lectionem, ΜΕΛΠΗΙ, μέλπῃ, quod cum ὕμνῳ amice omnino conspirat.

(1) B, οὐ πολλάκις. Verum esse πόλις firmari potest nota 3, pag. 256, ubi de junctura vocum πόλις καὶ χώρα egi.

(2) Malim πεπελείφθη: « milites relicti sunt in castellis ac » præsidiis. »

Ἀλλὰ τὰ μὲν εἰρημένα ταῦτα τῆς τοῦ βασιλέως, τοῦτο μὲν ἀνδρείας, τοῦτο δὲ κηδεμονίας, τεκμήρια πόρρω τοῦ νῦν ἐστὶ, καὶ εἰ μὴ πολλοῖς πρότερον ἔτεσι γέγονεν· ἃ δ' ἐγγύτερον ἐστὶ κ᾽ τῶν ἀκουόντων ὥσπερ ὀφθαλμοῖς (1), ἐβουλόμην (2) τὸ τῶν ποιητῶν ἅπαν σύνταγμα πεμεῖναι τῷ βίῳ, κἀκείνοις συμφρονήσασι κ᾽ μίαν ἁρμοσαμένοις φωνὴν παραχωρῆσαι περὶ τούτων εἰπεῖν· τάχα γὰρ ἔδοξαν ὁπωσοῦν τῇ φύσει πρησιέναι τῶν ἔργων, ὥσπερ ἐρέανου φορὰν ποιησάμενοι κ᾽ συνεισενεγκόντες τῷ λόγῳ, ἄλλος ἄλλο τι τούτῳ μεγαληγορίας ἐμπεπνευκότες ποιητικῆς κ᾽ δυνάμεως. Ἐμοὶ δ', ὁπότερον ἄρα καὶ δράσαιμι, οὐκ ὀλίγον φοβεῖσθαι παρίσταται. Δέδοικα γὰρ μὴ, φθεγξάμενος, θρασύτητος ἔγκλημα κ᾽ ἀπονοίας, ἔτι δὲ κ᾽ ἀμαθίας, ἀποίσομαι, εἰ σμικρῷ κ᾽ χαμαιπετεῖ λόγῳ ἔργων ὑπερβάλλον ἀξίωμα ταπεινώσω, δέον τοῖς ὑψηλοῖς τὸν ὑψηλὸν πρησιέναι, οὐ μὴν καὶ τὸν (3) ἄλλως ἔχοντα καὶ ὃς, εἰπεῖν τολμήσας, εἰς ἀδοξίαν τῶν πρηχειμένων ἐρεῖ. Δέδοικα πάλιν, σιγήσας, τὰς τῆς ἀγνωμοσύνης ἑτέρωθεν ἀναπηδώσας αἰτίας· ἀγνωμοσύνη γὰρ ἀληθῶς, εἴ τις κ᾽ ὁπωσοῦν φθέγγεσθαι δύναται, εἶτα σιγῇ παρέρχεται ἃ μὴ θέμις σιγᾶν. Τῶν οὖν δύο τοὐλάττον ἑλόμενος φοβερὸν (μέγα γὰρ ἀγνωμοσύνη κακὸν καὶ μεγάλα ταύτης τἀπιτίμια), τοῦ λόγου γενήσομαι· πάντως δὲ συγγνωσθήσομαι, εἰ, πᾶσαν εἰσφέρων σπουδὴν ἐφαμίλλους τοὺς λόγους τοῖς ἔργοις ἐνδείξασθαι, ἄκων διαμαρτάνω σκοποῦ.

Ἤδη μὲν οὖν τὸν ἐμὸν βασιλέα τὰ κατὰ τὴν

(1) A, sine ὡν.
(2) Post ἐβουλόμην periisse ἂν videtur. Jam de poetis, p. 367, 4.
(3) B, πῶν.

Ἀσίαν εὖ διατιθέμενον καὶ, μικρῶ δεῖν, εὖ διαθέμενον, ὁ πατὴρ καὶ βασιλεὺς πρὸς ἑαυτὸν καὶ τὴν Εὐρώπην μετεκαλεῖτο, σκέμματά τινα τῶν ἀναγκαιοτάτων καὶ πράξεις, οἷα πολλὰ καὶ πολλάκις τὴν βασίλειον ἀρχὴν περιίσταται, πρόφασιν ἔχων τῆς μετακλήσεως. Μετεκαλεῖτο γοῦν, καὶ αὐτὸν ἡ τῆς οἰκουμένης ἀκρόπολις ἥδε (1) καὶ μεγαλόπολις εἶχε. Καὶ τότε πρὸς τὴν τοῦ βασιλέως διάβασιν ἐπαίρεται τὸ τὴν ἡμετέραν Ἀσίαν περικαθήμενον Περσικὸν γένος, ἔκσπονδον τοῦτο Θεῷ, ἔκσπονδον δὲ καὶ ἀνθρώπων τοῖς γνησίως Θεῷ προσανέχουσι, καὶ ἐπηρμένον συνίσταται, καὶ ἀναθαρσεῖ συσίαν, καὶ ὅπλων ἅπλεται, καὶ τοῦτο μὲν λησταῖς, τοῦτο δὲ καὶ σκιρτοῖς χρώμενον, πολύς τε ὢν ἀριθμὸς (2), καὶ πολλαχόθεν περιβάλλον, ὀχληρὸν εἴ πέρ ποτε καὶ λυπηρὸν τοῖς ἐν Ἀσίᾳ καθίσταται. Ἀλλὰ διαβαίνεις πρὸς τούτους, καὶ πάλιν, ὦ βασιλεῦ, σφοδρότερος τοῦ συνήθους καὶ οἷόν τι τῶν ἐξ οὐρανοῦ βελῶν, θυμοῦ δικαίου κινοῦντος, ἐμπίπτεις αὐτοῖς· καὶ τότε τὸν οἰκεῖον ἐπιγινώσκουσιν ὄλεθρον, καὶ τότε ὡς ἐπὶ κακῷ τῶν στρατέρων κεφαλῶν τὴν πεῖραν τῶν ὅπλων ἐτόλμησαν.

Ἀλλὰ γὰρ πολλά σοι τῶν ἐν μέσῳ σιωπῇ παρελεύσομαι, βουλὰς, ἐπινοίας, φροντίδας, νύκτωρ καὶ μεθ' ἡμέραν οὐ διαλειπούσας, ὁπλίσεις, παρασκευὰς, μεταβάσεις πρὸς τὸ χρῆζον ἀεὶ βοηθείας, ἐνέδρας, λόχους, ἐπιθέσεις, τὰς μὲν ἐκ τοῦ ἀφανοῦς, τὰς δ' ἐκ τοῦ παφανοῦς, ὡς ἂν ἐδόκει συνενεγκεῖν μετιοῦσιν (3),

(1) B, ἡ δέ.
(2) Codd. πολύς τι ὢν ἀριθμός. A, e correctione ὅτ.
(3) B, συνεγκεῖν μετόντας. A, σ. μετοῦσιν, et in margine, καὶ μετόντας.

εἰσηγήσεις τοῦ πῶς μετιτέον τὸν πόλεμον, καὶ οὐ παρακλήσεις πρὸς πόλεμον, τἄλλα (1) ὅσα σε στρατηγῶν τὸν ἄριστον παριστάνειν εἶχε καὶ τελεώτατον. Ἐκεῖνο δὲ μέγα σύμβολον ὂν ἀγάπης τῆς πρὸς ἡμᾶς, ἐλπίδος τῆς πρὸς Θεὸν, καὶ ἔτι γενναιότητος (2), ἀνδρείας, παρακλήσεως, ἁπάντων τῶν καλλίστων, λέγειν οὐ παραιτήσομαι, ὅτι καὶ τὴν στρατιὰν οὐκ ἐξέπεμπες (3), ἀλλ' αὐτὸς ἦγες στρατηγῶν νόμῳ, καὶ τῆς παρατάξεως στρατιωτικῶς καὶ τῆς μάχης μετείληφας (4), καὶ τὸν τῆς συμπλοκῆς τόπον ἀπὸ Περσικῶν αἱμάτων ἐμέθυσας. Τοῦτο μὲν οὖν σοῦ (5) τὸ ἔργον ὁ μεταξὺ Λυδίας καὶ Ἰωνίας ἔγνωκε τόπος· ἄλλο δὲ περιφανέστατον καὶ αὐτὸ ἡμέρας ὕστερον οὐ πολλαῖς περί που Λαοδίκειαν πέπρακται, καὶ πρὸ τούτων οὐκ ἔλαττον τούτων ἕτερον ἡ Φιλαδέλφου πόλις ἄγχιστά πη ἑαυτῆς γεγενημένον ἑώρακεν. Ἀπήλαυσε δὲ τοιούτων οὐκ ὀλίγων καὶ ἡ πέραν Μαιάνδρου Καρία· καὶ Ἰωνίας δὲ τὸ μεσαίτατον πολλῶν ἄλλων ἀπήλαυσεν, ὅπου καὶ πολὺς ῥέων ὁ Κάϋστρος (6) ὅμως τὸ ῥόθιον ἐξ αἱμάτων ἔβαψε Περσικῶν· ἡ δέ γε πρὸς Ὄλυμπον Φρυγία, εἴτουν Μυσία, μέγαν Περσῶν στράτευμα δεξαμένη, μέγα καὶ τὸ κατ' αὐτῶν τοῦ βασιλέως εἶδεν σκνίκημα. Συνελόντα δὲ φάναι, διαβὰς εἰς Ἀσίαν, καὶ καθαίρων σὺν βαρβάρων ταύτην, ὁ βασιλεὺς χρανθῆναι τρόπον (7) ἄλλον αὐτὴν βαρβαρικοῖς λύθρῳς πεποίηκε.

Πολεμικαὶ μὲν οὖν πράξεις αὗται τοῦ βασιλέως,

(1) B, μετιτέον τὸν πόλεμον, τἄλλα, mediis omissis.
(2) B, γενναιότατος.
(3) B, στρατιὰν οὐκ ἐξέπεμπον.
(4) B, καταίληφας.
(5) B, σε.
(6) B, καΐστρος.
(7) B, τόπον.

καὶ τὰς πολείους παρῆκεν ὁ λόγος, τὸ μῆκος ὑφορώμενος· αἱ δ' αὐταὶ καὶ τῆς ὑπὲρ ἡμῶν προνοίας ἐναργεῖς ἀποδείξεις. Ἔχεται δὲ τῆς αὐτῆς προνοίας καὶ ἡ περὶ τὰ φρούρια πόλις, οἷς δὴ παμπόλλοις τὰ καίρια διειληφὼς τῆς χώρας, τὰς ἐφόδους Περσῶν ἀπετείχισε. Πρὸ δὲ τούτων ἐκεῖνο μέγα κηδεμονίας τεκμήριον καὶ τοῦ πᾶν ἀγαθὸν Ῥωμαίοις τὸν βασιλέα καὶ βούλεσθαι καὶ εἰς δύναμιν πραγματεύεσθαι, ὅ με (πῶς; οὐκ οἶδα) μικροῦ καὶ διέδραμεν (1), ὅν γε καὶ ταῦτα τοσοῦτον, λέγω δὴ ὁ τῶν μεγάλων Τραλλέων τειχισμός.

Ἦσαν μὲν (2) οὖν αἱ Τραλλεῖς πόλις ἐν καλῷ τῆς Ἀσίας κειμένη, μεγέθους τε μείζονος ἢ κατὰ τὰς πόλεις ἀπολαύουσα (3), καὶ περιφανὴς ἐν ταύταις ὑπάρχουσα· ἦσαν δὲ πάλαι ποτέ, πρὶν δηλονότι τὸν πάντα μεταβάλλοντα χρόνον καὶ αὐτὰς φθεῖραι μεταβαλόντα καὶ τοῦ ἀριθμοῦ ἐξῶσαι τῶν πόλεων, τείχη τε καθελόντα, οἰκίας τε ἀνατρέψαντα, κἀκ τῶν ἐρειπίων μόνων γνωρίζεσθαι καταλείψαντα (4). Ἀλλὰ

(1) B, non ὅ με, sed ὅμως. — Nota hæc est oratorum formula. Aristides t. I, pag. 23 : ἔοικα δὲ παρωθήσειν, ὅ με ἀρπῶς διέφυγεν, ὅπ καὶ τὰ ταυπκὰ Ἀθηνᾶς ἦν. Libanius t. III, p. 294, loco non sollicitando : ὅ δέ με μικρῷ παρῆλθε. Julianus Orat. I, p. 14, τὸ μέγιστον δὲ μικρῷ με διέφυγεν εἰπεῖν : in quibus displicet adjectivorum μέγιστον et μικρῷ oppositio. Nic. Gregoras Hist. v, 5, 9 : ἀλλ' ἐκεῖνο μικρῷ με παρέδραμεν.

(2) De Trallibus ab Andronico instauratis vide Nicephor. Gregoram Hist. v. 5, 8, ubi in notis Boivinus hunc Gregorii locum, ab ἦσαν μὲν ad ἐν πόλεσιν ἐκείναις, e codicibus protulit. Quadriennio nondum elapso urbs, mala ave restituta, fuit a Turcis expugnata; de qua quum orator loquatur ut inter civitates numeranda, manifestum est hanc orationem circa a. 1282, vel 1283, fuisse habitam.

(3) A, sine πάς. B, ἀπολαβοῦσα.

(4) Cf. supra p. 347, 4.

μέχει σῦ, βασιλεῦ, ταῖς Τρόλλεσιν ἡ φθορὰ καὶ τῷ χρόνῳ ἡ καύχησις· νυνὶ δὲ διὰ σῦ πάλιν ἐν πόλεσιν ἐκεῖναι, οὐ κατὰ φιλοτιμίαν τῦ (1) πόλεως τοσαύτης οἰκιστὴν ἀκούεσθαι βούλεσθαι (οὐδὲ γὰρ ἐραστής γε σὺ κενῆς δόξης, ὅδ' ἐθέλεις ἐπὶ γῆς, κατὰ τὸς μὴ ἔχοντας ἐλπίδα (2), μέγα κτήσασθαι ὄνομα), ἀλλὰ κατὰ χρείαν φεύγας τῇ Ἀσίᾳ καὶ τῦ μόνον ταύτῃ συμφέροντος. Ἀνιστᾶς οὖν αὐτῇ (3) καὶ, δι' αὐτῆς, τῇ πάσῃ σχεδὸν Ἰωνίᾳ λαμπρὸν τὸν περίβολον, ἀποδίδως καὶ τὴν ἄλλην ὅσῃ πόλεως ἐστιν εὐπρέπεια, καὶ οἰκήτορας αὐτῇ πλῆθος ἀποχρῶν ἀπονέμεις, ἀριστίνδην τούτου τὴν ἐπιλογὴν οὐκ ἐκ μιᾶς πόλεως, ἐκ δὲ πολλῶν ποιησάμενος, ὄχ ἵνα μόνον τῆς δεχομένης, ἀλλὰ καὶ τῶν ἐκπεμψασῶν ὦσι φύλακες.

Ἀρετῶν μὲν οὖν τῶν ἄλλων τοιαῦθ' ὁ βασιλεὺς ἐξενήνοχε δείγματα καὶ ἔτι γε τελεώτερον ἐξενέγκοι προϊὼν τῷ χρόνῳ καὶ δυνάμεις πολλὰς ποιούμενος ἐν Θεῷ· τί δὲ περὶ τῆς πρώτης καὶ μεγίστης τῆς κατ' αὐτὸν, εὐσεβείας δὴ λέγω, τί περὶ ταύτης ἐρεῖς; ἔχεις ὑπερβολὴν ταύτης δεικνύναι; ἔχεις εἰπεῖν ὡς ἦν ποτε τῦδε τῦ ἀγαθῦ ἡ φύλαξ ἀκριβέστερος, ἢ ζηλωτὴς θερμότερος, ἢ κήρυξ τρανότερος; Καὶ τίς ὁ ἐπαναγαγών σε παρασυρόμενον πρὸς ἃ μὴ θέμις εἰπεῖν (4); τίς ὁ πρὸς Βαβυλῶνα καὶ τοὺς Ἀσσυρίους

(1) B, τῆς. Forsan, utroque recepto articulo, τῦ τῆς πολ.

(2) Forsan, ἄλλην ἐλπίδα, ὑψηλοτέραν καὶ μείζω ἐλπίδα, vel tale aliquid.

(3) A, αὐτὴν, quod nec malum omnino esse videtur.

(4) Innuit Gregorius tempus quo opinionem Latinorum de processione S. Spiritus tuebatur. Huc etiam sequentia adludunt, et in primis ubi ἐξ ἑῴας πρὸς δυσμὰς ἢ πὶν ἐκεῖ ζόφον φερόμενον se ait.

αἰχμάλωτον ἀπαγόμενον εἰς Ἱερουσαλὴμ ἀνασώσας; μάλιστα δὲ τίς ὁ ἐξ ἑῴας πρὸς δυσμὰς (1) καὶ τὸν ἐκεῖ ζόφον βίᾳ φερόμενον μεταβαλεῖν ποιήσας ἐξαίφνης τὸν δρόμον, τὴν πρὸς φῶς καὶ πάλιν κινεῖσθαί σοι δοὺς καὶ τὴν ἀκίνητον ἐν αὐτῷ χαρισάμενος ἵδρυσιν; οὐχ ὁ νέος οὗτοσὶ Ζοροβάβελ (2), ὁ τὴν ἀλήθειαν καὶ φιλήσας καὶ τιμήσας καὶ ἰσχυρὰν ἀνομολογήσας, καὶ τὴν μεγάλην Ἱερουσαλὴμ, εἴτουν τὴν ἐκκλησίαν, ἀνοικοδομήσας; ὁ τὸν πύργον σου τῆς ὁμολογίας διασειόμενον, καὶ εἰς γόνυ πεσεῖν κινδυνεύοντα καὶ μικρὸν γε πεσόντα, ἑδράσας πάλιν καὶ ὀρθὸν στῆναι ποιήσας, καὶ ἀκλινῶς πρὸς οὐρανὸν ἀνατείνας, τὸν μεγάλαυχόν σου πορθητὴν (3) διασείσας καὶ καθελὼν, καὶ αὐτοῦ τὰ σκεύη μεγάλῃ φλογὶ (4) παραδούς; Βουλὴν μὲν οὖν ἐποιήσαμεν, καὶ ὁ διὰ Θεοῦ, καὶ συνθήκην, καὶ ὁ διὰ τοῦ πνεύματος αὐτοῦ (εἰς καιρὸν ὁ θεῖος Ἡσαΐας (5) λεγέτω), καὶ δέκα ἑξῆς ἔτη ὀπίσω τῆς διανοίας ἡμῶν ἐπορεύθημεν, ἐξ οὗ καὶ παραβολὴ καὶ ὄνειδος καὶ χλεύη καὶ μυκτηρισμὸς τοῖς ἔθνεσι καὶ κύκλῳ ἡμῶν ἐγεγένειμεν (6)· ἡ δὲ βουλὴ (φεῦ τῆς αἰσχύνης!) τὰ καλῶς κείμενα κινεῖν καὶ ὅσα μεταίρειν ἃ ἔθεντο οἱ πατέρες ἡμῶν, ἵνα τί γένηται; ἵνα τὴν γῆν βεβαίως οἰκήσωμεν (7) οἱ

(1) B, ἐξώσας πρὸς δυσμόν.

(2) Notum ex libro primo Esdræ Zorobabel præcipuum Israelitarum ducem eos e captivitate Babylonica Jerusalem reduxisse, atque ibi templum ædificasse. Et esse scriptoribus christianis Jerusalem ecclesiæ symbolum quis ignorat?

(3) Ille πορθητὴς fidei Gregorianæ est Vecci, puto, allegoria, qui, quum Latinis faveret, fuit ab Andronico missus in exilium.

(4) Igni traditum fuit Vecci volumen: vide Veccum Orat. de injusta sui depositione pag. 29.

(5) Isai. XXVIII, 15.

(6) Cf. supra p. 343, 1.

(7) B, οἰκήσομεν. Illa non plane intelligo. Voluitne innuere se

πρὸς οὐρανὸν ἐπείγεσθαι κελευόμενοι. Εἶθ', ὡς ὅ τοῦτο προέβαινεν, ἀγαπητὸν δὲ καὶ εἰ μὴ τοὐναντίον, σκωλῶντος ἡμᾶς τοῦ Θεοῦ καὶ σμικρύνοντος καὶ αὐτὸν ζητεῖν σκπαιδεύοντος ὑπὸ τῶν συμφορῶν νοθευομένους καὶ καμπτομένους, δευτέρα τῆς τολμῆς ἀφορμή· ἐδόκει γὰρ ἤδη κ᾽ διὰ κενῆς ἀνομεῖν (1), ἵνα, φησὶ, καθαρώτεροι τὸ σέβας ὦμεν τοῦ λοιποῦ καὶ τὴν λατρείαν ἀμώμητοι· οἱ (2) τῆς ὑγιαινούσης, εἰπέ μοι, πίστεως ἀκριβωταὶ καὶ πρὸς πάντα τὰ ἔθνη διδάσκαλοι; οἱ τῶν ὀρθῶν δογμάτων πατέρες; οἱ παρασχόντες τοῖς πρὸς οὓς ἐξεβιαζόμεθα μετατεθῆναι, οὐ μόνον δὴ νόμων τῶν θείων ἀκρίβειαν, ἀλλὰ καὶ παιδείας ὅλως γνῶσιν, καὶ τὸ τῆς ψυχῆς αὐτῶν ἅμα καὶ γλώττης βάρβαρον τῇ εὐεργεσίᾳ ταύτῃ καὶ μετουσίᾳ τῶν λόγων ἐξευγενίσαντες; Πλὴν οὕτως ἐδόκει, καὶ κατὰ τὸ δοκοῦν ἐτελεῖτο. Κἀνταῦθα σύ μοι σκόπει τὸν βασιλέα· ὅρα πῶς ὁ ζῆλος τοῦ νόμου Κυρίου καὶ τῆς ὕτω παρεωραμένης διαθήκης κατήσθιε (3), πῶς, ὅτι μὴ βοηθεῖν εἶχε, μηδὲ τὸ κακὸν ἀνασέλλειν ἀκάθεκτα φερόμενον καὶ ψυχῆς ἁπάσης ἀπλόμενον (4), πενθῶν καὶ σκυθρωπάζων, κἂν μὴ ἐδόκει, τὸν βίον δῆγεν, ἐπεὶ καὶ πῦρ ὑποσμύχειν ἐν τοῖς σπλάγχνοις ἐδόκει, καὶ αὐτὴν ὑπ' αὐτοῦ τὴν καρδίαν ἀλίσκεσθαι.

rerum terrenarum causa Latinis favisse, scilicet ut Michaeli Palæologo, cui placebant, placeret?

(1) Psalm. XXIV, 8.

(2) A, εἰ, si bene legi. Locus est vitiatus. Forsan, ἢ οἱ, ut ἢ sit comparativi καθαρώτεροι consequentia. Sententia erit ironica et cum interrogatione pronuncianda, cujus signa, quæ apposui, codices exhibent. Φησὶ indicare videtur appositas esse voces adversarii, Vecci forsan.

(3) Johann. Evang. II, 17.

(4) B, ἀπλόμενοι. Veros animi sensus, vivente Michaele Palæologo, celaverat Andronicus: cf. Nic. Gregoras VI, 1, 2.

Τίς καὶ πόθεν τούτων ἡ πίστις; ἐξ αὐτῶν δὴ τῶν νῦν ὁρωμένων. Ὡς γὰρ τοῦ βοηθεῖν κύριος γέγονε (1), βαβαὶ τῆς σπουδῆς καὶ τοῦ τάχους! οὐκ ἤνεγκε σχεδὸν ἀναπνεῦσαι πρὶν τὴν εὐσέβειαν κηρύξαι, οὐ φροντίσαι τῶν καθ' ἑαυτὸν, οὐ τῶν ἐντός τι διαθεῖναι, οὐδὲ περὶ τῶν ἐκτὸς διασκέψασθαι, οὐ λόγον ἄλλον προενεγκεῖν, ἢ ὅτι, « Σπεύδωμεν Ἰσραὴλ ὁ νέος, ἐπαναγώμεθα πρὸς Θεὸν, ἐπιστρεφώμεθα, τῆς διαθήκης αὐτοῦ ἐπιλαμβανώμεθα καὶ πρὸς τὴν λάμψιν τοῦ φωτὸς αὐτῆς πορευώμεθα (2). » Οὐχ οὕτω ποτὲ σφοδρὸν ὕδατος ῥεῦμα, ῥέον κατὰ πρανοῦς, εἶτά τισι μηχαναῖς ἀνισχόμενον, ὀξέως ἂν φέροιτο, τοῦ κωλύοντος ὑποσπασθέντος καὶ ἀνακοπέντος (3), ὡς ὁ βασιλεὺς, δραξάμενος αὐτίκα καιροῦ, ὀξὺς ἦν ἐπείγων ταῦτα καὶ λέγων καὶ διαπρεπτόμενος. Εὖ γὰρ εἰδὼς ὡς ἥδε τάξις ἀρίστη καὶ λυσιτελεστάτη, παντὸς ἀρχομένοις καὶ λόγου καὶ πράγματος, ἐκ Θεοῦ τε ἄρχεσθαι καὶ εἰς Θεὸν ἀναπαύεσθαι, καὶ αὐτὸς τῆς εὐσεβοῦς αὐτοκρατορίας εὐσεβῆ κρηπῖδα πηγνύμενος, αἴρει μὲν ἅπαν σκῶλον καὶ πρόσκομμα τῆς θείας αὐλῆς, καὶ τοὺς λίθους τῆς εὐθείας καὶ βασιλικῆς καὶ μόνης πρὸς οὐρανὸν φερούσης ὁδοῦ διαῤῥίπτει, ἀνόθευτον δὲ καὶ καθαρὸν τὸ σέβας ἀνατίθησι τῷ Θεῷ, τοὺς παραχαράττοντας καὶ κίβδηλον αὐτὸ ποιοῦντας μακρὰν ποιησάμενος.

Καί γε πρὸς τοῦτό σου τὸ ἔργον, ὦ βασιλεῦ, οὐδὲν βαρβαροκτονίαι, καὶ ἀνδραποδισμοὶ καὶ ἐκδουλώσεις ἐθνῶν, καὶ νίκαι κατὰ πάσης ἀντιστρατευομένης

(1) Morte, scilicet, patris, Michaelis Palæologi.

(2) Cf. Baruch. IV, 2.

(3) B, ἀνακόπτοντος.

δυνάμεως, οὐδὲν ἐκπορθήσεις πόλεων καὶ ἁλώσεις καὶ κατασκαφαὶ, οὐδ' αὖ ἀνεγέρσεις καὶ τειχισμοὶ καὶ συνοικισμοὶ, καὶ ὅ τι ἂν εἴποι τις τῶν μεγάλων· πάντων γὰρ ὑπέρκειται (1) τῶν τοιούτων. Τοῦτο δή σοι καὶ οὐρανομήκης στήλη, τοῦτό σε (2) καὶ βασιλεύτατον δείκνυσιν, ὅτι καὶ ὁπόσα δὴ βασιλέων ἔργα βασιλικῷ τῷ πήχει τοῦτο (3) νικᾷ. Ἐκεῖνο δὴ μόνον συμπαραμετρεῖται τούτῳ, ἐπειδὴ καὶ πρὸς ἐκεῖνο βλέπον (4) τοῦτο κατώρθωται, καὶ ἀκριβῶς ἐξίσωται, ὅ γε Κωνσταντῖνος ὁ μέγας, ὁ τῶν ὀρθοδόξων ὑμῶν βασιλέων πατὴρ, διαπεπραγμένος ἐφάνη, τὴν βασιλείαν ἀναμίξας τῇ εὐσεβείᾳ, μάλιστα δὲ ὑποτάξας, καὶ μέγας οὐκ ἐκ τῆς πορφύρας καὶ τοῦ διαδήματος καὶ τοῦ τῆς οἰκουμένης κράτους ἀναδειχθεὶς, ἐκ δὲ τοῦ τὴν ἀλήθειαν κατειληφέναι, καὶ πρὸς Χριστὸν μετακλῖναι, καὶ τὴν τῆς τριάδος μίαν ἐπιγνῶναι θεότητα, οὗ καὶ σὺ, βασιλεῦ, υἱὸς καὶ διάδοχος ἀληθὴς, κατ' ἴχνος τῆς αὐτοῦ βεβηκὼς προαιρέσεως, τὸ μετὰ Χριστοῦ ζῆν, ὡς ἐκεῖνος, ὡς κεφάλαιον τῶν ἀγαθῶν ἀγαπήσας καὶ πάντων προτιμήσας τῶν ἄλλων. Τὰ ἐκείνου δὴ μόνα καὶ τὰ σὰ συνέρχεται καὶ συμβαίνει, καὶ εἰς ἓν ἀκριβῶς συναρμόζεται, ὡς νέον ἐκεῖνον (5) μὴ χρῆναι, κατ' ἐμὴν κρίσιν, ἕτερον ἢ τὸν ἐκείνου σύμφρονα σὲ καὶ ὁμότροπον ὀνομάζειν.

Καὶ μὴν οὕτω λαμπρῶς ἐχούσης τῆς εὐσεβείας τῷ βασιλεῖ, ἔτι κἀκεῖνό που θαυμάσιον ἐννοῆσαι,

(1) B, ὑπέρκειται.
(2) B, τοῦτό γε.
(3) B, sine τοῦτο. Et potest abesse, modo scribas supra ὅ τι.
(4) B, βλέπων.
(5) A, ἐκείνου. Tangit Michaelem Palæologum qui Κωνσταντῖνος ὁ νέος fuerat cognominatus, quemque illo cognomine ipse appellavit: cf. p. 356.

ὅτι καὶ ὅσαι τῶν ἀρετῶν ἀκολουθοῦσαι ταύτῃ τυγχάνουσι, ζῶσαν ὡσανεὶ καὶ ἐνεργὸν καθιστᾶσαι, καὶ ταύτας ὁ ἐμὸς βασιλεὺς προσκλησάμενος φαίνεται. Καί μοι σὺ (1) συμπαθείας καὶ φιλανθρωπίας καὶ οἴκτου ζητῶν ἀποδείξεις, μὴ ταύτας διὰ λόγου λαβεῖν ἀναμείνῃς. Βάδιζε δὲ πρὸς τὰ δεσμωτήρια, κἀκεῖ τοῖς ὀφθαλμοῖς τὸ ζητούμενον καταμάνθανε· ἴδε δεσμίους καὶ δεσμῶν ἀνειμένους, ἴδε τοὺς ἐν σιδήρῳ καὶ πτωχείᾳ καθημένους (2) καὶ τεθραυσμένους, ἀπεσταλμένους ἐν ἀφέσει καὶ παρακεκλημένους. Ὅρα πρὸς τούτοις καὶ ἀνακλήσεις (3) τῶν ἐν ὑπερορίᾳ, καὶ καθόδους τῶν πρὸς ἐρήμους διὰ φόβον ἐξωσθέντων ἀβάτους. Οὐκ ἔτι στενοχωροῦνται φυλακῆς οἶκοι, οὐδὲ συνδιαιτῶνταί τινες θηρίοις φεύγοντες τὰς πατρίδας, οὐδὲ, ἃ μηδεὶς ᾤκησε δι' ἀχρηστίαν, τοῦ Αἰγαίου νησίδια τοῖς ἐκ καταχρίσεως οἱασδήποτε πεμφθεῖσιν ἀνθρώποις πολίζονται. Βλέπε δή μοι καὶ χρημάτων διανομὰς καὶ χορηγίας ἀφθόνους οὐ κόλαξι καὶ ἄλλως διεφθαρμένοις ἀνθρώποις, τοῖς δέ που χρήζουσι διδομένας καὶ ἀξίοις λαβεῖν. Βλέπε μοι, ἐάν γε καὶ δικαιοσύνης πίστιν ἐθέλῃς (4) λαβεῖν, τελωνῶν ἀπανθρωπίαν (5) καὶ φορολόγων καταργηθεῖσαν ὠμότητα. Βλέπε καὶ συγγραφὴν ἄδικον, εἰ δὲ βούλει, καὶ ἀναγραφὴν διασπασθεῖσαν· οὐδεὶς γράφων ἄνομα παῤῥησιάζεται· οὐδεὶς προσέρχεται συκοφάντης, κἂν τολμήσῃ ποτὲ, οὐ

(1) B, sine σύ : mox οἶκτον.

(2) Psalm. CVI, 10 : καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ.

(3) B, πῶς πύπτις καὶ ἀνακλείσεις.

(4) B, ἐθέλεις, solœce. Libanius t. IV, pag. 958 : ὁ ῥήτωρ, ἂν δικαιοσύνης ἀμελεῖ, συμφορὰ τοῖς χρωμένοις ἐστί : reser. ἀμελῇ, syntaxi legitima.

(5) B, ἀπανθρωπίας.

χαιρήσει. Οὐδεὶς λυμεὼν (1) ἄνθρωπος εἰς λειτουργίαν δημόσιον παραδύεται, οὐδ' ἑαυτῷ χρημάτων εἰσπράξεις ὠνεῖται, ἵν', ὅ φησιν ἡ γραφή, τὸν λαὸν καλαμώμενος (2), κέρδος ἴδιον ποιεῖται τὰς κοινὰς συμφορὰς, ἐπεὶ μόνος τολμᾷ τῷ βασιλεῖ παρεστέναι καὶ λειτουργεῖν, ὅσλις, κατὰ τὸν ψαλμὸν, ἐν ὁδῷ ἀμώμῳ πορεύεται (3), ὅσλις ἀλήθειαν ἐν καρδίᾳ λαλεῖ, καὶ οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ καὶ τοῦ πλησίον οὐ κατελάλησε (4)· ὁ δὲ διαστρέφων ἐν ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἅμα πράττων καὶ φθεγγόμενος ἄδικα, οὔτε κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ (5), οὔτ' οὐ μήποτε κατευθύνῃ. Οὕτως ὁ βασιλεὺς δι' ἐλέου καὶ κρίσεως (6) τὴν ἑτοιμασίαν τοῦ οἰκείου ποιεῖται θρόνου καὶ τὴν κατόρθωσιν· διὰ τοῦτο καὶ ὁ λαὸς αὐτὸν ὁ πλωχὸς εὐλογεῖ καὶ πόλεις ἀνθρώπων ἀδικουμένων αἰνοῦσιν.

Ὅτι δὲ καὶ πρὸς τοῖς ἄλλοις καλοῖς καὶ τιμᾷ λόγους διαφερόντως ὁ βασιλεὺς, τίς ἀγνοεῖ; σοφίας γὰρ διάπυρος ἐραστής ἐστι καὶ διὰ τοῦτο φιλόσοφος. Οὐκ ἐξ ὧν δὴ λέγει (καί τοί γε θαυμαστῶς λέγει, τὸ βαθὺ τῆς πολιᾶς αὐτοῦ (7) νόημα εὐτρόχῳ καὶ ἀνεμποδίστῳ γλώττῃ διαρκῶς ἅμα καὶ καθαρῶς ἑρμηνεύων), ἀλλ' οἷς ἐπιτηδεύει τὸ φιλόσοφον ἐνδεικνύ-

(1) B, λυμαιών, et sub orationis finem, p. 392, λυμαιώνων.

(2) Isai. III, 12 : λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς.

(3) Psalm. C, 6 : πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.

(4) Psalm. C, 5 : τὸν καταλαλοῦντα λάθρᾳ τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκεν.

(5) Psalm. C, 7 : λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐναντίον τῶν ὀφθαλμῶν μου.

(6) Psalm. LXXXVII, 14.

(7) Πολιὰ dictum est respectu prudentiæ ac sapientiæ. Erat enim Andronicus juvenis : conf. quæ mox dicet orator p. 388 : νέος μὲν γὰρ οὔπω. . . .

μενος, σωφρονύνη συζῶν, κρατῶν θυμοῦ, μετριάζων ἐν εὐπραγίαις, εὐθαρσῶν ἐν τοῖς ἐναντίοις, μεγαλοψυχῶν ἐπὶ τοῖς δυσφόροις, κἂν ταῖς τοιαύταις τῶν ἀρετῶν πολὺ μᾶλλον οἰόμενος δεῖν φρονεῖν, ἢ ἐπὶ τῇ βασιλείᾳ (1) καὶ τῷ τῶν ὅλων κράτει σεμνύνεσθαι. Ἀμείνονα τὸν ἁμαρτάνοντα χρῆναι ποιεῖν, ἀλλ' οὐκ ἀφανίζειν, Ἀγησιλάου (2) μὲν λόγος τοῦ Σπαρτιάτου, σοῦ δέ, βασιλεῦ, ἔργον· οὐ γὰρ φιλεῖς γέ πως (3) ἀμύνεσθαι καὶ βλάπτειν, ἄν τις ἠδίκηκεν ἢ προσκέκρουκεν, ἀλλ' εὖ ποιῶν περιγίνῃ τῆς πονηρίας, καὶ μεταποιεῖς εὐεργεσίαις τὴν γνώμην, τὸ δυσμενὲς μεταβάλλων, οὐχὶ συστέλλων φόβῳ κολάσεων. Νέον τὸν βασιλέα σώφρονα, μεγαλοπρεπῆ, μνήμονα, πρᾷον, εὐμαθῆ (4) καὶ ἀνδρεῖον, Πλάτων ὁ Ἀρίστωνος τοὺς ἄλλους ἐκλέξασθαι καὶ αὐτῷ διδόναι ζητεῖ, ὡς ὄντος (5) εὑρεῖν δυσχερεῖς παντάπασι καὶ ἀπόρου τοῦ πράγματος· ὁ δ' αὐτὸς καὶ τὰς πόλεις τότε φησὶ κακῶν παύσεσθαι καὶ πεῖραν εὐδαιμονίας λήψεσθαι, ἐπειδὰν ἢ βασιλεῖς φιλοσοφήσωσιν, ἢ φιλόσοφοι βασιλεύ-

(1) Ut Agesilaus, qui, Plutarcho teste in Apophth., ἐμεγαλύνετο ὅτι τῷ μηδενὸς ἥττον πονεῖν καὶ ὅτι τῷ ἄρχειν ἑαυτοῦ μᾶλλον, ἢ ὅτι τῷ βασιλεύειν. Aliis verbis in ipsius Vita c. x: μέγιστος μὲν ἦν ὁμολογουμένως καὶ τῶν πάνυ ζώντων ὀνομαστότατος. . . . ἑαυτῷ γε μὴν ἐδίδου δι' ἀρετὴν φρονεῖν μεῖζον, ἢ διὰ τὴν ἡγεμονίαν.

(2) Aiebat scilicet, apud Xen. Agesil. VII, 6, Agesilaus, non oportere ἀνδραποδίζεσθαι Ἑλληνίδας πόλεις, ἀλλὰ σωφρονίζειν· εἰ δὲ τινὰς ἁμαρτάνοντας, ἔφη, ἡμῶν αὐτῶν ἀφανιοῦμεν, ὁρᾶν χρὴ μὴ οὐδ' ἔχωμεν μεθ' ὅτου τῶν βαρβάρων κρατήσομεν.

(3) B, sine πως.

(4) B, εὐθυμαθῆ, et statim ἐκλέγεσθαι. Præstat εὐμαθῆ: nam, etsi ipsum Platonis locum non meminerim ubi ejus operum sit, memini tamen non semel in Rep. VI, εὐμαθῆ, μνήμονα, μεγαλοπρεπῆ, jungi. Et mox p. 388, sine varietate, εὐμαθὴς καὶ μνήμων.

(5) B, ὄντως.

σωσιν (1)· οὐκοῦν, ὦ Πλάτων, πρὸς τοῖς ἄλλοις οἷς ἐζήτησας, καὶ ἀκριβῶς φιλόσοφον ἔχεις τὸν βασιλέα· ὥρα λοιπὸν καὶ τὴν εὐδαιμονίαν ἐπακολουθῆσαι ταῖς πόλεσι. Σοῦ μὲν γὰρ εὐγενεῖς πάντες λόγοι καὶ τοῦ Πλάτωνος ὀνόματος ἄξιοι· πλὴν τοῦδε μᾶλλον ἀληθείας μετέχειν οὐκ ἔστιν ὅστις συγχωρηθήσεται· ἢ γὰρ οὐκ ἔσται οὐδέποτε πόλιν εὐδαιμονῆσαι, ἢ εὐδαιμονήσουσαν ἀνάγκη πᾶσα ὑπὸ τοιούτῳ βασιλεῖ τε καὶ πολιτάρχῃ (2) τῆς εὐδαιμονίας αἰσθέσθαι. Νέος μὲν γὰρ οὗτος· ἀλλὰ ποίου γήρως ἢ τοῦδε νεότης ὃ κρείττων, τοῦτο μὲν τῷ σώφρονι τῆς διαίτης καὶ τῷ περὶ πᾶσαν κίνησιν κρατεῖν ἑαυτῆς, τοῦτο δὲ τῷ γενίμῳ καὶ αὐτάρκει καὶ βεβαίῳ τῆς γνώσεως; ἀφ' ὧν καὶ περὶ τὰς πράξεις ἀνυστικὴ καὶ πλήρης ἡ φρόνησις ἥκει καὶ ἡ εὐβουλία περὶ τὰ σκέμματα; Εὐμαθής ἐστι καὶ μνήμων, ὀξέως μὲν τοῖς ἑτέρων συμβάλλων νοήμασιν, ἀσφαλῶς δὲ κατέχων, καὶ μηδὲ τὸ φαυλότατον τῇ λήθῃ φέρειν παραχωρῶν, οὐκοῦν ὅσα γε χρήσιμα καὶ τοῦ μνημονεύεσθαι ἄξια· ἀλλ' ἅμα καὶ πρᾷός ἐστι καὶ ἀνδρείας πλεῖστον αὐτῷ καὶ γενναιότητος μέτεστιν, ἅπερ ἐκείνοις ὡς ἐλάχιστα συμβαίνειν φιλεῖ. Εὐμαθῆ γὰρ ὄντα, μὴ καὶ ὀξὺν εἶναι, τῶν χαλεπῶν εὑρεῖν· ὄντα δὲ τοῦτο, πρᾷον αὖθις εἶναι καὶ ἀνδρεῖον, ὀρθῷ λογισμῷ πρὸς τὰ δεινὰ καὶ ὁρμῶντα καὶ ἀναδυόμενον, ἔτι πολὺ χαλεπώτερον. Ἀλλ' ὁ βασιλεύς, ταῦτά τε βεβαίως τοῦ δημιουργοῦ τοῦτον τὸν τρόπον ἁρμόσαντος, καὶ πρεσέτι μεγαλοπρεπής ἐστιν, ὡς ἰδόντα καὶ τὸν πόρρωθεν ἥκοντα καὶ ἰδόντα μηδέποτε

(1) Plato loco nobili Rep. v, p. 388, Mass., quem illustravi ad Andreopuli Syntipam p. 173.

(2) B, πολιτάρχοι: mox ἀνυστικοί.

πρότερον, κἂν ἐν μέσοις τύχῃ μυρίοις ἱστάμενος καὶ αὐτὸν οὐδὲν τῶν ἀρχικῶν συμβόλων μηνύῃ, ἀναβοῆσαι, τῷ ἡρωϊκῷ καὶ θείῳ τοῦ εἴδους ἐνατενίσαντα· «ὡς ἐπιεικῶς ἀνδρὶ βασιλεῖ οὗτος ἔοικεν!» Ὥστ' εἰ μὲν ζητῶν, ὡς εἴωθας, παράδειγμα καὶ ἰδέαν βασιλείας ἀρίστης, ἐφεῦρες (1), ὅρα τοῦτον, εἰ μὴ ἀκριβῶς πρὸς τὸ παράδειγμα ἤσκηται· εἰ δ' ἐφευρεῖν οὔπω δεδύνησαι, ἀλλὰ τοῦτον ἰδέαν τίθει, καὶ ὧδε βλέπειν νομοθέτει τοὺς ἄλλους ὡς εἰς εὐδαιμόνων βασιλέων ἀρχέτυπον.

Ἃ μὲν οὖν ἐκ πολλῶν ὀλίγα τῶν τοῦ βασιλέως καλῶν οἷός τε γένοιμα τῇ διανοίᾳ περιλαβεῖν καὶ διεξιέναι τῷ λόγῳ, ταῦτα· ἐπεὶ δὲ τῷ ἔχοντι παντὶ δοθήσεται (2) καὶ προστεθήσεται, ἴδωμεν τί δέδοται καὶ προστέθειται (3) τοῖς ἐνοῦσι τῷ βασιλεῖ· τί δὲ ἄρα; εἰ μὴ τὸ τῶν ὄψεων ἀκόρεστον θέαμα, τὸ τερπνὸν τῆς θαυμασίας ῥίζης φυτόν, ἡ αὐθεραιότης, τὸ τῶν χάριτων συμφόρημα, ἡ νέα καὶ μεγάλη τοῦ παντὸς γένους ἐλπίς, ὁ παῖς ὅδε (4) καὶ βασιλεύς, ἄξιος μὲν τοῦ παρασχόντος Θεοῦ, ἄξιος δὲ καὶ τοῦ διὰ Θεοῦ γεννήσαντος πατρός· οὗ θαυμασία μὲν ἡ γέννησις, τὴν σεβασμιωτάτην καὶ φαιδροτάτην καὶ βασιλίδα τῶν ἁπασῶν ἡμέραν κληρωσαμένη (5), καθ' ἣν ἐνεργήσας τὴν τῆς φθορᾶς κατάλυσιν ὁ δεσπότης τὸ μέγα κατὰ θανάτου τρόπαιον ἔστησε, τῶν μετὰ ταῦτα σὺν Χριστῷ μεγάλων αὐτοῦ τροπαίων καὶ τῆς τῶν ἐχθρῶν

(1) B, ἔφυρις.

(2) Luc. Evang. XIX, 26: λέγω γὰρ ὑμῖν ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται. Conf. Evangelia Matth. XIII, 12, XXV, 29; Marc. IV, 25; Luc. VIII, 18.

(3) B, τί πεθεῖται καὶ προς.

(4) Aderat videlicet ille Andronici filiolus, Michael Palæologus.

(5) Inde discimus diem Paschæ illi fuisse natalem.

καταλύσεως σαφῶς προδηλουμένων ἐντεῦθεν· θαυμασία δὲ ἡ τῆς ἡλικίας πρόοδος καὶ ὑπερφυὴς, ἰθυτενὴς οὖσα καὶ προήκουσα, καὶ χρόνον φθάνουσα τὸν προσήκοντα. Ἔτι δὲ θαύματος ἄξιον τὸ ἐναρμόνιον καὶ βεβηκὸς καὶ εὐπαγὲς καὶ σιάσιμον, τοῦτο μὲν τοῦ σώματος, ὡς εἰκάζειν αἴσθησιν τὴν φύσιν τῆς προσηκούσης αὐτῷ βασιλείας λαβοῦσαν (1) πάντα πρὸς τὸ ὑψηλὸν, καὶ ἀρχικὸν καὶ ἀρρενωπὸν, συναρμόζεσθαι διαπλάττουσαν, καὶ προαγαγεῖν εἰς φῶς ὅλον βασιλικὸν, ὁποίους δὴ καὶ τοὺς τῶν λεόντων ὁρῶμεν σκύμνους ὅλους λεοντώδεις ἐξ αὐτῆς περιόντας γενέσεως, τοῦτο δὲ τοῦ τῆς ψυχῆς κατασήματος (2), ὅ γ' ἐπίχαρι καὶ φαιδρὸν ὁρᾶν παρεχόμενος, ἔστιν ὡς καὶ συννοίας αὐτῷ παρεμίγνυσιν (3), ὡς ἀνδρικὸν τοῦτο καὶ γενναῖον εἶναι καὶ ἀψευδὲς τῆς ἰσχυρογνωμοσύνης τεκμήριον· ὅθεν οὐδὲ πάντων ἅπτεται, οὐδὲ πρὸς πάντα κινεῖται ὅσα δὴ καὶ παιδίοις οὖσι προσήκει, ἀλλ' ἑαυτὸν κατέχει, ἐμβριμώμενος ὥσπερ τῇ νηπιότητι, καὶ, τῷ ἐπιγνώσκειν οἱονεὶ τὸ τῆς ὑπερκειμένης τιμῆς ὑπερέχον (4), ἀνάξιον ἑαυτοῦ κατὰ παῖδας φέρεσθαι κρίνων, εἰ καὶ ἄλλως δι' ἀπαλότητα ἀνεύθυνον τοῦτο καὶ ἀνεπίληπτον.

Ἀλλὰ γὰρ πλείω βουλόμενος περὶ τούτου λέγειν, εἰς δευτερολογίαν ἀφίξομαι τοῖς ἐγκωμιαστικοῖς ἥκι-

(1) B, λαβοῦσα.

(2) B, κατασήσαντος.

(3) B, περμίγνυσιν. Sæpe παρὰ et περὶ a librariis fuerunt permutata. Diogenianus IV, 12 : δασύπους κρεῶν ὀπθυμεῖ· ὀπὶ τῶν περὶ ἄλλων ὀπζητούντων ἃ παρ' ἑαυτῶν ἔχουσι. Codex Mazar. A 86, παρὰ, bene, ut conjiciebat Kusterus ad Suidæ Δασύπους. Sed nec satis est correctus Suidas, sic editus : δασύπους κρεῶν ὀπθυμεῖ· λέγεται ὀπὶ τοῦ ὀπθυμοῦντος παρ' ἄλλῳ γινέσθαι τὰ ὄντα παρ' ἑαυτῷ : velim, παρ' ἄλλων, vel ἄλλου.

(4) B, ὑπέρχον.

σία πρέπουσαν. Ἃ γὰρ σὺ περὶ σοῦ, μέγιστε βασιλεῦ, παιδὸς ὄντος παρεῖχες εἰπεῖν, αὐτὰ δὴ ταῦτα περὶ ἑαυτῷ λέγειν καὶ ὁ σὸς μὲν φίλτατος, ἐμὸς δὲ προβάλλεται βασιλεύς· ἀκριβὴς γάρ σου τυγχάνων εἰκὼν κινουμένη καὶ ζῶσα καὶ τῶν φυσικῶν αὐχημάτων μετέχουσα, οὐκ οἶδα πῶς οὐκ εἰκότως καὶ τοὺς ὡς ἂν ἡλικίας (1) μέτρῳ τοσούτῳ περὶ σοῦ πρὸς ἑαυτὸν ἐφελκύσεται λόγους. Ἵν' οὖν μὴ καὶ αὖθις εἰς ἀνάγκην τοῦ ταυτὰ λέγειν ἔλθοιμεν, ὁ μὲν οὖν υἱὸς τοιοῦτός σοι παρὰ Θεῷ δεδώρηται, βασιλεῦ, ὁποῖον πύξω δεδόσθαι σοι, καὶ νικῴη (2) τὰς εὐχὰς προβαίνων τῷ χρόνῳ, τὴν βασίλειόν σοι συνδιέπων ἀρχὴν καὶ τὰς κοινὰς συνδιαφέρων φροντίδας, διαπρέπων ἐν βυλαῖς, ἀριστεύων ἐν πολέμοις, δοξαζόμενος ἐν ἀρεταῖς, καὶ ἐπὶ πᾶσι πράγμασι θαυμαζόμενος, εὐφροσύνην μὲν διὰ τούτων σοι τῷ πατρὶ, εὐφροσύνην δὲ καὶ τῷ λοιπῷ γένει διδοὺς, τῷ δὲ λογογράφῳ τῷδε (εἰ ἄρα τοσοῦτον συγχωρηθείημεν (3) ἀπολαύειν τοῦ βίου) γλυκείας φροντίδος πειρωμένῳ, καίπερ ὄντι γε τηνικαῦτα πρεσβύτῃ, μηδεμίαν τῶν μεγάλων αὐτοῦ πράξεων παρεμέναι λόγοις ἀγέρασιον (4). Σὺ δὲ, ἀσύγκριτος ὢν πρὸς τοὺς ἄλλους (οὐ γὰρ ἔχομεν ὅτου ῥᾳδίως πράξεις παραβάλλειν ταῖς σαῖς), ὅμως νίκα σαυτὸν, ἀρετὰς ταῖς ἀνούσαις ἀεὶ προσιθεὶς, εἴ γε ὅ τι προσθήσεις κατέλιπες, καὶ ἀριστείας ταῖς ἀεισιλείαις. Νίκα καὶ τὴν τῶν ῥητόρων σπουδὴν, οὓς ἂν ὁ κατὰ σὲ χρόνος ἐνέγκοι (5), πολλοὺς δὲ πάντως

(1) B, ἡλικία.
(2) B, νικῶν.
(3) B, συγχωρηθῶμεν.
(4) B, ἀγέρας. Cf. Theodorus supra p. 288, 12.
(5) Debuit scribere ἐνέγκῃ.

ὀνοίσει, Θεοῦ σοι καὶ τῆς ἀγαθῆς προαιρέσεως (1) καὶ τὴν τούτων φορὰν, καθὰ δὴ καὶ τῶν ἄλλων ἀγαθῶν ἀνδρῶν, ἐνεργήσοντος. Ἔστι γὰρ καὶ τῶν τοιούτων φορὰ, βασιλεῦ, ὥσπερ δὴ καὶ τῶν ἐναντίων, τῶν λυμεώνων λέγω καὶ μοχθηρῶν καὶ ὀλέθρων, αἰτίαν ἑκατέρα τὴν τοῦ κρατοῦντος αὐχοῦσα ψυχὴν, ἥ γε ἀγαθὴ τελοῦσα τὴν ἀγαθὴν, ἡ δ' αὖ φαύλη τὴν φαύλην· ὁ γὰρ βωμὸς, φασὶ, πρὸς τὸν ναὸν (2), καὶ τὸ ἀρχόμενον πρὸς τὸ ἄρχον ἁρμόζεται (3). Καὶ νίκα τὴν φύσιν τῶν λόγων, τοῖς ἔργοις ἐλέγχων ὡς οὐκ ἄρα λόγος, κατὰ τὸν ἀρχαῖον λόγον, ὡς ὁ γενέτης νοῦς πάντα περιλαμβάνειν ἔχει καὶ περιδράσσεσθαι· ἀλλ' ἔστιν οὗ καὶ ἥττηται, τῶν εἰς ἐξέτασιν προκειμένων πραγμάτων μὴ ἐφικνούμενος. Οὕτω νίκα· καὶ ζῆθι ὅσον μήκιστόν ἐστιν ἀνθρώπῳ (4), ἄγοντός σε διὰ πάσης

(1) Videtur ἕνεκα deesse.

(2) Auctor Vitæ Theodori Grapti pag. 197 : ὁ μὲν ὀρθόδοξος ἀρχιερεὺς....εὐόρκιστος γίνεται, ἀντεισάγεται δὲ μιαρὸς, καὶ οὐχὶ ποιμὴν, ὁμόφρων τῷ τυράννῳ καὶ σύμψυχος τὴν ἀσέβειαν· ὁ βωμὸς, φασὶ, πρὸς τὸ ἱερόν.

(3) Confer pag. 331, n. 1.

(4) B, ἀνθρώπων. Sæpe abire iota finale in ny notum est, et ipse ex hac permutatione sæpe suspecta loca tentavi. Plutarchus Stobæi tit. 97, 20 : ὃν πενία μέν τις διεπίλεσεν εὐδαίμων, ὃς ἥκιστα δὲ πλουτῶν καὶ ἀρχαῖς. Ex varietate recipienda πλούτῳ sensus oritur optimus : nempe, ὃς ἥκιστα δὲ διεπίλεσεν εὐδαιμονῶν ὢν πλούτῳ καὶ ἀρχαῖς. Sed video hærentem virum d. in voce ἀρχαῖς, qui quid huc ἀρχαὶ pertineant postulet. Sunt ἀρχαὶ, magistratus, officia publica. Junguntur πλοῦτος, ἀρχαὶ, et similia, apud Stob. tit. 1, 29, πλοῦτος ἀδυνὴς ἄγκυρα, δόξα ἔτι ἀδυνεστέρα· τὸ σῶμα ὁμοίως, αἱ ἀρχαὶ, αἱ τιμαὶ, πάντα ταῦτα ἀδυνῆ καὶ ἀδύνατα. Addam et Platonem Lys. § 20 : ὁ μὲν γάρ τις ἵππους ἐπιθυμεῖ κτᾶσθαι, ὁ δὲ κύνας, ὁ δὲ χρυσίον, ὁ δὲ τιμάς. Sed talia quum non ignorem, ea virum me multo eruditiorem latere non possunt; adeo ut alius sit ejus dubitationis sensus, quem non assequor. Contrario vitio fœdatur Plethonis Laudatio Hypomones pag. 1 : τὸ δὲ Μούσας τιμῶν ἔθνος οὐκ ἄμουσον, οὐδ' ἀπαίδευτον, οὐδέ

της ζωῆς τοῦ Θεοῦ, διὰ τῶν εὐθυμοτέρων καὶ βελτιόνων, καὶ ἐμβιβάζοντος ἀπὸ δόξης εἰς δόξαν, τῆς ἐλάττονος δηλαδὴ πρὸς τὴν μείζονα, καὶ ἀπὸ δυνάμεως ἐπὶ δύναμιν.

γε τὸ ψυχῆς ἀνθρωπίνης τῇ ἀθανασίᾳ νομίζον ἀγνές. Inveni in codice regio τὴν ἀθανασίαν, quod rectum est. Libanius Epist. 968 : Οὐδ' εἰ πᾶσάν μοι τὴν οὐσίαν ἐδεδώκεις τὴν σαυτοῦ, καὶ πρὸς αὐτὴν πάς τι τῶν συγγενῶν ἀπάσας καὶ τῶν φίλων : melius cod. 1000, πρὸς αὐτῇ. Constantinus Porphyr. De prætermissis ab Homero p. 274 : πύλην οἷάπερ τῆς εἰσόδου τῷ κεπτώῳ χρησάμενος σώματι : rescribendum πύλῃ. Idem p. 297 : ὁ Πάρις πρὸς τὴν ἁρπαγὴν τῆς Ἑλένης τὸν Ἀχιλλέως ἐπίλοιπον θάνατον τεχνίᾳ καὶ δόλῳ μηχανησάμενος : et hic repono dativos, τῇ ἁρπαγῇ. Similia alia nunc omitto.

ΠΑΡΑΡΤΗΜΑ.

α'.

ΠΛΟΥΤΑΡΧΟΥ ΕΚΛΟΓΗ

ΠΕΡΙ ΤΩΝ ΑΔΥΝΑΤΩΝ.*

Κατὰ πέτρων σπείρεις (1).
Πλίνθον πλύνεις (2).
Δικτύῳ ἄνεμον θηρᾷς (3).
Εἰς πίθον ἀντλεῖς. (4).
Εἰς ὕδωρ γράφεις (5).
Εἰς οὐρανὸν τοξεύεις.

* E codice 2720, pag. 21. — Supra p. 29 promisi me proverbia Græca περὶ ἀδυνάτων esse in Appendice editurum; fidem jam exsolvo. Excerpta esse videntur e collectione Plutarchi proverbiorum.

(1) Maximus Tyr. XXVI, extr., ὅτι πετρῶν σπείρειν dixit; Aristides t. III, p. 377 D, σπείρειν τὰς πέτρας, et sic Phrynichus App. pag. 69. Cf. not. ad Aristæn. p. 723.

(2) Diogenianus VII, 50: πλίνθον πλύνεις, χαμαὶ ἀντλεῖς· ὅτι τῶν ἀδυνάτων. Verba χαμ. ἀντλ. absunt cod. Mazar. A 86.

(3) Diogenianus IV, 29: δικτύῳ ἄνεμον θηρᾷς· ὅτι τῶν ἀνοήτως π ποιούντων. Cod. Mazar., ποιούντων π. Collectio proverbiorum in codice regio 1000: δικτύῳ ἄνεμον θηρᾷς· ὅτι τῶν μάτην π ποιούντων καὶ ἀνοήτως. Et sic fere Zenobius ac Suidas. Nicephorus Gregoras Hist. XVIII, 4, 3: εἰς πῦρ π ἔδοξα ξαίνειν καὶ δικτύῳ θηρεύειν ἀνέμους. Cf. not. 5.

(4) Rescrib. εἰς πετρημένον π., ut est in Basilii Hom. mor. p. 223: οἷόν (forsan, οἷον εἴ) πς, ἑαυτὸν ἀπατῶν εἰς πετρημένον πίθον ἀντλεῖν ἐθελήσειεν: et in ejusdem Hom. De leg. prof. § 17 Fremionianæ. Vaticana App. 1, 97, πεεμμένον bis habet bis corrigendum. Cf. not. ad Aristæn. p. 723, et mox p. 398.

(5) Cod. regius 1000: εἰς ὕδωρ γεάφεις· ὅτι τῶν ἀδυνάτων. Vide loca Gregorii et Macedonis supra p. 5, 12, et pag. 96, 9, collatis quæ scripsi ad Sophocl. tom. II, pag. 392. Oraculum Græcum a D. Augustino latine versum Civ. Dei XIX, 23: «forte magis poteris » in aqua impressis literis scri» bere:. . quam. . .» Dicebant et καθ' ὕδατος γεάφειν: vide Vatic. App. 1, 79; 11, 46. Nicephorus Gregor. Hist. XIX, 1, 2: οὐδὲν ἀποικέναι δόξει τῷ καθ' ὑδάτων γεάφειν πειρωμένῳ, ἢ δικτύῳ θηρεύειν ἀνέμων πνοάς. Cf. modo nota 4. Catulliana, «mulier cupido quod » dicit amanti In vento et rapida

Αἰθίοπα σμήχεις (1).
Κοσκίνῳ ὕδωρ ἀντλεῖς (2).
Νεκρὸν μαστίζεις.
Εἰς ψάμμον οἰκοδομεῖς.
Εἰς ὕδωρ σπείρεις.
Ἀκίνητα κινεῖς (3).
Ἀκίχητα διώκεις (4).
Σίδηρον πλεῖν διδάσκεις.
Δελφῖνα νήχεσθαι διδάσκεις (5).
Ἡλίῳ φῶς δανείζεις (6).
Κύματα μετρεῖς (7).
Ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷς (8).

» scribere oportet aqua », apte contulit Dœringius cum Meleagri versu: Νῦν δ' ὁ μὲν ὄρκια φησὶν ὀν ὕδατι κεῖνα φέρεσθαι.

(1) Cod. regius 1000: Αἰθίοπα σμήχεις· ὅτι τῶν ἀδυνάτων. Theodorus Met. Misc. pag. 447: σμήχειν ἔσαι μᾶλλον Αἰθίοπα, μετὰ τῆς παροιμίας ὡς ἀδύνατον τοῦτο πρεσβαλλομένης, ἢ χρώματα μεταλλάττειν ψυχῶν γνωσικά.

(2) Cod. κοσκίνῳ. — Codex regius 1000: κοσκίνῳ ὕδωρ ὀπφίρεις· ὅτι τῶν ἀδυνάτων. Conf. sylloge sequens. Auctor Arabicus in Cardonii Misc. tom. I, pag. 25: « Vous tentez une chose impossible; vous voulez mettre de » l'eau dans un crible. »

(3) Cod. κίχεις. Vide not. ad Marinum p. 128. Plutarch. Isid. 23: ὀκνῶ δὲ μὴ τοῦτο ἢ τὰ ἀκίνητα κινεῖν. Scholiastes Platonis in cod. 2720, ordine verborum ab edito p. 28 diversus: παροιμία καθ' ὑπερβολὴν ὅτι μὴ δεῖ ἔδη κινεῖν, μηδὲ βωμοὺς, ἢ τάφους ἢ ὄρους: tantum.

(4) Ad hoc proverbium forsan alludebat Gregorius supra pag. 357: γνώσεται διώκων τὰ φεύγοντα.

(5) Male hoc adagium ad ea quæ sunt ὅτι ἀδυνάτων refertur. Codex 1000: δελφῖνα νήχεσθαι διδάσκεις· ὅτι τῶν πνὰς παιδοτριβούντων ὀν οἷς ἤσκηνται. Vide not. ad Aristæn. p. 625.

(6) Nec est dictum ὅτι ἀδυνάτων hoc proverbium. In Proverbiis metricis 1288 male redditur: « Mutuaris sole lumen. » Sensus est enim omnino diversus: mutuas soli lumen, soli lucem das mutuam. Vide Erasmi Adag. I, 7, 58; II, 5, 7; IV, 8, 25.

(7) Quod faciebat fatuus ille Corœbus: vide not. ad Nicet. Eugen. p. 380. Simile fere proverbium in Gregorii Naz. Orat. XXXIV, pag. 556, ubi de maris prodigiis agit: ἔχουσί τι λέγειν οἱ φυσικοὶ καὶ σοφοὶ τὰ μάταια, καὶ κυάθῳ μετροῦντες ὄντως τὴν θάλασσαν, τὰ τηλικαῦτα παῖς ἑαυτῶν ἐπνοίαις; ad quæ Basilius in scholiis ineditis: κυάθῳ δὲ θάλασσαν μετρεῖν παροιμία ἐστὶ ὅτι τῶν μικροῖς τοῖς σταθμοῖς καὶ μέτροις τὰ μέγιστα καταμετρούντων.

(8) Vide not. ad Marinum, et quæ nuper indicavit Bassus ad Eumath. IV, pag. 277; coll. Matthæio ad Jo. Chrys. Ecl. p. 287, Front. Duc. ad Joann. Chrysost. p. 415.

Λύκου πλεῶν ζητεῖς.
Τράγον ἀμέλγεις (1).
Ἄμμον θαλάσσης κοφίνῳ ζητεῖς μετρεῖν (2).
Ἐλαίῳ πῦρ σβεννύεις.
Αἰγιαλῷ λαλεῖς (3).
Λίθῳ διαλέγου (4).
Ἄνευ πλερῶν ζητεῖς ἱπτασθαι.
Φαλακρῷ κτένας δανείζεις (5).
Τυφλῷ κάλοπτρον χαρίζῃ.
Ἠπειρώτῃ δίκτυα δίδως.
Πρὸς κωφοῖς ἀποπέρδεις (6).
Ἄνεμον διώκεις.
Παρὰ δικτύοις (7) ὕδωρ κομίζεις.

(1) Nescio an hinc explicandus et illustrandus Dinysius Aspergillo VII, ubi quemdam hominem tangit, famosum, ait, « pela teima com que intenta » Mungir d'um gran bode as » grandes tetas. »

(2) Jacobsium vide ad Anal. Epigr. inc. 34.

(3) Cod. αἰγιαλόν. Sic quidem λαλεῖν construunt quandoque recentiores, quod ostendi ad Syntipam p. 74; sed unice hic probum est αἰγιαλῷ, quod tenent reliqui paroemiographi. Sic peccavit infra librarius φαλακρὸν scribens et πυφλόν.

(4) Non abludit locus Theodori Metoch. Misc. pag. 275: λίθους ἔψων τῆς παροιμίας καὶ ἀνδριάσι προσδιαλεγόμενος. Legendum videtur μετὰ τῆς παροιμίας, ut alibi scripsit auctor (cf. supra p. 395, n. 1).

(5) Cod. δανίζεις, ut et supra. Passim librarii, pronunciatione sua abrepti, ι et ει confundunt. Incertus poeta Galeni Protr. c. 13: καὶ ὄνος, φησὶ, λὰξ ὄπ, εἰ βούλεται, ἐείσας, αὐτὸν τὸν στέφανον οἴσεται. Gatakerus, qui disjuncta membra poetæ conatu infelici adunare et reparare tentavit, in fine hexametri ἐείσας posuit; scribendum omnino ἐρείσας. Perdiccas Ephesius ipso Expositionis initio: Ὡς αὐτοψὶ πθέαχα, οὕτως αὐτὸς ἐκφράσω. Scripserat, puto, auctor ipse αὐτοψί. Andreopulus de Syntipa p. 121: εἰ μὴ καὶ τοὺς τρεῖς ἡμᾶς αὐτοψὶ θεάσηται. Regula hæc est Herodiani Epim. p. 258: τὰ εἰς ψι διὰ τῆς ει διφθόγγου γράφονται, οἷον, αὐτοψί. Grammaticus ineditus infra edendus: τὰ εἰς ψι διὰ διφθόγγου, αὐτόψει· πλὴν τοῦ ὕψι, ἀντὶ τοῦ διὰ ὕψους.

(6) Malim πρὸς κωφοὺς, vel παρὰ κωφοῖς. Ceterum hoc proverbium, ut et alia nonnulla, non ὀπὶ τῶν ἀδυνάτων dictum fuit.

(7) Exspectabam δικτύῳ sine præpositione, ut est in loco Georgidis p. 29, 4. Cf. p. 395, 2.

ϛ'.

ΕΠΙ ΤΩΝ ΡΕΠΟΝΤΩΝ ΕΥΚΟΛΩΣ ΕΙΣ ΤΙ

ΚΑΙ ΑΚΡΙΒΩΣ ΕΙΔΟΤΩΝ ΤΟΥΤΟ.*

Ἵππος εἰς λεῖον πεδίον (1).
Ἀετὸς εἰς θήραν.
Ξυρὸς εἰς ἀκόνην (2).
Σφαῖρα κατὰ πρανοῦς (3).
Πῦρ εἰς ἀκάνθας.
Σπόγγος εἰς ὕδωρ.

ΕΠΙ ΔΕ ΑΔΥΝΑΤΩΝ ΠΡΑΓΜΑΤΩΝ

ΤΑΥΤΑ ΟΦΕΙΛΕΙ ΛΕΓΕΣΘΑΙ.

Ὄρνιθος γάλα ζητεῖς (4).
Φακοῦ γωνίαν κάμπτεις.
Ὠὸν τίλλεις (5).
Θάλασσαν σπείρεις.

* E cod. regio 1630, p. 88, 1; 76, 1.

(1) Cod. 1000 : ἵππον εἰς πεδίον προκαλῇ· ὅτι τῶν προτρεπομένων πινὰς ἐπίμους καὶ αὐπνοὺς ὄπας καὶ πεφυκότας ὅτι π. Scholium ad Platonis Theæt. pag. 29 : ἱππῖς προκαλεῖσθαι εἰς πεδίον· ὅτι τῶν πνοὺς ἔν τα δελπνὲς καὶ ἐπιστημονικωτέρους αὐτῶν εἰς ἔλεν προκαλουμένων. In cod. 2720 est ἐπιστημονεστέρους, idque bonum; cum notula marginali : κέχρηται ταύτῃ Λουκιανός. Usus est scilicet eo adagio Lucianus Pisc. 9. Synesius Epist. CLIV : πάνυ σαφῶς δι' αὐτῶν καταμεμαθηκὼς τῶν ἔργων τὴν σὴν θαυμασίαν κεφαλὴν χαίρουσάν τε φιλανθρωπίᾳ καὶ τοῖς δεομένοις χεῖρα βυλομένην ὀρέγειν, ἐπ' αὐτὸ δὴ τοῦτο παρακαλῶ, ἵππον εἰς πεδίον, τὸ τῶ λόγου, προτρέπειν ἡγούμενος. Quo in loco codex 1038 habet χεῖρα βοηθείας ὀρ. : codex autem 1040, χ. βυλ. παρέχειν. Opto bonos reperiri codices qui pessimam illam figuram κεφαλῆς χεῖρα ὀρέγειν βουλομένης deleant. Similia vitia notavi ad Euripid. Iph. T. 336.— Cf. not. ad Eunap. p. 384.

(2) Cod. 1000 : ξυρὸς εἰς ἀκόνην· πρὸς τοὺς πεφυκότας πρὸς ὀπδήποτε. Cf. not. ad Aristæn. p. 439.

(3) Respexit, puto, id proverbium Nicephorus Chumnus supra p. 308, 20.

(4) Cod. 1000 : γάλα ὀρνίθων, ὅτι τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων. Vide Beck. ad Aves 730.

(5) Conf. Phrynich. Appar. pag. 69.

Πλίνθον πλύνεις.
Κωφῷ ὁμιλεῖς.
Τυφλῷ διανεύεις.
Ἀνδριάντα γαργαλίζεις.
Εἰς τετρημένον πίθον ἀντλεῖς.
Ἄστρα τοξεύεις (1).
Πῦρ ἀλείφεις.
Κατὰ μαχαιρῶν κυβιστᾷς (2).
Κοσκίνῳ φέρεις ὕδωρ.
Νεφέλας ξαίνεις.
Αἰθίοπα λευκαίνεις.

(1) Simile, quod modo lectum est inter Plutarchea, εἰς οὐρανὸν τοξεύεις. Potest conferri πτύειν ἄστρα in Theodori Met. Misc. pag. 371: καί τις ἀφροντεστάτη τοῦ θεοῦ πτύειν ἄστρα καὶ λίθους ἕψειν, καὶ τἄλλ' ὅσα τοῖς παροιμιαῖς μελαγχολῶντων, ὡς εἰπεῖν, ἔργα. Proverbium λίθους ἕψειν habet et Nic. Chumnus in Plotinum p. 454: καί γε αὐτῆς παροιμίας (cod. 2105, κ. γοῦν τῆς π.) ἐπ' ἀδυνάτων λίθους ἕψειν λεγούσης, Πλάτων ἡμῖν τὰς ψυχὰς ἐν Πυριφλεγέθουσιν ἕψει: ubi Creuzer. legendus. Cod. 1000, λίθον ἕψειν· ὅτι τῶν ἀμηχάνων. Cf. not. ad Aristæn. p. 723, et supra p. 396, n. 4.

(2) Xenoph. Mem. I, 3, 9: οὔτος κἂν εἰς μαχαίρας κυβιστήσειε, κἂν εἰς πῦρ ἅλοιτο: ubi Ruhnken. Philostratus V. A. VII, 3: ἐμοῦ γὰρ σμικρὸς λόγος, εἰ ξυμβουλεύοιμι αὐτῷ μὴ κυβιστᾶν ἐς ὀρθὰ ξίφη. Fuit inter præstigiatorum miracula, ut in enses strictos capite prono corpus rotarent: vide Schweigh. ad Athen. IV, 3; Heind. ad Euthyd. 55. Artemidorus I, 76: τοῦ γὰρ παίκτου δὲ, ἢ μαχαίρας περιδινεῖσθαι ἢ ἐκκυβιστᾶν, τοῖς μὲν ἔθος ἔχουσιν οὐ πονηρὸν, τοῖς δὲ λοιποῖς εἰς ἔρωτα ἐλάσαι κίνδυνον σημαίνει: ubi Rigalt. et Reiff., collatis Casaubonianis p. 54 et nota Peerlk. ad Muson. p. 312.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΠΡΩΤΑΣΗΚΡΗΤΙΣ

ΚΥΡΟΥ ΛΕΟΝΤΟΣ ΤΟΥ ΒΑΡΔΑΛΗ

ΣΤΙΧΟΙ ΙΑΜΒΙΚΟΙ

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΑΡΟΥΣΙΑΝ.*

Στενὰς πύλη (1) δείκνυσι σαφῶς εἰσόδους,
Ἐκ τῶν θεοθύρων ὀκφοβοῦσα καθάπαξ.
Ἄνω ποταμὸς ὀκ ποδῶν κριτοῦ βρύων,
Καὶ δαπανηρὰν ἀλιτεροῖς ἕλκων δίκην,
Κατὰ κεφαλῆς τοῦ περσιόντος φλέγει.
Δυὰς παρεστάτις δὲ πάλιν ἀγγέλων
Πλευρὰς ἀτεχνῶς διορύττουσιν ἄγαν·
Ὁ μὲν γὰρ ἀκμὴν ἀνατείνεται σπάθης·
Ὁ δ' αὖ γραφικῆς ὀξυτάτῳ καλάμῳ
Κώδικα (2) πικρὸν ἐγχαράττει πλαισμάτων.
Ἀλλὰ σενωθεὶς ἀνάδραμε ταχέως,

* E cod. regio 1630, p. 147, 2. — Hos versus editurum esse me professus sum supra p. 161, ubi auctor mihi fuit Barda male vocatus. In indice codicis a St. Lemonio (ap. Fabric. Bibl. Gr. t. XI, p. 570) inaccurate lecti descriptique legitur pejus, Λέοντος τοῦ Βαρᾶλ, *Leonis Barali*, qui (ibid. p. 577) in nominandi casu *Leo Barali* dicitur. Codex a me inspectus mihi Βαρδᾶ exhibere primum videbatur, indeque hic homo Barda fuit a me dictus; nunc autem fere certus sum scripturam ibi literis constare hisce, βᾶρ, quas sic diductim exhibendas reor, Βαρδαλῆ. Exstitit enim, Andronici senioris ætate, Protosecretarius nomine Βαρδαλῆς, quod ex ineditis Nicephori Chumni epistolis didici.

(1) Describit ornamenta vel picta vel sculpta portæ templi cujusdam, quibus ultimi judicii (hic enim est verborum ἡ δευτέρα παρουσία sensus) imago exhibebatur.

(2) Cod. κόνδικα.

Ὄμματα καὶ νοῦν ἀνάγων, καὶ καρδίαν,
Καὶ τῷ θρόνῳ προσδραμε τῷ τοῦ δεσπότου,
Ψυχῆς τελῶν κάθαρσιν ἐκ τῶν δακρύων.
Καὶ γὰρ κἀκεῖθεν ἐκδίδωσιν ἀφθόνως
Τὸ σωστικὸν πέλαγος τῆς εὐσπλαγχνίας,
Ψυχὰς προπέμπον ἐκ τειχυμίας βίου
Πρὸς τοὺς ἀκλύστους καὶ γαληνοὺς λιμένας.
Ὡς ἂν δὲ, τὸν πλοῦν ἀνύσας σεσωσμένως,
Τοὺς εὐχαρίστους ἀναπέμψειας λόγους,
Νεὼς ὅδ' αὐτὸς, ἡ ξένη θεωρία,
Ψυχῶν ἱλαστήριον, ἐκ συμφωνίας
Τῶν ἀγγελικῶν ἀσμάτων πεπλησμένον.
Εἴσιθι λοιπόν· μὴ δέδιθι τὴν πύλην.

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΤΥΜΒΙΟΙ.*

α'.

Τὸ πῶμα πάτει· τίς δὲ μὴ ζήτει, ξένε.
Ἤμην τις, ἤμην· εἴθε μηδ' ἤμην ὅλως!
Εἰς φῶς πρῆλθον, ἀλλ' ἐπλανήθην σκότει.
Οὐκοῦν, ἀμέτρως πρὸς κεκρουκὼς τῷ βίῳ;
Πᾶσι καταπάτημα κεῖμαι σὺν δίκῃ.
Σὺ δὲ στενάζων διάβαινε τὸν βίον.

β'.

Πάντες πατεῖτε πῶμα, πατεῖσθαι δέον,
Πλείστοις ἁμαρτήμασιν ἐξωγκωμένον,
Σκεῦος ῥυπαρὸν, ἀκαθαρσίας γέμον.
Ποσὶ γὰρ ἁγνοῖς συνθλίβοντες ἐκπόνως

* Ex eodem codice ibid.

Χεῖρας δ' ἀνατείνοντες ἱλασληρίους,
Ὕλην ἀναλύσοιτε πρὸς γαῖαν τάχα,
Τὸ πνεῦμα κουφίσαντες ἐξ ἀχθηδόνος,
Ναὶ, πατέρες, ναὶ, ξυγγενεῖς, ξένοι, φίλοι.

γ'.

ΤΟΥ ΑΥΤΟΥ ΜΟΝΟΣΤΙΧΟΝ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νεκρὸν (1), ψυχὴν κτείναντα, πατεῖτε, σλίφη.

δ'.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΟΙΝΟΧΕΙΟΝ ΑΡΓΥΡΟΥΝ.*

Ἄργυρος ἠχῶν οὑτοσὶ τάχα λέγει·
» Δαιτυμόνες, μέμνησθε τῆς συμμετρίας·
» Ὑβρισλικὸς γάρ ἐσλι κἀνταῦθα κόρος (2),
» Πικρὰς ἐρυγὰς ἀναδιδοὺς ἐγγύθεν.
» Τοῦ δ' ἀκράτου μάλισλα τὴν ἀκρασίαν
» Φεύγοντες, ἡδύνοισθε σὺν εὐκρασίᾳ.

(1) Ex eodem codice ibid.

* Ex eodem codice pag. 63, cum lemmate τῷ προφασικρῆτης, quod de eodem Bardale capiendum videbatur.

(2) Philo Vita Mosis p. 714: πίκπι γὰ κόρος ὕβριν, ὡς ὁ τῶν παλαιῶν λόγος. Conf. supra p. 49, n. 3; Anton. S. 77, pag. 112; Stob. tit. 43, 79. Adde Dœderl. ad Œdipi C. 120, ὁ πάντων ἀκορέσαντες. — Quum monear de implenda extrema paginæ regione, nonnihil subjiciam de proximis Œdipi versibus: οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις ὄμμασιν εἶρπον, κἀπὶ σμικροῖς μέγας ὥρμουν. Eo modo μέγας explicatum legi, qui poetæ menti, ni fallor, repugnet, quam sic intelligo, μέγας ὤν, εἰ μέγας ἐγενόμην: «ac si magnus aliquis et » præpotens essem, non propter » tenuia quædam avaræ hospita» litatis dona hic constitissem.» Jam, quod facio, Erfurdt. σμικρὰ retulerat ad primos tragœdiæ versus, ubi ἀσαπιστὰ δωρήματα, et quæ vix exspectet, Œdipus memorat. Adjectivum μέγας si ita interpreteris, non sine quadam veri specie infra chorus deceptum esse se ab Œdipo queretur: ἀπάτα δ' ἀπάταις ἐπέρασις ἐπέρα παραβαλλομένα. . . .

ε'.

ΕΠΙΣΤΟΛΗ

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΠΡΩΤΑΣΗΚΡΗΤΙΣ

ΠΡΟΣ ΤΟΝ ΜΕΓΑΝ ΛΟΓΟΘΕΤΗΝ ΤΟΝ ΜΕΤΟΧΙΤΗΝ.*

Μετωχέτευσας (1) καὶ τὸ ὕδωρ ἀφ' ἡμῶν ἐς τὸν Χοῦμνον (2). Εὖ γε, ἑταῖρε! Γηὼν ὕδωρ (3) ἀμφοῖν ὑμῖν τοῦτο γένοιτο. Σοὶ μὲν ἔθει γεωργεῖν ἀργύριον εἰς ὄλβον, μέγαν μέν, ἀλλ' οὐ μόνιμον, ὦ πολυτάλαντε· τῷ δὲ σῷ φίλῳ Χούμνῳ τάχει ῥέον εἰς ταχὺ μαραινόμενα λάχανα, ὧν γε δὴ πάντως αὐτῷ δεῖ, καὶ πὶ τῆς

* Ex eodem cod. p. 254, 2. —Fuit Bardales Theodori Metochitæ consobrinus, quod me docuit carminis inter poetica ejus logothetæ opuscula inediti inscriptio, quam e cod. 1776, p. 170, 2, proferam, una cum versibus plusculis, unde patebit quam flueret lutulenta illius poetastri musa, cujus orationem prosam, editis a Mullero ejus Miscellaneis, quam fuerit scabra, impedita, inamœna, didicimus: Εἰς τὸν ἑαυτοῦ ἀνεψιὸν τὸν Πρωτασηκρῆτις. Φίλτατ', ἄειστι δέ τ' ἀνδρῶν, θυμὸς ἔμ' ἀνώγει νῦν Μνήσασθ' εἴν γ' ἐπέεσσ' ὀλίγοις τεθτίρης νύθ' ἡμῶν Πουλυφάμου κείνης ἄρ' ἀγωγῆς ἱμεραέστης, Ἡνίκα πολλοῖς ἀμφοτέρω μεθ' ὁμηλίκεσσι Κάρτα διαπρεπέες δοκέομες, κάρτ' ὀπίσημοι, Διά γε πολλοῖς τρήγμασ' ἀγερθεῖσι νύθ' ἅμαδις Ξύμμιγ' ὀπηοίνοισιν ἄρ' ἄτμητα βιόοντες. Κοινὰ γὰ ἐς μάλ' ἔσαν γένος ἄγχιστα (f. ἀγχίστατα) δεσμά, Κοινὰ συναύλια, ναιετάουσ' οἰκήϊα κοινά, Κοινὰ λόγων μὲν ἔρωτες ἠδ' ἀθύρματα παίδων, Κοινὰ τυχερὰ δυσερχία νῶϊ τρήγματα τῆμος. Ἤματα πάνθ' ἅμα, νύκτες ἅπασαι, διάνδιχα Μή ποτ' ἔοντας ἀλλήλοιϊν ἔχεσκον ἡμᾶς. Ἔν τε ναοῖσιν ἅμ' ἄμφω, ἔν τ' ἀγυῆσιν ἅμ' ἄμφω, Δι' ἄερα πάντωσιν ἐρέμεθα συνωεὶς ἐρατή· Τοῖς τ' ἄποθέν περ ἐοῦσιν ἀκουόμεθ' ἅμαδις ὡς αὖ.

(1) Ludit in Theodori Metochitæ nomen.

(2) Nicephorum Chumnum, cujus supra orationes edidi.

(3) Est Γηὼν unus e Paradisi fluviis. In Bibliis quidem Γεὼν vocatur, sed et altera scriptura est in usu. Suidas, Γηὼν, ποταμός. Est etiam apud Suidam Γαιών: quod non alia est nominis forma, sed mala vocis Γεὼν varietas, permutatis de more ι et αι.

τραπέζης ἧς ἠξίωται παρ' ἐλπίδα. Ἡμῖν γε μὴν τὸ τροφὴν ἐπ' ἀλλοδαπῆς ποείζον κηπίον τουτὶ, ὃ (1) ἡ πάνυ ταῖς βίβλοις σπουδαζομένη σοι δίκη ἀστρῴα, ἐπὶ τοσοῦτον ἀδικουμένοις ἐπικαμφθεῖσα, ἐξ ἑωθινῶν τάχα δρόσων εὐθαλές τε καὶ γόνιμον ἀπεργάσαιτο. Ὑμεῖς δ', ὦ λῷστοι, ἔρρωσθε, καὶ ὀγκοῦσθε, σὺ μὲν τῷ χρυσῷ, τοῖς δὲ λαχάνοις ὁ Χοῦμνος.

(1) Addidi ὁ, quod et codex forsan olim exhibuit; sunt enim hic loci rasuræ vestigia.

ΠΕΡΙ ΕΠΙΡΡΗΜΑΤΩΝ.*

Χρὴ (1), καὶ ἀπόχρη ὁ παρξύνεται, καὶ ἐχρῆν ὁ περισπᾶται, η· ἄχει δὲ καὶ μέχει, ι.

Τὰ διὰ τοῦ οσε ἐπιῤῥήματα διὰ τοῦ ο μικροῦ γράφονται, οἷον, πανταχόσε, κυκλόσε, ὁμόσε ἀντὶ τοῦ ἀπηνῶς (2)· ὁποτέρωσε (3) ἀντὶ τοῦ εἰς ποῖον μέρος, ὡς τό· « οὐκ εἶχον ὁποτέρωσε νεύσω ὑπ' ἀμφοτέρων » ὁμοτίμων. »

Τὰ εἰς δην διὰ τοῦ η, οἷον, σκτάδην, διαῤῥήδην, ἄρδην, χύδην, ὀρθοσιάδην· Λουκιανός· « ἐγὼ δὲ καὶ » ὀρθοσιάδην δειπνήσαιμι »· συλλήβδην, πρεβάδην, πρηγεπάδην.

Τὰ καθαρευόντα ἐπιῤῥήματα διφθογγίζονται, οἷον, ἀεὶ, αἰεὶ, ἀθρεὶ, αὐτοβοεὶ, καὶ ἕτερα, πλὴν τοῦ πρωΐ.

Τὰ εἰς ζη διὰ τοῦ η, οἷον πεζῇ.

Τὰ εἰς θει διὰ διφθόγγου, οἷον, ἀμισθεὶ (4), παμπληθεὶ, ἀμοχθεὶ, πλὴν τοῦ αὐτόθι.

* E cod. regio 1270, p. 225. —Quum non relictum satis spatii longioribus scriptis esse videatur, grammaticales, historicas, miscellaneas observatiuncula hic inserere libuit, non magni plerumque momenti, nec tamen omnino spernendas.

(1) Opusculum est orthographicum et ad epimerismorum artem pertinet, conferendum cum Herodiani Epimerismis p. 254 sq., cui forsan tribuendum, vel Moschopulo. — Cod. ὁ παρξύνεται καὶ ἀπόχρη : quæ transposui.

(2) Monstrum interpretationis ! nescio qui grammaticus græcus in adverbio tam noto ac facili potuerit errare. Nec Lecapeni bona est regula : ὁμῶσι, ἀντὶ τοῦ ἐξ ἐναντίας, καὶ ὁμόσι, ἀντὶ τοῦ ὁμοῦ.

(3) Rectius Herodianus id adverbium per ω scribit, Epim. pag. 262.

(4) Herodianus ἀμισθὶ scribit, melius. Ceterum non consentiunt grammatici in scriptura plurimorum adverbiorum in ι et ει.

Τὰ εἰς κι διὰ τοῦ ι, οἷον, πανοικὶ, ὁνοικὶ, πλὴν τοῦ ὁκεῖ.

Τὰ εἰς λει διὰ διφθόγγου, ἀμελεὶ, ἀνομιλεὶ, ἀβουλεί.

Τὰ εἰς μει διὰ διφθόγγου, πανδημεὶ, ἀτρεμεὶ, ἠρεμεὶ ἀντὶ τοῦ μεθ' ἡσυχίας, ὡς παρ' Ἀριστοφάνει (1)·

Ἀλλ' ἠρεμεὶ σιωπήσαντες ἀκροασόμεθα·

πλὴν τοῦ μηδαμῆ.

Τὰ εἰς νι διὰ τοῦ ι, οἷον σφεταινὶ, πλὴν τοῦ ἀφθανεὶ (2), οἰονεὶ, κᾳ τηνεὶ ἀντὶ τοῦ ὁκεῖσε. Παγενῆ δὲ κᾳ πανσθενῆ, κᾳ ἀμηχανῆ κᾳ πεινὴ, διὰ τοῦ η.

Τὰ εἰς ξει διὰ διφθόγγου, οἷον, αὐτολεξεί.

Τὰ εἰς ιξ διὰ τοῦ ι, οἷον, ἀπεὶξ, πέρειξ.

Τὰ εἰς πι διὰ τοῦ ι, οἷον, ἀῤῥεπὶ, ἀτρεπὶ, πλὴν τοῦ ἀμηχέπη.

Τὰ εἰς πλι διὰ τοῦ ι, οἷον, ἀτρεπλὶ, ἀμεταστρεπλί.

Τὰ εἰς ρει διὰ διφθόγγου, οἷον, ἀκαρεὶ, πλὴν τοῦ ἀωρεὶ, αὐτοχειρεὶ, αὐτανδρί· ἀκαρῆ, διὰ τοῦ η.

Τὰ εἰς τι διὰ τοῦ ι, οἷον, ἀνιδιτὶ, ἀπονητὶ, ἀμοχητὶ, πανσπερατὶ, ἐθελοντὶ, ἑκοντὶ τὸ αὐτὸ, ἀφοφητὶ, ψηλαφητὶ, ἀτιμωρητὶ, ἀναιμωτὶ, ἀκοντὶ, ἀμηνυτὶ, ἀδακρυτὶ, ἀκονητὶ (3), κᾳ ἄρτι, πλὴν τοῦ ἁμαρτῆ (4) κᾳ ὁμαρτῆ.

(1) Aristoph. Ran. 314.

(2) Est reponendum ἀφανεὶ, cui adverbio, ut et aliis in hoc catalogo nonnullis, suus in lexicis locus nondum est datus.

(3) Forsan ἀκονιτὶ, confusione literarum ν et ι perpetua. Planudes in versione Rhetor. ad Herenn. III, cap. 24: πλείοσι λόγοις πρὸς ταῦτα σε παρακαλεῖν δεῖν οὐχ ἡγούμεθα. Matthæius conjicit πρὸς ταῦτα, aut πῦπ, aut πύπις, nihil veri: rescribo, πρὸς ταυτί.

(4) Codex, ἁμάρτη.

Τὰ εἰς σι διὰ τοῦ ι, οἷον, νεωσοῖ, ἑβραϊσοῖ, ῥωμαϊσοῖ, ἀπνευσοῖ, ἑλληνισοῖ, ἀπλαισοῖ, καὶ ἕτερα, πλὴν τοῦ ἀτελεσοῖ καὶ ἀπλησοῖ.

Τὰ εἰς κτι διὰ τοῦ ι, ἀσιακτὶ, ἀσκαρδαμυκτί· Λουκιανός (1)· « καὶ τὸν μοχλὸν ἀσκαρδαμυκτὶ » βλέποντας »· πλὴν τοῦ ἀμπρυκτεὶ (2) καὶ δακτυλοδεικτεί.

Τὰ εἰς φει διὰ διφθόγγου, οἷον, ἀξιφεὶ, ἀψοφεὶ, πλὴν τοῦ ἶφι, ἀντὶ τοῦ λίαν· κρυφῇ δὲ, ἀντὶ τοῦ κρυφίως, η.

Τὰ εἰς χει διὰ διφθόγγου, ἀμαχεὶ, πλὴν τοῦ μονονουχὶ, καὶ ἦχι, ἀντὶ τοῦ ὅπου· τὸ δὲ ἡσυχῇ, διχῇ, τειχῇ, τετραχῇ, πολλαχῇ, ἑκασταχῇ, διὰ τοῦ η.

Τὰ εἰς χθει διὰ διφθόγγου, ἀμοχθεί.

Τὰ εἰς χει διὰ τοῦ ι, μέχει, ἄχει· χρὴ δὲ, ἀπόχρη καὶ κατάχρη, η.

Τὰ εἰς ψει διὰ διφθόγγου, αὐτοψεὶ (3), πλὴν τοῦ ὕψι, ἀντὶ τοῦ εἰς ὕψος.

Τὰ διὰ τοῦ ηδον σκωπτόμενα διὰ τοῦ η γράφονται, οἷον, ποταμηδὸν, ἡβηδὸν, κρουνηδὸν, συσσηδὸν· καὶ Ἡρωδιανός (4)· « ἐπέθεόν τε πρὸς τὴν συσσηδὸν μάχην » ἀντιτυπεῖς »· μελιδὸν, λαθριδὸν ὡς παρὰ Λουκιανῷ (5), λαβριδὸν, κυνιδὸν, βομβιδὸν, ἀτελιδὸν, κρουνιδὸν, σωριδὸν, πλὴν τοῦ ἀκριδὸν καὶ ἀποκριδόν.

Τὰ διὰ τοῦ εον θετικὰ διὰ τοῦ ε ψιλοῦ γράφεται,

(1) Lucian. Tim. 14.
(2) Forsan, ἀκμρυκτὶ, ut est apud Herodianum.
(3) Vide p. 396, n. 5.
(4) Herodian. Hist. VI, 7, 8. Cod. ἀνηπυπίς. Editi, συρσδόν.
(5) Lucianus, De cal. 21, habet λαθριδά.

οἷον, ποιητέον, λαλητέον, ἀναγνωστέον, πλὴν τοῦ εὐκταῖον καὶ ἀπευκταῖον (1).

Τὰ διὰ τοῦ οθεν ἅπαντα, παροξύτονα μὲν, διὰ τοῦ ο μικροῦ, οἷον, θεόθεν, βρεφόθεν· τὰ δὲ περιπαροξύτονα διὰ τοῦ ω μεγάλου, ἄνωθεν, κάτωθεν, ἔξωθεν, πλὴν τοῦ δεύρεθεν, ἄποθεν, οἴκοθεν, ἄλλοθεν, πάντοθεν.

Τὰ εἰς ως διὰ τοῦ ω μεγάλου, οἷον, καλῶς, δικαίως, εὐσεβῶς, ὁσίως, ἀσπασίως, ἀσπόρως, ἐπιχαρίτως, σκθύμως ἀντὶ τοῦ ἐξ ὅλης ψυχῆς, περδοτικῶς, ῥαθύμως, ἀμελῶς, σκπληκτικῶς, καταχόρως, μικρῶς, ἐπιτερπῶς, ἀνεπαισθήτως, εὐκλεῶς, σνδοτικῶς, θαῤῥούντως, ἀπιθάνως, πλὴν τοῦ πάρος ἀντὶ τοῦ ἔμπροσθεν, ἔναγχος ἀντὶ τοῦ χθὲς, ἀνακράτος (2), καταχράτος, σντὸς, σκτὸς, διαβραχέος, διαπαντός.

(1) Bastius Epist. p. 217, ubi de εὐκταῖον et εὐκτίον agit, locum prorsus similem ex Herodiano grammatico profert.

(2) Codex, ἀνὰ κράτος, κατὰ κράτος, διὰ παντὸς, scriptura per se quidem optima, sed hic loci prava, quum divisim scriptæ voces speciem adverbiorum jam non habeant.

ΤΟΥ ΠΛΑΝΟΥΔΗ.*

Ἀντὶ τοῦ εἰπεῖν ἰδικῶς (1), Ἀττικοὶ ἰδίᾳ λέγουσι, οἷον, ὡμίλησα τῷ δεῖνι, μηδενὸς ἑτέρου παρόντος.

Ἀντὶ τοῦ εἰπεῖν ταχέως ἦλθε, τάχος ἦλθε λέγουσι, ἢ ἦλθε ταχὺ λέγουσι.

Ἀντὶ τοῦ εἰπεῖν συνεχρονήθη πόλεμος, ἐπερράγη τὰ στρατεύματα λέγουσι, καὶ ἐπερράγη πόλεμος, καὶ συνέρρηξαν ἀλλήλοις τὰ στρατεύματα.

Ἀντὶ τοῦ εἰπεῖν ὀξέως ἐπερράγη, ἤγουν βλαπτικῶς, ὀξὺς ἐπερράγη λέγουσι.

Ἀντὶ τοῦ εἰπεῖν λίαν, ὁτιμάλιστα λέγουσι, καὶ, ἀντὶ τοῦ ταχέως, ὁτιτάχιστα.

Ἀντὶ τοῦ εἰπεῖν οὐκ ἔλαττον, οὐχ ἧττον λέγουσι· τοῦτο δὲ ἀντὶ τοῦ κρείττονος (2) λαμβάνεται· οἷον, τόδε τοῦδε οὐχ ἧττον, ἀλλ' ἴσον δηλονότι ἢ κρεῖττον.

Ἀντὶ τοῦ εἰπεῖν οὐδαμῶς, πολλοῦ γε καὶ δεῖ λέγουσι· τοῦτο δὲ λέγεται περιγησαμένης ἐρωτήσεως· οἷον, ὁ δεῖνα ὅμοιος τῷ δεῖνι; πολλοῦ γε καὶ δεῖ, λέγουσι.

Ἀντὶ τοῦ εἰπεῖν διότι, ἐφ' ᾧ λέγουσι μετὰ διαστολῆς πνευμάτων, οἷον, ἐφ' ᾧ καὶ (3) κλοπὴν εἰργάσω, οὐκ ἀτιμώρητος ἔσῃ· οὕτω λέγουσι καὶ ἐφ' οἷς, οἷον, ἐφ' οἷς τὸν νόμον οὐ τηρεῖς, κολασθήσῃ.

Ἀντὶ τοῦ εἰπεῖν σπουδάζω περὶ τόδε, διὰ σπουδῆς ἔχω τόδε λέγουσι.

* E codice Parisino 1270, p. 226. Collatis Anonymi, apud Villoisonum Diatr. p. 79, ἀτπικισμοῖς, putaverim illum anonymum Planudis nomine esse donandum; ni Planudes ex anonymo profecisse dicendus sit.

(1) Codex, ἰδία. Correxi e Villoisono.

(2) Malim κρεῖττον.

(3) Villois. τὴν, non καὶ, melius.

Ἀντὶ τοῦ εἰπεῖν εὐχαριστῶ σοι, ἔχω σοι χάειν, οἶδά σοι χάειν· ϗ εἴσομαί σοι χάειν, ἐπὶ μέλλοντος.

Ἀντὶ τοῦ εἰπεῖν εὐχαρίστει μοι, ἔχε μοι χάειν λέγουσι, γίνωσκέ μοι χάειν.

Ἀντὶ τοῦ εἰπεῖν μνημονεύω τοῦ δεῖνος, διὰ μνήμης ἔχω τὸν δεῖνα λέγουσι· οὕτω καὶ διὰ φροντίδος ἔχω τὸν δεῖνα καὶ δι' ἀγάπης καὶ δι' ἀμελείας καὶ δι' ἐπαίνου καὶ διὰ φόγου, ἀντὶ τοῦ μνημονεύω καὶ ἀγαπῶ (1), καὶ ἐπαινῶ καὶ φέγω.

Τὸ τοῦ, τὸ τε, καὶ τὸ γε, ὅτε ἔχουσι περὶ ἑαυτῶν λέξιν ἔχουσαν τόνον, ἀποβάλλει τὸν ἴδιον τόνον, οἷον, ἔκ του, ἔκ τε, ἔκ γε.

Αἱ ἐκ δύο μακρῶν ἀντωνυμίαι φυλάττουσι τὸν τόνον.

Τὸ ποῖ ἀντὶ τοῦ ποῦ γράφεται διὰ τοῦ ο καὶ ι, ὅτε κεῖται ἐπὶ ἠρεμίας, οἷον, ποῖ εἰμί; διὰ τοῦ η δὲ, ὅτε ἐπὶ κινήσεως· Σοφοκλῆς (2)· « πᾶ πᾶ γὰρ οὐκ » ἔβαν ἐγώ »; Αἰσχύλος (3)· « πῇ μ' ἄγουσι τηλέ- » πλαγκτοι πλάνοι; »

Τὸ εἶτα ἀντὶ τοῦ μετὰ ταῦτα γράφεται, ἀλλὰ καὶ ἀργὸν κεῖται πολλάκις· « οὐκ ἔδει σε ἀδελφὸν » ἐμὸν ὄντα, εἶτα δειλὸν εἶναι »· καὶ ἀντὶ τοῦ ἄρα (4).

(1) Omisit librarius καὶ ἀμελῶ.
(2) Soph. Aj. 866.
(3) Æsch. Prom. 595. Codex, πηλέκπλαποι.
(4) Hic deficit libellus. Relictæ sunt paginæ puræ quinque reliquam Planudis annotationem exspectantes, ut videtur.

ΣΥΜΜΙΚΤΑ.*

Συκῆ (1) ὀργῶσα, ἄμπελος ἡβῶσα, ἐλαία βρύουσα. Τὸ τῆς συκῆς φύλλον, θεῖον· ὁ τῆς ἀμπέλου κλάδος, κλῆμα· ὁ τῆς ἐλαίας, θαλλός.

Ἀπὸ (2) τῶν δένδρων ταῦτα εἰσὶν ἀειθαλῆ δι' ὅλου τοῦ ἐνιαυτοῦ, φοίνιξ, κίτρον, σέβιλος, δάφνη, μυρσίνη, κυπάρισσος, ἐλαία, κεραταία, πίτυς, πεύκη, πύξος, κέδρος, ἄρκευθος, κισσός.

Περὶ φθορᾶς (3), διαφθορᾶς καὶ καταφθορᾶς. Φθορά ἐστι φύσεως ἀσθένεια καὶ ἔλλειψις τῶν φυσικῶν ἕξεων, καὶ ἐνεργειῶν καὶ δυνάμεων· διαφθορὰ δὲ, ὅταν ἄλλη οὐσία δι' ἑτέρας ἀφανίζηται, ὡς ὑπὸ σκωλήκων τὸ σῶμα· καταφθορὰ δὲ, ἡ παντελὴς τοῦ σώματος ἀπώλεια.

Βρέβιον (4) λέγεται ἡ κατ' ἐπιτομὴν σύντομος γραφή· βρεβίω γὰρ κατὰ Λατίνους τὸ τέμνω· λέγεται καὶ βρεβίτα ἡ συντομία.

Τὰ περιεκτικώτερα (5) τῶν ἐκ τῆς γῆς φυομένων, ἐκ τοῦ Θεοφράστου (6)· δένδρον, θάμνος, φρύγανον, πόα. Δένδρον μὲν οὖν ἐστι τὸ ἀπὸ ῥίζης μονοστέλεχες, πολύκλαδον, ὀζωτὸν, οὐκ εὐαπόλυτον, οἷον, ἐλαία, συκῆ, ἄμπελος· θάμνος δὲ τὸ ἀπὸ ῥίζης πολύκλαδον, οἷον, βάτος, παλίουρος· φρύγανον δὲ τὸ ἀπὸ ῥίζης πολυ-

* Illud lemma addidi.

(1) E codice regio 1630, pag. 115, 1.

(2) Ex eodem cod. p. 115, 2.

(3) Ex eodem codice p. 76, 1, et 119, 1. Est duplex lectio ἀπὸ et ὑπό: hanc prætuli. In posteriore loco διαφθορά post καταφθορά explicatum est.

(4) Cf. Cangius in Βρέβιον.

(5) Ex eodem cod. p. 115, 2.

(6) Theophr. Hist. plant. 1, c. 5. Editionum lacuna inde erit supplenda.

σέλεχες καὶ πολύκλαδον, οἷον καρπὸν (1) καὶ πήγανον· πόα δὲ, τὸ ἀπὸ ῥίζης φυλλοφόρον περιόν, ἀσέλεχες, οὗ ὁ καυλὸς σπερμοφόρος, οἷον, ὁ σῖτος καὶ τὰ λάχανα.

Ἐν τῷ (2) περὶ λέξεων Διονυσίου. — Φύσκη τὸ παχὺ ἔντερον, ὃ λέγουσιν οἱ ἰδιῶται φούσκαν.

Λουκιανὸς (3) ἔχει ἔν τινι λόγῳ· « ἂν παρόδῳ τὴν » Ἀντιόπην ἰδὲ », ἀντὶ τοῦ ἴδε· καὶ σημειούμενός τις ἔξωθεν λέγει, ὅτι οὕτως οἱ Ἀττικοὶ ὀξύνουσι τὸ εἰπὲ, εὑρὲ, λαβὲ, ἰδὲ, ὁμοίως τῷ ἐλθέ.

Αὐθιγενεῖς (4) πολλαχοῦ ὁ Φίλων φησὶ τοὺς ἐντοπίους.

Ποσαχῶς (5) λαμβάνονται τὰ τοπικὰ ἐπιῤῥήματα; ἑξαχῶς· ἄνω, κάτω, ἔσω, ἔξω, δεξιὰ καὶ ἀριστερά.

Τί διαφέρει ἐχθρὸς, πολέμιος, δυσμενής; Ἐχθρὸς λέγεται ὁ ποτὲ φίλος· πολέμιος δὲ, ὁ μετὰ ὁπλῶν εἰς τὸν πέλας χωρῶν· δυσμενὴς δὲ, ὁ χρονίαν πρὸς τὸν ποτὲ φίλον ἔχθραν διατηρῶν.

Τί ἐστιν ὄκνος; ἀναβολὴ μελλούσης ἐνεργείας.

Τί ἐστιν ἔκπληξις; ἀσυνήθης θέα. Τί ἐστι κατάπληξις; μεγάλης φαντασίας ἰδέα.

Τί ἐστιν αἰδώς; δειλία, προσδοκωμένου τινὸς ἐναντίου. Τί ἐστιν αἰσχύνη; ἐντροπὴ ἐπὶ αἰσχρῷ πράγματι (6).

(1) Sic codex.
(2) Ex eodem codice p. 92, 1.
(3) Ibid. pag. 91, 2.
(4) Ibid. pag. 101, 1.
(5) Ex eodem codice p. 202.
(6) Pulcherrimus est de τῇ αἰδοῖ καὶ αἰσχύνῃ, quomodo differant, locus Gregorii Nysseni tom. 1, pag. 396; sed lacuna fœdatus, quam implebo ope codicis 1630, p. 125 : καί ἐστιν, ὡς ἄν τις ὅρῳ τὴν διαφορὰν αὐτῶν ὑπογράψειεν, αἰσχύνη μὲν ὀπιπταμένη αἰδὼς, αἰδὼς δὲ τὸ ἔμπαλιν ὑφειμένη αἰσχύνη. Δείκνυται δὲ καὶ τῷ κατὰ πρόσωπον χρώματι ἢ τῶν παθῶν (insere πάντων e cod.) διαφορά τι καὶ κοινωνία, κ. τ. λ. Plenius cod... ὑφειμένη αἰσχύνη. Μᾶλλον

Τί ἐστιν ἀγωνία; θόρυβος ἀποτυχίας.

Τί διαφέρει τὸ ὅτι τοῦ διότι; Διαφέρει ὅτι ὁ μὲν ὅτι βεβαίωσιν καὶ αἰτίαν δηλοῖ, τὸ δὲ διότι αἰτίαν μόνην· οἷον· ὅτι μὲν ἐκλέλοιπεν ἡ σελήνη οἴδαμεν, διότι δὲ οὐκ οἴδαμεν.

Ὅτι κυρίως Ἀσσύριοι οἱ Χαλδαῖοι, ἤτοι οἱ Μῆδοι, λέγονται.

Ἄγκυρα, πόλις· ἀγκύρα δὲ, ἡ τοῦ πλοίου.

Ἀκμὴ σημαίνει δ'· τὸ μεσαίτατον τοῦ καιροῦ, τὴν τοῦ σιδήρου ὀξύτητα, καὶ τὴν νέαν ἡλικίαν, καὶ τὴν τῆς θερμασίας ἀνάβασιν.

Τέλος σημαίνει ς'· τὸ τάγμα, τὸ πέρας, τὸ πρᾶγμα, τὴν ἑορτὴν, τὸ πάκτον, καὶ τὸ διδόμενον.

Ἀγορὰ σημαίνει δ'· τὸ συνέδριον, τὸν φόρον, τὸ τίμημα, καὶ τὸ ἀγορασθέν.

Θώραξ σημαίνει γ'· τὸ ὅπλον, τὸ ἱμάτιον, καὶ τὸ σῖτος.

Τὸ ἴνδαλμα ποτὲ ἐπὶ τοῦ παντάπασιν ἀνυποστάτου λέγεται, ὡς ἐπὶ σκιᾶς καὶ κατόπτρου· ποτὲ δὲ καὶ ἐπὶ τοῦ μετέχοντος ἀληθείας τινός.

Τὸ δρῶ σημαίνει δ'· τὸ κρατῶ, τὸ φεύγω, τὸ πράττω, καὶ τὸ ἀγρίως βλέπω.

Τὸ λέγω σημαίνει ὀκτώ· τὸ λαλῶ, ἐξ οὗ καὶ λόγος· τὸ μετρῶ, ἐξ οὗ καὶ ὡρολόγιον, τὸ τῶν ὡρῶν μέτρον· τὸ κοιμῶμαι, ἐξ οὗ καὶ λέχος, ἡ κοίτη· τὸ ἐπιτυγχάνω, ἐξ οὗ καὶ τὸ λελέχασι παρὰ τῷ Ποιητῇ (1)·

δὲ κυριώτερον ἄν τις καθίκοιτο τῆς τῶν ὀνομάτων ἐμφάσεως, εἰπὼν, αἰσχύνην μὲν εἶναι τὴν μετὰ πρᾶξιν τῶν καταγνωσμένων ὀπτανομένην αἰδῶ, αἰδῶ δὲ κατὰ τὸ ἀντίστροφον τὴν πρὸ τοῦ γενέσθαι τῶν καταγνωσμένων αἰσχύνην, δι' ἧς ἡ ὁρμὴ τῶν ἀπρεπῶν ἀνακόπτεται. Δείκνυται δὲ κ.τ.λ.

(1) Nullibi est apud Poetam λελέχασι, quod noverim. Legitur

τὸ φεντίζω, ὡς τὸ οὐκ ἀλέγω· τὸ συλλέγω, ἤγουν τὸ συνάγω· καὶ τὸ ἐκλέγομαι, ἤτοι διαλέγομαι· καὶ περκρίνω.

Τὸ αὔω σημαίνει δ'· τὸ λάμπω, τὸ ξηραίνω, τὸ φωνῶ· καὶ τὸ καίω, ἐξ οὗ καὶ βάναυσος.

Τίνα εἰσὶ τὰ μόρια τὰ καλούμενα στερητικὰ καὶ ἐπιτατικά; Στερητικὰ μὲν ε'· α, νε, νη, νο, καὶ νω· οἷον, ἄφιλος, νέπους· νῆστις, ὁ ἐστερημένος σιτίων· νοσῶν, ὁ ἐστερημένος σώου καὶ ὑγιοῦς· καὶ νωθρὸς, ὁ ἐστερημένος θερμότητος. Ἐπιτατικὰ δὲ ἑπτά· α, δα, ζα, λα, βου, ἀρι, καὶ ἐρι· οἷον, ἄξυλος οἰκία ἡ πολύξυλος, καὶ Ἄτλας ὁ πάνυ καρτερικός· δαφοινὸς, ὁ πάνυ μέλας καὶ φόνιος· ζάπλυτος, ὁ βαθύπλυτος· λαβρὸς, ὁ λίαν βαρύς· βούπαις (1).

Ὅτι (2) ὁ Πάξαμος εἷς ἦν τῶν σοφιστῶν τῆς ὀψοποιητικῆς πραγματείας, καὶ ὡς ἀπ' ἐκείνου, οἶμαι, ἐκλήθησαν τὰ παξαμάτια (3).

Περὶ τοῦ ὑπογράφειν τοὺς ὀφθαλμοὺς καὶ τὰ πρόσωπα (οὕτως γὰρ εὕρηται ἀεὶ παρὰ τοῖς παλαιοῖς) λέγει Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τῷ περὶ

λελόγχασι Od. Λ, 304, quod a λέγω non venit. Vide tamen Etym. M. p. 559, 14.

(1) Hic substitit librarius, relicto spatio, implendo facile vocibus ἀείγνωπος et ἐείγδουπος, aut aliis similibus. Tentabo obiter scholium ad Il. K, 305: ἐειαύχενας· μεγαλοτραχήλους, φολίους, ἀπὸ μέρους· τὸ ἐει γὰρ μόριον ὅπερ τὸ μεγάλα πίθηκα. Vox φόλιος merito displicuit Osanno, cujus vide Auctarium pag. 148. Propono, φομίας. Memini et vocis difficilis ζάδηλον apud Alcæum fragm. II: λαῖφος δὲ πᾶν ζάδηλον ἤδη. In sensu video non consentire viros doctos. Puto quidem λαῖφος ζάδηλον vel διάδηλον esse velum lacerum ac valde fenestratum.

(2) Ex eodem codice p. 95, 2. De Paxamo Needham. Prolegom. Geopon. pag. LXV cum fructu consuli poterit.

(3) Vide Corayum in Ἀπάκτις tom. 1, pag. 259.

χρήσεως Ἀττικῶν ὀνομάτων, ὅτι τὴν ὑπὸ εἰώθασιν οἱ παλαιοὶ πολλάκις καὶ ἀντὶ τῆς περὶ ἐκτιθέναι, ὡς τὸ ὑπειπεῖν ἀντὶ τοῦ περειπεῖν, καὶ ὑπάγειν ἀντὶ τοῦ παράγειν, οὕτως καὶ τὸ ὑπογράφειν τοὺς ὀφθαλμοὺς ἢ τὸ πρόσωπον, ἀντὶ τοῦ παγγράφειν.

Ὅτι τὸ τοῦ πόρνου ὄνομα ἐπὶ τοῦ πάσχοντος κωμολεκτεῖται παρὰ τοῖς σοφοῖς, οὐκ ἐπὶ τοῦ δρῶντος. Καὶ ἄκουε πάλιν (1) τοῦ αὐτοῦ Φιλοστράτου, ἐπιστέλλοντος τοιούτῳ τινὶ, καὶ πόρνῳ ἐπιγράφοντος (2). Ἀλλὰ καὶ ἐν ταῖς διασαφήσεσι τῶν τῆς ῥητορικῆς στάσεων δηλοῦται σαφῶς τὸ τοιοῦτον· συλλογισμὸς γάρ ἐστι καὶ παρὰ τοῖς ῥήτορσι στάσις οὕτω καλουμένη, καὶ ἓν τῶν παραδειγμάτων τῆς τοιαύτης στάσεως τυγχάνει καὶ τοῦτο· « νόμος τὸν ἐξ ἑταίρας μὴ λέγειν· » ἐκ πόρνου τις γεγονὼς κωλύεται λέγειν. » Ἰδοὺ κἀνταῦθα σαφῶς ὁ Ἑρμογένης (3) τὴν τοῦ πόρνου λέξιν ἐπὶ τοῦ πασχητιῶντος ἐξελάβετο.

Τὸ (4) τῆς ἀρχῆς ὄνομα κατὰ τρόπους συνίσταται ἕξ· κατὰ φύσιν, κατὰ νόμον, κατὰ ἔθος, κατὰ γένος, κατὰ βίαν, κατὰ πρόκρισιν. Κατὰ φύσιν μὲν γὰρ ἄρχει ὁ ἄνθρωπος τῶν ἀλόγων πάντων ζώων· κατὰ νόμον δὲ, ὡς ὁ (5) ἄρρην τοῦ θήλεος καὶ ὁ γεννήσας τοῦ γεννηθέντος· κατὰ ἔθος δὲ, ὡς οἱ παιδαγωγοὶ τῶν παίδων καὶ οἱ διδάσκαλοι τῶν φοιτητῶν· κατὰ γένος δὲ ἄρχει τις, ὅταν ἐκ διαδοχῆς τοῦ πατρὸς ὁ υἱὸς καὶ οἱ τούτων κατιόντες ἐφεξῆς κρατῶσι τῶν ὑπηκόων,

(1) Πάλιν, scilicet ob factam Philostrati mentionem in præcedente quadam observatione, ea nempe quam protuli ad Aristænetum p. 743.

(2) Philostr. Epist. 69.

(3) Hermog. Partit. p. 16.

(4) E cod. 1630, p. 123, 2.

(5) Inter ὡς et ὁ prorsus sunt deletæ et erasæ voces aliquot.

ὅπερ φυλάττεται μάλιστα ἐν τοῖς βαρβάροις ἔθνεσιν· κατὰ βίαν δὲ, ὡς οἱ ἐκ τυραννίδος βιασάμενοι πόλεις καὶ χώρας, καὶ μὴ βουλομένων κρατοῦντες τῶν ἐνοικούντων· κατὰ πρόκρισιν δὲ βασιλεύει τις, ὅταν ὑπ' αὐτῶν τῶν πολιτῶν καὶ τῶν ὑπηκόων αἱρεθῇ ἄρχειν καὶ κυβερνᾶν αὐτῶν.

Τί (1) διαφέρει τὰ πρός τι τῶν ὡς πρός τι; Διαφέρει ὅτι τὰ μὲν πρός τι σωστικά εἰσιν· οὐ γὰρ εἴρηται πατὴρ ἄνευ υἱοῦ, οὐδὲ υἱὸς ἄνευ πατρός· τὰ δὲ ὡς πρός τι ἀναιρετικά· ἀναιρουμένης γὰρ τῆς ἡμέρας ἔρχεται νὺξ, καὶ, ἀναιρουμένης τῆς ζωῆς, ἔρχεται ὁ θάνατος.

Βασιλεία οὐρανῶν ἐστιν ἔλλαμψις τοῦ ἁγίου πνεύματος ἐν ψυχῇ γενομένη. Βασιλεία οὐρανῶν (2) ἐστιν ἀπάθεια ψυχῆς μετὰ γνώσεως τῶν ὄντων ἀληθοῦς. Βασιλεία θεοῦ ἐστι γνῶσις τῆς ἁγίας τριάδος.

Ὅτι (3) τῶν κδ' στοιχείων, φοινίκων μέν εἰσι τὰ πρῶτα ις', Παλαμήδους δὲ δ', καὶ Σιμωνίδου τοῦ Κείου (4) ἕτερα δ'.

Ὅτι (5) τὰ νόμιμα ἅπαντα καὶ τὴν σοφίαν πᾶσαν εἰς Ἀθήνας ἐξ Αἰγύπτου φασὶν ἐλθεῖν.

Ὅτι σιδήρου μήπω εὑρεθέντος ἐν τῷ βίῳ, χαλκῷ ἐχρῶντο οἱ παλαιοὶ, ὅθεν χαλκεῖς λέγονται ἕως τοῦ νῦν καὶ οἱ τὸν σίδηρον ἐργαζόμενοι.

Ἰστέον ὅτι τέσσαρά εἰσι τὰ Εὐαγγέλια, καὶ οὔτε πλείονα οὔτε ἐλάττονα. Ἐπείπερ τέσσαρα καὶ

(1) Codex 1630, pag. 186, 1.
(2) Forsan βασιλ. Χριστοῦ. Tres hæ βασιλείαι formulæ sunt dictionis Paulinæ.
(3) E codice 1630, p. 43, 2.
(4) Codex, Χίν.
(5) Iterum legitur hæc observatiuncula p. 97, 1, ubi πάντα.

καθολικὰ πνεύματα, καὶ τέσσαρα τὰ Εὐαγγέλια, πανταχόθεν πνέοντα τὴν ἀφθαρσίαν καὶ ἀναζωπυροῦντα τοὺς ἀνθρώπους. Ἐξ ὧν φανερὸν ὅτι ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ φανερωθεὶς τοῖς ἀνθρώποις, καθώς φησιν ὁ Δαυὶδ (1), ἔδωκεν ἡμῖν τετράμορφον τὸ Εὐαγγέλιον· καὶ γὰρ τὰ Χερουβὶμ τετραπρόσωπα, καὶ τὰ πρόσωπα αὐτῶν εἰκόνες τῆς πραγματείας τοῦ υἱοῦ τοῦ Θεοῦ. Τὸ γὰρ ὅμοιον λέοντι τὸ ἔμπρακτον καὶ βασιλικὸν καὶ ἡγεμονικὸν χαρακτηρίζει· τὸ δὲ ὅμοιον μόσχῳ, τὴν ἱερουργικὴν καὶ ἱερατικὴν ἐμφαίνει· τὸ δὲ ἀνθρωποειδὲς τὴν σάρκωσιν διαγράφει· τὸ δὲ ὅμοιον ἀετῷ τὴν ἐπιφοίτησιν τοῦ ἁγίου πνεύματος ἐμφανίζει.

Ἑορτάζετο (2) δὲ παρὰ τοῖς παλαιοῖς ἡ μὲν νεομηνία εἰς τιμὴν Ἥρας, ἥτις ἐστὶ σελήνη (3), αἱ δὲ νόνναι (4) εἰς ὄνομα , αἱ δὲ εἰδοὶ πάλιν εἰς ὄνομα. Ἐκάλουν νεομηνίαν τὴν α᾽ τῆς σελήνης, καὶ ἑόρταζον αὐτῇ καὶ Ῥωμαῖοι καὶ Ἕλληνες· ἀλλ᾽ οὐδὲ παρ᾽ Ἑβραίοις κατεφρονεῖτο, ὡς φησιν ὁ μελῳδός (5)· « σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγι. » Αἰτίαν δὲ τῆς πρὸς αὐτὴν τιμῆς ἐσχήκασιν ἅπαντες ἐξ αὐτῶν τῶν φυσικῶν παρατηρήσεων. Φασὶ γὰρ τοὺς μύρμηκας (6)

(1) Psalm. LXXIX, 1 : ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ ἐμφάνηθι.

(2) Codex 1630, p. 82, 2.

(3) Lydus De mens. III, p. 36 : αἱ Καλάνδαι Ἥρας ἑορτὴ ἐπύγχανον, τουτέστι σελήνης· οἱ γὰρ φυσικοί.... Διὰ μὲν τὸν ἥλιον, Ἥραν δὲ τὴν σελήνην ἐνόμιζον εἶναι.

(4) Sic codex, qui mox post ὄνομα quam exhibeo lacunulam habet, et in fine sententiæ deest ratio nominis τῶν εἰδῶν. Quum diversissimæ sint ab auctoribus propositæ nonarum et iduum etymologiæ, quid supplendum sit in hoc loco valde est ambiguum.

(5) Psalm. LXXX, 3.

(6) Quæ sequuntur de formicis, ibidibus et cercope, conferantur cum Lydo De mens. III, p. 38, et IV, p. 103.

σχολάζειν ἐν τῇ νεομηνίᾳ, καὶ τὰς ἴβεις μὴ ὁρᾶν, ἀλλ' ἀσίτους διακαρτερεῖν τὸ συγγενὲς σποιχεῖον ἀναμενούσας, ἐπειδὴ ἐοίκασι τῷ σχήματι τῆς σελήνης τὰ ἄκρα ὁμιχλαινούσης, λευκαινούσης δὲ τὰ μέσα, καὶ τὸν κέρκωπα δὲ δηλοτέρας (1) ἔχειν τὰς ἐνεργείας· ὅτε μὲν γὰρ αὔξει τὸ φῶς τῆς σελήνης, ὁ τῶν ὀφθαλμῶν αὐτοῦ κύκλος εὐρύτερος γίνεται· ὅτε δὲ ἐκεῖνο (2) μειοῦται, συστέλλεται καὶ ὄτος. Φασὶ δέ τινες, ὧν ἐστι καὶ Δέρκυλλος, ὡς γεννᾶται λίθος ἐν τῷ Ὑδάσπῃ ποταμῷ, ὃς, αὐξανομένης τῆς σελήνης, ἦχον μελῳδίας ἀποτελεῖ. Ἀλλὰ μὴν καὶ ἐν Αἰσάρῳ ποταμῷ τῆς Κελτικῆς, μᾶλλον δὲ Συβάρεως (3), γεννᾶται ἰχθὺς, καλούμενος κλοπίας· τοῦτον λέγουσιν, αὐξανομένης μὲν τῆς σελήνης, λευκαίνεσθαι, μελαίνεσθαι δὲ αὖθις, μειουμένου τοῦ φωτὸς αὐτῆς. Ἱστορεῖ δὲ τοῦτο Καλλισθένης ὁ Συβαρίτης. Ἀλλὰ καὶ Ἀρχέλαος φησὶ τὰ τῶν μυῶν ἥπατα (4) λοβοὺς ἔχειν πέντε καὶ δέκα, οἵτινες οὐκ ἀθρόοι πάντες ἐγίνονται, ἀλλ' ἕκαστος καθ' ἡμέραν σεληνιακὴν εἷς ἐπιγινόμενος ἐξ οὐκ ὄντος προσλίθεται ἀπὸ τῆς νεομηνίας μέχρι τῆς πανσελήνου, πάλιν δὲ ἀπὸ τῆς πανσελήνου εἷς ἐφ' ἑνὶ καθ' ἡμέραν φθίνων λοβὸς, πάντες μέχρι τῆς νεομηνίας ἐκλείπουσι, καὶ αὖθις ἐξ ἐκείνης ἄρχονται γίνεσθαι πρὸς τὴν τῆς σελήνης περίοδον καὶ τὸν ἀριθμὸν

(1) Codex, διλοπίας, quod mutavi, Lydum sequutus. — Lydus: ὅπ δὲ μειοῦται. Cujus lacunæ supplementum noster codex suppeditat, nempe ἐκείνη, quum σελήνη præcedat, vel ἐκείνης τὸ φῶς.

(2) Lydus, ἐν Ἀεάρει.

(3) Non Sybareos, sed potius Crotonis.

(4) Illud de muris hepate commentum jam est ex aliis auctoribus notum: vide Antigon. Caryst. c. 137, cum nota Beckmanni; Davis. ad Cicer. Divin. II, 14.

τῶν ἐκείνης ἡμερῶν καὶ αὐτοὶ γινόμενοι καὶ ἀπογινόμενοι, καὶ πληθυνόμενοι καὶ μειούμενοι. Ὁ δ' αὐτὸς ἰσιοεικὸς λέγει καὶ τὰ τῶν θαλασσίων ἐχίνων ὠὰ (1) τὸ αὐτὸ πάσχειν.

Ὅτι (2) τὴν ἐν Βιθυνίᾳ Νίκαιαν Ἀντίγονος ἔκτισε τὴν ἀρχήν, ὁ τοῦ Ἀλεξάνδρου δορυφόρος· μετὰ δὲ τὸ καταλυθῆναι καὶ ἀναιρεθῆναι τὸν Ἀντίγονον, Λυσίμαχος, ὁ καὶ αὐτὸς σωματοφύλαξ τοῦ Ἀλεξάνδρου, πάλιν ἔκτισε ταύτην καὶ μείζονα κατεσκεύασε, καὶ ὠνόμασε Νίκαιαν.

Ὅτι κατ' ἀντικρὺ τῆς ἀντιπέρας Δαλματίας διάκειται ἡ λεγομένη Βενεβεντὸς ἐπὶ χωρίου ὑψηλοῦ. Ἐκεῖσε δὲ ἄνεμος εἴωθε πνέειν σκληρός τε καὶ ἄγριος τοσοῦτον, ὥστε καὶ ἱππέα ἄνδρα μετεωρίζειν ἐκ τῆς ὁδοῦ καὶ ἄγειν ἀέριον ἐπὶ πολὺ διάστημα, εἶτα ἀπορρίπτειν ὁπουδήποτε καὶ θανατοῦν· καὶ διὰ τοῦτο οἱ ἐγχώριοι, ἅμα τῷ ἄρξασθαι πνέειν αὐτὸν, οἴκοι κατακλείσαντες ἑαυτοὺς ἕκαστοι ἀπρόϊτοι εἰς τὸ παντελὲς διαμένουσιν, ἄχρις ἂν παύσηται τοῦ πνέειν ἐκεῖνος ὁ ἄνεμος.

Ὅτι ἐν τῇ Λιβύῃ γίνεται κάλαμος, οὗ τὸ ἓν γόνυ χωρεῖ μεδίμνους ὀκτώ· τοῦτο δὲ καὶ ἐν Ἰνδίᾳ.

Ὅτι ἀντικρὺ τῆς Ἀττικῆς κεῖται νῆσος (3) πλάγιος,

(1) Vide Antig. Caryst. c. 137. Lucilius Gellii xx, 8 : « Luna alit » ostrea et implet echinos. . . »

(2) Cod. 1630, p. 96. — Straboni XII, pag. 413 Corayanæ, adhærct eclogarius.

(3) Euboea scilicet, quam infra auctor negligentior Carystum vocat, quum sit Carystus Euboeæ urbs. De re sequitur Strabonem x, pag. 232. Vide veterum loca apud Meursium ad Apollon. Mirab. c. 36, ubi, inter alia, Solini verba recitat : « Carystos » aquas calentes habet. . . et car» basa quæ inter ignes valent. » Proponit Meursius *lavent* pro *valent*, citra necessitatem; nam-

ὂν ᾗ φύεται λίθος ξαινομένη καὶ ὑφαινομένη, ὥστε τὰ ὕφη χειρόμακτρα γίνεσθαι, ῥυπωθέντα δὲ εἰς φλόγα ἐμβάλλεσθαι· καὶ ἀποκαθαίρεσθαι λέγουσιν ὁμοίως τοῖς πλυνομένοις λινοῖς. Καλεῖται δὲ ἡ νῆσος αὕτη Κάρυστος.

Ὅτι ποταμός ἐστιν ὂν τῇ Ἰνδικῇ ὁ καλούμενος Σίλας (1), διὰ τὸ ἀπὸ κρήνης ὁμωνύμου ῥέειν, ὂν ᾧ οὐδὲν τῶν ἐμβαλλομένων ἐπιπλεῖ, πάντα δὲ εἰς τὸν βυθὸν καταδύεται παραδόξως.

Ὅτι (2) ὂν τῇ ἐρήμῳ χώρᾳ τῆς Ἀραβίας ὂν αὐλῶνί τινι γίνεται τὸ καλούμενον βάλσαμον, οὐδαμοῦ ἄλλοθι τῆς οἰκουμένης εὑρισκομένου τοῦ φυτοῦ τούτου.

Ἐν δὲ τῇ χώρᾳ ταύτῃ, ἔνθα τὰ βάλσαμα φύεται, αὐλίζονται μὲν ὄφεις περὶ αὐτὰ πολλοὶ, ἅτε τρεφόμενοι ὂκ τοῦ ὀποῦ τῶν βαλσάμων· εἰ δέ τινα συμβῇ τῶν τὸν ὀπὸν συλλεγόντων πληγῆναι ὑπὸ ὄφεων, οὐδὲν ὅλως ὑπὸ τοῦ ἰοῦ πάσχει, ἢ ὅτι τραυματίζεται ὥσπερ ὑπὸ σιδήρου· σιτουμένοις γὰρ τοῖς ἔχεσσι μύρων τὸ κάλλιστον καὶ εὐοσμότατον μεταχεράννυται

que non minimum est carbasorum miraculum, quæ inter ignes valeant et integra durent. Basilius Hom. I De jejunio pag. 112: ἔστι τις φύσις σώματος, ἣν καλοῦσιν ἀμίαντον, ἀνάλωτος πυρὶ (possis vertere, *quæ inter ignes valet*), ἥτις, ὂν μὲν τῇ φλογὶ κειμένη, ἀπηθρακῶθαι δοκεῖ, ἐξαιρεθεῖσα δὲ τοῦ πυρὸς, ὡς ὕδατι λαμπρυνθεῖσα, καθαρωτέρα γίνεται. Geopon. xv, 1, 33: τὸ ἀμίαντον κρεῖττόν ἐστι τῆς τοῦ πυρὸς δυνάμεως: id est, *inter ignes valet*, est ignibus valentior.

(1) Protulit hunc locum ex hoc, puto, regio codice Ruhnkenius ad Antig. Caryst. c. 161, ubi de Sila fonte agitur. Male scripsit Σίλα et ἐστι. Antigoni, seu Ctesiæ potius, locum, sic, post Corayum præcipue, quem vide ad Strab. Gallic. xv, pag. 51, lego: τὴν δὲ ὂν τοῖς Ἰνδικοῖς κρήνην Σίλαν οὐδὲ τὰ κουφότατα τῶν ἐμβληθέντων ἐᾷν ὀπιμένειν, ἀλλὰ πάντα καθέλκειν.

(2) Cf. Diod. S. II, 48. De balsamo S. Sacyus ad Abd-Allatif.

σφίσιν ὁ ἰὸς ἐκ τοῦ φαρμακώδους εἰς τὸ ἠπιώτερον. Τὸ δὲ βάλσαμον μέγεθος μέν ἐστι κατὰ μυρσίνης θάμνον, φύλλα δὲ αὐτῷ κατὰ τὴν πόαν τὸ σάμψυχον.

Περὶ χάρτου.—Ὅτι (1) οἱ ἀρχαῖοι ἐν ταῖς σανίσιν ἔγραφον· ὅθεν μέχρι τοῦ νῦν ἔνθα γράφονται τὰ τῶν στρατιωτῶν ὀνόματα ματείκιον ὀνομάζεται, ὃ σημαίνει τὸ πλατὺ καὶ παχὺ ξύλον· ἄλλοι δὲ εἰς φλοιοὺς δένδρων καλῶς ἀποξεομένων. Ὁ δὲ Πτολεμαῖος, ἔχων Ἀρίσταρχον γραμματικὸν συμβουλευσάμενον αὐτῷ, ἀπέστειλε πρῶτος χάρτην εἰς Ῥώμην, καὶ ἐξένισεν αὐτούς (2). Φθονήσας δὲ τῷ Ἀριστάρχῳ Κράτης, ὁ γραμματικὸς ὑπάρχων, μετὰ Ἀτάλου τοῦ Περγαμηνοῦ, ἐκ δερμάτων ἔκαμε μεμβράνας, καὶ ἐποίησε τὸν Ἄτταλον ἀποστεῖλαι αὐτὰς εἰς Ῥώμην· ὅθεν, εἰς μνήμην τοῦ ἀποσταλέντος, μέχρι τοῦ νῦν περγαμηνὰς (3) τὰς μεμβράνας καλοῦσιν.

Ὅτι ἐν ταῖς (4) ἡμέραις τοῦ Σαμψὼν ὁ Ἡρακλῆς ἐγνωρίζετο.

Ὅτι ἐπὶ (5) τῆς βασιλείας Σολομῶντος ἦν Ὅμηρος, καὶ Ἡσίοδος, καὶ οἱ παρ' Ἕλλησι Σοφοί· ἐπὶ δὲ τῆς βασιλείας Δαβὶδ γέγονεν ὁ Τρωϊκὸς πόλεμος (6).

(1) Primæ sententiæ simillima verba ex codice 1231 adposuit Rhœter. ad Lydum De mens. p. 29. Hanc narrationem confer cum Lydo ibid. p. 10=28.

(2) Lydus : πρῶτος χάρτην ἀποστείλας τὴν Ῥώμην ἐξένισεν. Quæ verterim : « primus, charta missa, » hoc quasi hospitali dono Ro- » mam sibi conciliavit. »

(3) Forsan, περγαμηνά. Refutat tamen conjecturam Suidæ locus : Περγαμηναί, αἱ μεμβράναι, αἱ δέρρεις.

(4) Cf. Cedren. p. 58, 84.

(5) Cedren. p. 97.

(6) Judicum ætate Trojanum bellum exarsisse Cedrenus narrat p. 84; Davidis ipsis temporibus, Melelas initio libri v.

Ὅτι ὁ κροκόδειλος (1) γλῶσσαν οὐκ ἔχει. — Ὅτι ὁ τρόχιλος τὸ ὄρνεον φίλος τῷ κροκοδείλῳ.

Ὅτι τὸ πήγανον φθαρτικόν ἐστι τοῦ σπέρματος (2).

Ὅτι ἐπὶ Ὀζίου τοῦ βασιλέως σεισμὸς γέγονε μέγας, καὶ διαῤῥαγὲν ὄρος μέγα κατεκυλίσθη πρὸς τὴν πεδιάδα σταδίους μ'.

Ὅτι ἐπὶ (3) Γρατιανοῦ καὶ Οὐαλεντινιανοῦ σεισμὸς ἐγένετο μέγας, ὥστε ἐν Ἀλεξανδρείᾳ ὑποχωρῆσαι τὴν θάλασσαν ἐπιπολύ· πλήθους δὲ πολλοῦ συνδεδραμηκότος εἰς θέαν τοῦ παραδόξου θεάματος, αὖθις τοῦ ὕδατος ὑποστρέψαντος, κατεποντίσθησαν μυριάδες πέντε. Κατὰ δὲ τοὺς αὐτοὺς καιροὺς συνέβη τὴν θάλασσαν ὑψωθῆναι, καὶ πολλὰ πλοῖα, ὑψωθέντος τοῦ ὕδατος, ἐπὶ τῶν ὀρέων ἐῤῥίφησαν ἄχρι σταδίων ἑκατόν. Τότε συνέβη τὰ πλεῖστα μέρη ἀπολέσθαι τῆς Κρήτης, καὶ τῆς Ἀχαΐας καὶ Βοιωτίας, καὶ τῆς Ἠπείρου, καὶ τῆς Σικελίας, καὶ σχεδὸν πάσης τῆς οἰκουμένης τὰ πρὸς τῇ θαλάσσῃ. Καὶ μέντοι τότε καὶ ἐν τοῖς μεγάλοις πελάγεσι τὰ ἀμφί τε τὸν Ἀδρίαν καὶ τὸ Αἰγαῖον πέλαγος καὶ ἄλλα πλεῖστα ὑπεχώρησαν, καὶ διέστησαν ὡσεὶ τεῖχος ἔνθεν καὶ ἔνθεν τὰ ὕδατα (4), καὶ ἐφάνη ἡ ξηρά, καὶ πολλὰ πλοῖα εὑρέθησαν πλέοντα καὶ εἰς τὸν πυθμένα καθίσαντα, καὶ πάλιν ἀναχθέντα τῇ τοῦ ὕδατος ἀποκαταστάσει.

(1) Hoc commentum refutant Beckmannus ad Antigon. p. 121, Larcherus ad Herod. II, 68. Vide Laceped. Hist. quadrup. ovipar. in crocodili historia.

(2) Dioscor. III, 52, de ruta: γονήν τε σβέννυσιν ἐσθιόμενον καὶ πινόμενον. Confer similia mox pag. 422, 5.

(3) Cf. Cedrenus p. 114.

(4) Ductus orationis color ex Exodo XIV, 22: καὶ τὸ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν καὶ τεῖχος ἐξ εὐωνύμων.

Ὅτι (1) τὴν καρύαν οὕτως οἱ παλαιοὶ ὠνόμασαν, ὅτι, πνεῦμα βαρὺ καὶ καρωτικὸν ἀφιεῖσα, λυπεῖ τοὺς ὑπ' αὐτὴν κατακειμένους, καὶ τὸν νάρκισσον, ὡς ἀμβλύνοντα τὰ νεῦρα καὶ βαρύτητας ἐμποιοῦντα ναρκώδεις. Καὶ τὸ πήγανον δὲ ἀπὸ τῆς δυνάμεως αὐτοῦ ὀνομάσαι (2)· πήγνυσι γὰρ τῇ ξηρότητι διὰ θερμότητα τὸ σπέρμα, καὶ ὅλως πολέμιον ἐστὶ ταῖς κυούσαις (3). Τὸ δὲ τῆς κύπρου ἄνθος καὶ ὁ κρόκος καὶ ἡ βάκκαρις εἰς ὕπνον ἄλυπον ὑπάγει τοὺς πεπωκότας· ἔχει (4) γὰρ ἀπορρόην λείαν καὶ πρόσηνῆ, καὶ τὰς περὶ τὸ σῶμα τῶν μεθυσκομένων ἀνωμαλίας καὶ τραχύτητας ἡσυχῇ διαχέουσαν, ὥστε, γινομένης γαλήνης, ἀμβλύνεσθαι καὶ συνεκπέτεσθαι τὸ κραιπαλῶδες. Ἱστόρηται (5) δὲ ὅτι σκιὰ σμίλακος ἀποκτίννυσιν ἀνθρώπους ἐγκαταδαρθέντας, ὅταν ὀργᾷ μάλιστα πρὸς τὴν ἄνθην (6). Καὶ, τὸ τῆς μήκωνος ἀπορρέον πνεῦμα μὴ φυλαξαμένοις, τοῖς τὸν ὀπὸν τρυγῶσι συνέβη καταπεσεῖν. Τὴν δὲ ἄλυσον καλουμένην βοτάνην οἱ λαβόντες εἰς χεῖρας μόνον, οἱ δὲ καὶ προσβλέψαντες, ἀπαλλάττονται λυγμοῦ. Ὁ δὲ (7) τοῦ κιττοῦ καρπὸς, μιγνύμενος εἰς τὸν οἶνον, μεθυστικὸν ποιεῖ τοῦτον καὶ ταρακτικὸν τῷ πυρῶσθαι· οἱ γὰρ (8) πίοντες ταράσσονταί τε καὶ παραφρονοῦσι κινούμενοι μανικῶς τὴν διάνοιαν.

(1) Codex 1630, p. 97. — E Plutarcho Symp. III, Q. 1, 3, pauculis mutatis.

(2) Sic cod. Forsan ὠνόμασαν, vel φασὶ deest. Plutarchus l. c. φασὶ δὲ καὶ τὸ π. ἀπὸ τ. δ. ὠνομάσθαι. Ad rem cf. modo p. 421, n. 2.

(3) Geoponic. XII, 25, 6.

(4) Codex, ἀχει. Plutarchus, ἔχει.

(5) De hac sententia quam protuli olim ad Nicetam p. 188, vide ibi notam. — Cod. ἱστόρηται.

(6) Codex, ἀκάνθην.

(7) E Plut. ibid. Q. 2, 1.

(8) Cf. Plut. ibid. Q. 2, 2.

Ὅτι οἱ (1) ἄθερυν καὶ ἀπνευστὶ πίνοντες ἥκιστα περιπίπτουσι μέθαις· τὸ ἀπνευστὶ δὲ παρὰ τοῖς παλαιοῖς ἀμυστί (2).

Ὅτι τὸ ἔλαιον (3) τοῖς φυτοῖς πολέμιον, καὶ τάχιστα ἂν ἀπολέσῃς φυτὸν ὃ βούλοιο, χρίων ἐλαίῳ, καθάπερ τὰς μελίσσας.

